A Illud igitur, *Ejicio dæmonia, & sanitates perficio hodie & cras*, duos illos dies indicat, quibus illic commorans, miracula edidit; post quos cœpit iter versus Hierosolyma, die nimirum tertio, in quo & se consummari affirmat, quòd eo die iter inchoaret quod omne mysterium Hierosolymis per crucem consummaturum erat. Illud verò, *Non me videbitis amodo*, ad Hierosolymæ incolas dictum fuit, quam antea miseram prædicavit, his B verbis; *Jerusalem, Jerusalem, quæ occidis Prophetas, & lapidas eos qui mittuntur ad te.* quæ ab illo tempore non vidit Dominum, donec eum pullo insidentem & à plebe puerisque hymnis celebratum spectarunt. Potest quoque *amodo* intelligi de omni tempore, usque ad Dominicam passionem; usque ad quod Dominum intuiti Judæi, non ampliùs cernent eum, donec in gloria paterna judicium de mundo ferentem C conspicati, dicant; *Benedictus, qui venit in nomine Domini.*

Luc. XIII. 34.

Luc. XIX. Matt. XXI.

τὸ οὖν ἐκβάλλω δαιμόνια, καὶ ἰάσεις ἐπιτελῶ σήμερον καὶ αὔριον, τὰς ἡμέρας δηλοῖ τὰς δύο, ἐν αἷς ἐκεῖ διατρίβων ἐθαυματούργει· μεθ' ἃς τῆς ἐπὶ τὰ Ἱεροσόλυμα ἤρξατο πορείας, τῇ ἡμέρᾳ δηλονότι τῇ τρίτῃ, ἐν ᾗ καὶ τελειοῦσθαί φησιν, ὡς ἐν αὐτῇ ἀπαρχόμενος τῆς ὁδοῦ τῆς τὸ πᾶν διὰ σταυροῦ ἐν Ἱεροσολύμοις τελειούσης μυστήριον. τὸ δὲ, οὐ μή με ἴδητε ἀπάρτι, πρὸς τοὺς οἰκήτορας Ἱερουσαλὴμ ἦν εἰρημένον, ἣν ἐν τοῖς πρώτοις ἐταλάνισεν εἰρηκώς· Ἱερουσαλὴμ, Ἱερουσαλὴμ, ἡ ἀποκτείνουσα τοὺς προφήτας, καὶ λιθοβολοῦσα τοὺς ἀπεσταλμένους πρὸς αὐτήν· ἥ τις ἔκτοτε οὐχ ἑώρακε τὸν κύριον, ἄχρις ἐπὶ πώλου καθήμενον καὶ ὑμνούμενον αὐτὸν ὑπὸ τοῦ ὄχλου καὶ τῶν παίδων ἐθεάσαντο. δυνατὸν δὲ τὸ ἀπάρτι νοηθῆναι καὶ ἐπὶ παντὸς τοῦ χρόνου, τοῦ μέχρι τοῦ δεσποτικοῦ πάθους· μέχρις οὗ τὸν κύριον ἑωρακότες Ἰουδαῖοι, οὐκέτι ὄψονται αὐτὸν, ἄχρις ἂν ἐν τῇ δόξῃ τῇ πατρικῇ κρίνοντα τὸν κόσμον θεώμενοι, εἴπωσιν· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου.

Difficultas XXVI.

Luc. XVII. 22.

Quonam modo ait Lucas Dominum dixisse discipulis; *Venient dies, quando desideretis videre unum diem Filii hominis:* quando referat Matthæus hæc eumdem dixisse; *Ecce ego vobiscum sum omnibus diebus, usque ad consummationem sæculi?*

Matt. XXVIII. 20.

Ἀπορία.

Πῶς Λουκᾶς εἰπεῖν φησὶ τὸν κύριον τοῖς μαθηταῖς· ἐλεύσονται ἡμέραι, ὅταν ἐπιθυμήσητε μίαν τῶν ἡμερῶν τοῦ υἱοῦ τοῦ ἀνθρώπου ἰδεῖν· καίτοι ἱστορήσαντος Ματθαίου εἰρηκέναι αὐτόν· ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμὶ πάσας τὰς ἡμέρας, ἕως τῆς συντελείας τοῦ αἰῶνος;

A

Λύσις.

Τὴν μὲν ὑπόσχεσιν αὐτοῦ πληρῶν ὁ κύριος, καὶ μετὰ τὴν ἀνάληψιν [ἦν] σὺν τοῖς ἀποστόλοις· ὅθεν καὶ δύσμαχοι καὶ ἀκαταγώνιστοι τοῖς ἀντιτασσομένοις ὑπῆρχον. πλὴν ὅμως ἐν τοῖς πειρασμοῖς μεμνημένοι τῆς προτέρας αὐτοῦ συνδιαγωγῆς, συνεστιάσεώς τε καὶ συνεχοῦς ὁμιλίας, ταύτην ἐπόθουν. εἰκὸς δὲ καὶ τοὺς ἐν τῇ συντελείᾳ εὑρισκομένους πιστούς, προσδοκωμένης τῆς τοῦ Ἀντιχρίστου παρουσίας, τὸν καιρὸν ἐπιθυμεῖν, καθ' ὃν τοῖς μαθηταῖς συνδιατρίβων ἐθαυματούργει ὁ κύριος.

Solutio.

Promissionem suam implens Dominus, post ascensionem mansit cum Apostolis: ob quod inexpugnabiles & invicti adversariis exstiterunt. Verumtamen inter tentationes, recordati prioris cum illo conversationis, cibi communis, & continui congressus, hujus desiderio tenebantur. Par quoque est fideles qui in fine mun-
B di invenientur, exspectato Antichristi adventu, tempus desideraturos, quo discupis commanens Dominus miracula edebat.

Ἀπορία.

Πῶς Ματθαῖος δύο τυφλοὺς συναντῆσαι τῷ κυρίῳ κατὰ τὴν Ἱεριχώ, Μάρκος δὲ ἕνα, καὶ Λουκᾶς, καὶ τούτους διαφόρως ἐξέθεντο;

Difficultas XXVII.

Qua ratione Matthæus duos cæcos Domino occurrisse ad Jericho; Marcus autem unum, & Lucas, eosque diversos tradiderunt? *Matt.* XX. 30. *Marc.* X. 46. *Luc.* XVIII. 35.

C

Λύσις.

Οὐχ ἕνα τότε ὁ Χριστὸς τυφλόν, οὔτε δύο, ἀλλὰ καὶ τέσσαρας ἰασάμενος ἔτυχεν. ἕνα μέν, ὅνπερ Λουκᾶς ἱστόρησεν, εἰσιὼν εἰς τὴν Ἱεριχώ, μεθ' ὃ καὶ τὸν Ζακχαῖον ἐκάλεσεν· ἄλλον, ὅνπερ ὁ Μάρκος ἀνεγράψατο, παρὰ τὴν ὁδὸν μὲν καθήμενον, προσαιτοῦντα δέ, Βαρτιμαῖον λεγόμενον. ἄλλοι δὲ οἱ δύο, οἱ ἐν τῷ Ματθαίῳ κείμενοι, οἱ ἐξιόντι τῷ κυρίῳ συναντήσαντες, καὶ παρ' αὐτοῦ ἰαθέντες. οὐδὲν δὲ ξένον πάντας υἱὸν Δαβὶδ καλεῖν τὸν κύριον·

Solutio.

Non unum tunc Christus cæcum, neque duos, sed ad quatuor usque sanitati reddidit. Unum quidem, de quo Lucas narravit, in Jericho intrans; post quod & Zacchæum vocavit; alium, quem Marcus describit, juxta viam sedentem, mendicantem & nomine Bartimæum. Alii verò duo, sunt illi apud Matthæum, qui exeunti Domino occurrerunt, & ab ipso sanati sunt. Nihil verò mirum, omnes Dominum

vocare, filium Davidis; quòd jam ipse ex miraculis esset illustris.

Difficultas XXVIII.

Matt. xxi. 7. Marc xi. 7. Luc. xix. 35. Joh xii. 14. Cujus ergo Matthæus Dominum ait sedisse super asinam & pullum; Marcus & Lucas, super pullum dumtaxat; Johannes, super asellum?

Solutio.

Matthæus volens ostendere pullum indomitum fuisse ac recens natum, simul assumptam & matrem ipsius declaravit; non tamquam asinæ insederit Dominus, sed ut ex sequela fiduciam caperet pullus. Marcus autem & Lucas simpliciùs rem enarrarunt. Matthæus quidem, juxta dictum (Zach. ix. 9.) Prophetæ, ascendisse super asinam & pullum dixit; quia per pullum etiam asinæ insidebat, sequenti & adjuvanti Domini vecturam. Quòd si quis dubitaverit, quare Matthæus dicat (Matt. xxi. 5.) Prophetam declarasse Dominum sedisse super asinam & pullum; editio autem LXX. super pullum asinæ sedisse contineat; hoc discat, Apostolos Hebraica lingua usos, utpote Græcæ eloquentiæ ignaros, atque ex LXX. editione, quemadmodum in eorum libris antiquiùs exaratis ferebatur, sic prophetica testimonia citasse; Spiritu ita dispensante, ne tamquam ex condicto viderentur conscribere. Cæterùm

A διὰ τὸ ἐκ τῶν σημείων αὐτὸν περιφανῆ λοιπὸν γενέσθαι.

Ἀπορία.

Διατί Ματθαῖος μὲν ἐπὶ ὄνον καὶ πῶλον λέγει καθίσαι τὸν κύριον· Μάρκος δὲ καὶ Λουκᾶς ἐπὶ πῶλον μόνον· Ἰωάννης δὲ ἐπὶ ὀνάριον;

Λύσις.

Ὁ μὲν Ματθαῖος τὸ ἀδάμαστον καὶ νέον τοῦ πώλου ἐνδεῖξαι βουλόμενος, B συμπαραληφθῆναι ἐξέθετο καὶ τὴν τούτου μητέρα· οὐχ ὥστε ἐπικαθίσαι αὐτῇ τὸν κύριον· ἀλλ' ὥστε τῇ ἀκολουθήσει παραθαρσύνειν τὸν πῶλον. Μάρκος δὲ καὶ Λουκᾶς ἁπλούστερον τὸ γεγονὸς ἐξέθεντο. Ματθαῖος μέντοι κατὰ τὸ ὑπὸ τοῦ προφήτου λεχθὲν, ἐπιβεβηκέναι ἐπὶ ὄνον καὶ πῶλον εἶπεν· ὅτι διὰ τοῦ πώλου καὶ τῇ ὄνῳ ἐκάθητο, ἑπομένῃ καὶ συνεργούσῃ τῷ τοῦ κυρίου ὀχήματι. εἰ δέ τις ἀπορεῖ, τίνος χάριν C Ματθαῖος μὲν τὸν προφήτην ἐκθέσθαι φησὶν ἐπὶ ὄνον καὶ πῶλον καθίσαι τὸν κύριον· ἡ δὲ τῶν ο΄. ἔκδοσις ἐπὶ πῶλον ὄνου καθίσαι περιέχει· τοῦτο μανθανέτω, ὡς τῇ Ἑβραϊκῇ γλώττῃ κεχρημένοι οἱ ἀπόστολοι, ἅτε τῆς Ἑλληνικῆς εὐγλωττίας ἄπειροι, καὶ τῆς τῶν ο΄. ἐκδόσεως, ὥσπερ τοῖς αὐτῶν βίβλοις ἀρχαιοτέρως ἐντεθείσαις ἐνεφέρετο, οὕτω τὰς προφητικὰς μαρτυρίας ἐξέθεντο· τοῦ πνεύματος τοῦτο οἰκονομήσαντος, ἵνα μὴ ὡς ἐκ συνθήματος φανῶσι συντάξαντες. ὁ μέντοι

πῶλος τὰ ἔθνη, ἡ δὲ τούτου μήτηρ τοὺς Ἰουδαίους αἰνίττεται.

A pullus, gentes; mater verò illius, Judæos designat.

Ἀπορία.

Ἀνθ' ὅτου Ματθαῖος μὲν αὐθημερὸν τὴν συκῆν ξηρανθῆναι ἱστόρησεν, Μάρκος δὲ τῇ αὔριον; ὡσαύτως δὲ καὶ τοὺς πωλοῦντας καὶ ἀγοράζοντας ἐν τῷ ἱερῷ, ὁ μὲν ἐν ᾗ ἡμέρᾳ τῷ πώλῳ ἐκαθέσθη ὁ κύριος εἰσελθὼν εἰς τὴν πόλιν, ἐκβληθῆναι ὑπ' αὐτοῦ ἱστορεῖ· ὁ δὲ ἐν τῇ ὑστεραίᾳ. καὶ τίνος χάριν καρπὸν ἐκ τῆς συκῆς ἐν οὐ καιρῷ ἐζήτει· ἢ πῶς ἀγανακτήσας, ὅτι μὴ εὗρε, ταύτην ἐξήρανεν;

Difficultas XXIX.

Pro qua re Matthæus qui- *Matt.*
dem fici arborem statim eo- XXI 19.
dem die arefactam refert;
Marcus verò die sequenti? *Marc.*
Consimiliter & vendentes e- XI. 20.
mentesque in templo, ille qui-
dem die quâ pullo insedit Do-
minus in urbem ingrediens, *Matt.*
narrat ab eo fuisse ejectos; XXI.12.
Marcus verò postridie. Et cur *Marc.*
B fructum extra tempus à ficul- XI. 15.
nea requirebat; aut quo pacto
quòd non invenisset indigna-
tus, arefecit eam?

Λύσις.

Ἑκάτερος ὡς ἐν ἅπασι καὶ ἐν τούτῳ ἠλήθευσε. πρωΐας γὰρ, καθώς φησι ὁ εὐαγγελιστὴς, ἐπανάγων ἐπὶ τὴν πόλιν ὁ κύριος, ἐπείνασε· καὶ ἐλθὼν ἐπὶ τὴν συκῆν, οὐχ εὗρεν εἰ μὴ φύλλα μόνον. εἰρηκὼς οὖν, μηκέτι ἐκ σοῦ καρπὸς γένηται, παραχρῆμα ταύτην ἐξήρανε. διὰ δὲ τὸ μέγεθος καὶ τὸ ξένον τοῦ θαύματος, τῇ ἐπαύριον οἱ μαθηταὶ ταύτην κατοπτεύσαντες, ἐφ' ᾧ πολυπραγμονῆσαι εἰ καὶ αἱ ῥίζαι ὡσαύτως τῷ στελέχει καὶ τοῖς κλάδοις ἐξηράνθησαν, ἐξεπλάγησαν τῇ βεβαιώσει τοῦ θαύματος. ἐξήρανε γὰρ ταύτην ὁ κύριος, τῆς ἰδίας δυνάμεως πεῖραν τοῖς μαθηταῖς παρεχόμενος, διὰ τὸ προσδοκώμενον πάθος. ἐπειδὴ γὰρ ἐν ταῖς εὐεργεσίαις, πολυτρόπως

Solutio.

Uterque sicut in omnibus,
ita & in hoc verè locutus est.
Manè enim, ut ait Evangeli- *Matt.*
sta, *revertens in civitatem* Do- XXI.18.
minus, *esuriit, & veniens ad*
ficum, non invenit nisi folia
tantùm. Cùm ergo dixisset,
Numquam ex te fructus nasca-
C *tur;* continuò illam arefecit.
Propter magnitudinem autem
& novitatem miraculi, crastino die discipuli eam oculis lustrantes, ut diligenter explorarent, num radices pariter cum trunco & ramis aridæ essent, obstupefacti sunt rei miræ confirmatione. Ipsam quippe arefecit Dominus, ut suæ potentiæ specimen discipulis exhiberet, propter imminentem passionem. Quandoquidem in beneficiis modis variis

vim suam exeruerat; at ultricis virtutis exemplum non dederat; quam necessario in re inanima nunc ostendit. Vendentes porrò & ementes, duobus diebus expulit, primo & secundo, ut avaritiæ & cauponationis absque pudore morbo affectos.

A τὴν δύναμιν ἐπεδείξατο· τῆς δὲ τιμωρητικῆς δυνάμεως οὐ παρέσχετο πεῖραν· ἣν ἀναγκαίως ἐν τῷ ἀψύχῳ νῦν ἐπεδείξατο. τοὺς μέντοι πωλοῦντας καὶ ἀγοράζοντας, ἐν ταῖς δυσὶν ἐξέβαλεν ἡμέραις, τῇ τε πρώτῃ καὶ τῇ μετὰ ταύτην, ἅτε τῷ τῆς φιλοκερδίας καὶ καπηλείας ἀναιδῶς ἐγκειμένους νοσήματι.

Difficultas XXX.

Ἀπορία.

Matt. XXI. 33. Marc. XII. 1. Luc. XX. 9. Quid ita, quòd Matthæus & Marcus aiunt patremfamilias, qui vineam plantavit, multos misisse servos, ut fructus ab agricolis acciperent; Lucas autem, unum post alium?

Πῶς Ματθαῖος καὶ Μάρκος τὸν οἰκοδεσπότην φησὶν, ὃς τὸν ἀμπελῶνα B ἐφύτευσε, πολλοὺς ἀποστεῖλαι δούλους, ἵνα τοὺς καρποὺς παρὰ τῶν γεωργῶν λάβωσι· Λουκᾶς δὲ κατὰ ἕνα;

Solutio.

Λύσις.

Quia illi quidem per complexionem, & quasi in summa variis temporibus sigillatim missos Prophetas indicarunt; hic verò magis peculiariter unum & unum missos fuisse. ex quibus ambobus claret, eos qui missi sunt plures fuisse, missos autem singulatim non simul omnes. Unde eos separans Lucas ait; Illum quidem cæciderunt, illum verò in capite vulneraverunt, illum autem occiderunt. Marc. XII. 4. Cæterùm hoc non contrarii sermonis est, sed variæ dictionis.

Ὅτι οἱ μὲν περιεκτικῶς καὶ ὡς ἐν κεφαλαίῳ τοὺς κατὰ καιρὸν σταλέντας καθ' ἕνα τοὺς προφήτας ἐξέθεντο· ὁ δὲ λεπτομερεστέρως ἕνα ἕνα ἀπεστάλθαι. ἐξ ὧν ἑκατέρων δείκνυται, πλῆθος μὲν εἶναι τοὺς πεμφθέντας, καθ' ἕνα δὲ καὶ οὐ πάντας C ὁμοῦ. ὅθεν τούτους διαιρῶν ὁ Λουκᾶς φησίν· ὃν μὲν ἔδειραν, ὃν δὲ ἐκεφαλαίωσαν, ὃν δὲ ἀπέκτειναν. τοῦτο δὲ οὐκ ἐναντιολογίας, ἀλλὰ διαφόρου φράσεώς ἐστιν.

Difficultas XXXI.

Ἀπορία.

Ioh. XII. 1. Matt. XXVI. 2. Quâ caussâ alius, ante sex dies Paschæ, alius, ante duos, historiam unguenti proferunt; licèt uterque in

Τίνος χάριν, ὁ μὲν πρὸ ἓξ ἡμερῶν τοῦ πάσχα, ὁ δὲ πρὸ δύο, τὴν ἱστορίαν τοῦ μύρου λέγουσι· καίτοι ἑκάτεροι ἐν

* Βηθανίᾳ

*Βηθανίᾳ ταύτην γεγενῆσθαι ἐκτιθέμενος· καὶ ὁ μὲν πάντας εἶπε τοὺς μαθητὰς μέμψασθαι τῇ γυναικί· ὁ δὲ τὸν Ἰούδαν μόνον· καίτοι ἀμφότεροι τῆς οἰκίας Σίμωνος μνημονεύσαντες;

A Bethania rem contigisse prodant: & alter omnes dicit discipulos conquestos fuisse de muliere, alter verò Judam solum; tametsi ambo domum Simonis commemorent?

* In MS. semper Βηθ.

Marc. XIV. 3. Luc. VII 37.

Λύσις.

Ἐκ τούτων δείκνυται, διάφορα πρόσωπα ἐν διαφόροις καιροῖς τῷ μύρῳ τὸν κύριον ἀλεῖψαι. ἡ μὲν γὰρ παρὰ τῷ Λουκᾷ ἀρχαιοτέρα τῶν ἄλλων ἱστόρηται, οὐκ ἐν Βηθανίᾳ, ἀλλ' ἐν Γαλιλαίᾳ τοῦτο πράξασα, παρὰ Σίμωνί τινι Φαρισαίῳ· οὐ μέντοι γε λεπρῷ· καθάπερ Ματθαίῳ δοκεῖ καὶ Μάρκῳ, πρὸ *ἓξ ἡμερῶν τοῦ πάσχα, τοῦτο ὑπὸ τῆς γυναικὸς πεπρᾶχθαι. ὡσαύτως δὲ καὶ παρὰ τῷ Ἰωάννῃ, ἑτέρα παρὰ ταύτας Λαζάρου γὰρ ἦν ἀδελφή. ὅθεν συνέβαινε, ποτὲ μὲν ἅπαντας τοὺς μαθητὰς ἐπιτιμῆσαι, ποτὲ δὲ τὸν Ἰούδαν· οὐχ ἑνὸς προσώπου, ἀλλὰ διαφόρων ὄντων, τῶν ἐπιτιμηθέντων.

Solutio.

Ex hisce omnibus liquet, diversas personas diversis temporibus unguento Dominum illinisse. Illa enim apud Lucam reliquis antiquior, narratur, non in Bethania, sed in Galilæa B hoc fecisse, apud Simonem quemdam Pharisæum; non autem leprosum; ut Matthæo & Marco probatur, ante biduum Paschæ id per mulierem gestum esse. Pari modo & apud Johannem alia est ab illis. Erat enim Lazari soror. Quo factum est, ut modò cuncti discipuli increparent, modò unus Judas, cùm non una femina, sed diversæ redarguerentur.

* f. δύο

Ἀπορία.

Πῶς Ματθαῖος μὲν καὶ Μάρκος μετὰ τὸ ἐν Βηθανίᾳ δεῖπνον, συμφωνῆσαι τὸ περὶ τῆς προδοσίας ἀργύριον, τὸν Ἰούδαν ἐκτίθενται· Λουκᾶς δὲ ἡνίκα λαλῶν τὰ περὶ συντελείας ἐπαύσατο· Ἰωάννης δὲ δείπνου μὲν ἐμνημόνευσεν, οὐ μέντοι τῆς Βηθανίας ἱστορεῖ· καὶ περὶ τὸν καιρὸν ἐστι πρὸς τοὺς ἄλλους ὡς δοκοῦσιν ἀσύμφωνος, νυκτὸς μνημονεύων, ἐν ᾗ παρὰ τῶν Ἰουδαίων ὁ κύριος συνείληπται;

C *Difficultas* XXXII.

Quanam ratione Matthæus & Marcus, post Bethaniæ cœnam, Judam referunt pactum fuisse de argento proditionis; Lucas autem, quando Christus finem imposuit sermoni de omnium consummatione; Johannes verò cœnam quidem memoravit, verùm Bethaniam tacuit: & de tempore ab aliis dissonare videtur, mentionem faciens noctis, qua à Judæis Dominus comprehensus est?

Matt. XXVI. 14. Marc. XIV. 10. Luc. XXII. 3. Ioh. XIII. 2-30.

A

Solutio.

Nihil cum dissonantia dictum est ab Evangelistis; sed quæ apud alios deerant, unusquisque narravit, sancto motus Spiritu; quò necessaria fieret eorum quatuor lectio. Igitur è monte oliveti descendens Dominus, post sermones illos de rerum consummatione, Bethaniam venit; unde Judas post unguenti oblationem, concitatus avaritiæ morbo, quòd nempe illius precium non accepisset, abiit statim, Dominumque vendidit, ante biduum Paschæ. Johannes verò relictis sermonibus de fine mundi, de consilio pontificum ad occidendum Dominum, unctione illa Bethaniæ alibi enarrata, nec non conventione proditionis Judæ; ea quæ per illam noctem dicta factaque sunt, in qua traditus est, memoriæ reliquit.

Λύσις.

Οὐδὲν ἀσυμφώνως τοῖς εὐαγγελισταῖς εἴρηται· ἀλλὰ τὰ παρ' ἀλλήλων ἐλλειφθέντα ἕκαστος ἱστόρησε, πνεύματι ἁγίῳ κινούμενος· ἵνα ἀναγκαία εἴη τῶν τεσσάρων ἡ ἀνάγνωσις. Ἀπὸ τοίνυν τοῦ ὄρους τῶν ἐλαιῶν ὁ κύριος καταβὰς μετὰ τοὺς περὶ συντελείας λόγους, εἰς Βηθανίαν ἦλθεν, ὅθεν Ἰούδας μετὰ τὴν προσφορὰν τοῦ μύρου ἐρεθισθεὶς τῷ τῆς φιλαργυρίας B νοσήματι, ὅτι δὴ τὴν τούτου οὐχ ὑπεδέξατο τιμὴν, ἀπελθὼν εὐθέως τὸν κύριον ἐπίπρασκε, πρὸ δύο ἡμερῶν τοῦ πάσχα. Ἰωάννης δὲ παραλιπὼν τοὺς περὶ συντελείας λόγους, καὶ τὴν τῶν ἀρχιερέων ἐπὶ τῇ ἀναιρέσει τοῦ κυρίου βουλὴν, καὶ τὸ ἱστορηθὲν ἐν Βηθανίᾳ μύρον, καὶ τὸ σύμφωνον τῆς Ἰούδα προδοσίας, τὰ ἐν τῇ νυκτὶ λεχθέντα τε καὶ πραχθέντα ἐξέθετο, ἐν ᾗ παρεδόθη.

Difficultas XXXIII.

Matt. XXVI. 25. Ioh. XIII. 26.

Quì Matthæus ipsum Judam edixit fassum esse de proditione sua, aiendo; *Numquid ego sum, Rabbi?* Johannes, Christum ipsi dedisse buccellam, ut proditioni signum?

C

Ἀπορία.

Πῶς Ματθαῖος μὲν αὐτὸν ὁμολογῆσαι τὸν Ἰούδαν τὴν προδοσίαν ἐξέθετο, εἰπόντα· μή τι ἐγώ εἰμι ῥαββί; Ἰωάννης δὲ, ὅτι ὁ Χριστὸς τὸ ψωμίον αὐτῷ δέδωκεν, ὡς τῇ προδοσίᾳ σημεῖον;

Solutio.

Quoniam diversis modis proponens doctrinam suam Dominus, & Judam non semel, neque bis, sed sæpe,

Λύσις.

Ὅτι πολυτρόπως ποικίλας τὴν αὐτοῦ διδασκαλίαν ὁ κύριος, καὶ τὸν Ἰούδαν, οὐχ ἅπαξ, οὐδὲ δὶς, ἀλλὰ καὶ

πολλάκις, ποτὲ μὲν συνεσκιασμένως A
ἐλέγχων, ποτὲ δὲ φανερωτέρως, ἀνέκοπτε τῆς ἐγχειρήσεως. τὰ μὲν οὖν πρῶτα τῶν ἐν τῷ δείπνῳ τούτου χάριν διαλέξεως Ματθαῖος ἐξέθετο· τὰ δὲ τελευταῖα Ἰωάννης, ἀρξάμενος ἀπὸ τῆς νιπτῆρος, καὶ παραλιπὼν τὰ ἐν τῷ Ματθαίῳ εἰρημένα. ἐπειδὴ γέγραπται, μετὰ τὸ ψωμίον, εἰς τὸν Ἰούδαν εἰσελθεῖν τὸν Σατανᾶν, μὴ ξενιζώμεθα. οὐ γὰρ τὸ ψωμίον αὐτῷ τούτου παραίτιον· ἤδη γὰρ ἦν βεβληκὼς εἰς τὴν καρδίαν αὐτοῦ τῆς προδοσίας B
τὸ τόλμημα· ἀλλὰ τότε ὅλως εἰς αὐτὸν ἐχώρησε, τὸ ἀμετανόητον αὐτοῦ θεασάμενος. πρὸ γὰρ τούτου ἠρέμα τούτῳ προσέβαλλε. τὸ ψωμίον τοίνυν σιδηρείου ἰατρικοῦ τάξιν ἐπεῖχεν, ἢ ἐμπλάστρου ἐπιτιθεμένης, καὶ ἐκκαλυπτούσης τὰ κεκρυμμένα τραύματα.

interdum obscurè, clariùs interdum arguens, retrahebat ab incœpto. Priora ergo illa sermonis eam ob rem habiti in cœna, narravit Matthæus; postrema Johannes, incipiens à lavipedio, & relinquens res à Matthæo memoratas. Quòd autem scriptum est, post buccellam, in Judam introiisse Satanam, ne nobis mirum videatur. Non enim buccella ei hoc effecit; quandoquidem jam Diabolus immiserat in cor ejus facinus proditionis; verùm tunc omnino in eum insiliit, impœnitentem cernens; antea quippe sensim adoriebatur. Buccella ergo locum tenuit ferramenti medicorum, aut emplastri, quod superponitur, & occulta vulnera patefacit.

Ἀπορία.

Τίνος χάριν Ματθαῖος μὲν ἐν τῇ
πρώτῃ τῶν ἀζύμων, τὸ δεῖπνον γεγο- C
νὸς ἐκτίθεται· οἱ δὲ ἄλλοι τὴν ἡμέραν αὐτὸ τῆς Ἰουδαϊκοῦ πάσχα ἐπιφημίζουσιν· Ἰωάννης δὲ πρὸ τῆς ἑορτῆς τοῦ πάσχα τοῦτο γενέσθαι μαρτύρεται, τοῦ ψωμίου μνημονεύσας, ὅπερ ὁ κύριος τῷ Ἰούδᾳ ἐπέδωκε, καὶ εἶπε πρὸς αὐτὸν ὃ ποιεῖς, ποίησον ἐν τάχει· καὶ προσθεὶς ὅτι τινὲς ἐδόκουν, ὅτι λέγει αὐτῷ ὁ Ἰησοῦς, ἀγόρασον ὧν χρείαν ἔχομεν εἰς τὴν ἑορτὴν, ἢ τοῖς πτωχοῖς ἵνα τι δῷ;

Difficultas XXXIV.

Quâ gratiâ Matthæus quidem primâ Azymorum die, *Matt.* XXVI. 17.
cœnam factam docet; alii verò diem celebrant Pascha Judaicum; *Marc.* XIV. 12.
Johannes autem id ante diem festum Paschæ evenisse perhibet, *Luc.* XXII. 7.
mentionem faciens buccellæ, quam Dominus Judæ porrexit, cum his verbis; *Ioh.* XIII. 1. 27. 29.
Quod facis, fac citò; addensque quòd *quidam putabant, quòd dixisset ei Jesus; Eme ea quæ opus sunt nobis ad diem festum; aut egenis ut aliquid daret?*

A

Solutio.

Decimumquartum primi mensis diem solet Scriptura appellare Pascha; quòd in eo inter vesperas agnus comederetur cum Azymis; decimum quintum autem, non Pascha, sed festum Paschæ, seu festum Azymorum: sicut ait Moyses; *In primo mense, quartadecima mensis, inter medium vesperarum, Pascha Domino. Et in quintadecima die sollemnitas Azymorum Domino.* Ante B ergo illum diem, decimaquartâ, cùm serò jam esset, cœnâ cum discipulis factâ Paschatis typici, tunc Dominus mysticum quoque ipsis tradidit Pascha. Nullatenus autem prohibebantur per Legem, quin cibos venderent aut emerent, vel darent eleemosynam: propterea quod dictum est; *Quæ fient animæ, illa fient vobis.* Quocirca suspicati sunt discipuli, ad tale ministerium Judam legatum fuisse post buc- C cellæ susceptionem.

Levit. XXIII. 5. 6.

Ex. XII. 16.

Λύσις.

Τὴν τεσσαρεσκαιδεκάτην τοῦ μηνὸς τοῦ πρώτου, πάσχα σύνηθες τῇ γραφῇ καλεῖν· ὡς ἐν αὐτῇ ἀναμέσον τῶν ἑσπερινῶν, τοῦ ἀμνοῦ ἐσθιομένου ἐπ' ἀζύμοις· τὴν δὲ πεντεκαιδεκάτην ἡμέραν, οὐ πάσχα, ἀλλ' ἑορτὴν τοῦ Πάσχα, ἤγουν ἑορτὴν ἀζύμων· καθώς φησι Μωυσῆς, ὅτι ἐν τῷ πρώτῳ μηνί, τῇ ιδ'. ἡμέρᾳ τοῦ μηνός, ἀναμέσον τῶν ἑσπερινῶν, πάσχα τῷ κυρίῳ. καὶ ἐν τῇ πεντεκαιδεκάτῃ ἑορτὴ ἀζύμων τῷ κυρίῳ. πρὸ οὖν ταύτης τῆς ιδ'. ὀψίας ἤδη οὔσης, συνδειπνήσας τοῖς μαθηταῖς τὸ τυπικὸν πάσχα ὁ κύριος, τότε καὶ τὸ μυστικὸν αὐτοῖς παρέδωκε πάσχα· οὐδαμῶς δὲ ἐκωλύοντο ἐκ τοῦ νόμου τὰ πρὸς τροφήν, ἢ πωλεῖν ἢ ἀγοράζειν, ἢ ἐλεημοσύνην παρέχειν· διὰ τὸ εἰρῆσθαι· ὅσα ποιηθήσεται ψυχῇ, ταῦτα ποιηθήσεται ὑμῖν. ὅθεν ὑπενόουν οἱ μαθηταὶ εἰς τοιαύτην διακονίαν σταλῆναι τὸν Ἰούδαν μετὰ τὴν τοῦ ψωμίου ὑποδοχήν.

Difficultas XXXV.

Quo modo Lucas quæ multo tempore cœnam præcesserant, nonnulla etiam quæ subsecuta sunt, tamquam inter cœnam facta enarrat; quæ Apostolis edisseruit Christus, de vitanda contentione circa primatum; quæque Petro, prædicens negationem: quorum prius, multò ante cœnam

Luc. XXII. 25.

Ἀπορία.

Πῶς ὁ Λουκᾶς τὰ πρὸ πολὺ τοῦ δείπνου γινόμενα πρότερον, ἔνια δὲ καὶ ὕστερον ὡς ἐν τῷ δείπνῳ γεγονότα ἐκτίθεται· ὅσα τοῖς ἀποστόλοις διελέχθη, περὶ τοῦ μηδὲν περὶ πρωτείων φιλονεικεῖν· καὶ ὅσα τῷ Πέτρῳ προαγορεύων τὴν ἄρνησιν· ὧν τὸ μὲν πρότερον πρὸ πολλοῦ τοῦ δείπνου

Ματθαῖος καὶ Μάρκος ἡμᾶς ἐδίδα- A
ξαν· τὸ δεύτερον δὲ μετὰ τὸ δεῖπνον,
ἤδη τοῦ Ἰησοῦ πρὸς τὸ ὄρος ὁδεύοντος;

Λύσις.

Ἐπειδὴ παρὰ πάσας τὰς ἐντο-
λὰς, περισσῶς ὑπῆρχε τῷ Χριστῷ ἡ
ταπεινοφροσύνη, ὡς καὶ διὰ τῶν
ἔργων αὐτὴν ἐνδειξάμενος, πολ-
λάκις περὶ αὐτῆς τοῖς μαθηταῖς
διηλέχθη. πρῶτον μὲν ἐν τοῖς μα-
καρισμοῖς, καὶ ἅπαξ καὶ δίς· ἔπειτα
δὲ καὶ ἐν τῇ αἰτήσει τοῦ ἐκ δεξιῶν καὶ B
ἐξ εὐωνύμων αὐτοῦ καθέδρας τῶν
υἱῶν Ζεβεδαίου. καὶ ἐν τῷ δείπνῳ
δὲ, τῆς τοῦ Ἰούδα προπετείας ὡς
εἰκὸς τοὺς μαθητὰς εἰς φιλοπρω-
τείαν ἐρεθισάσης, βάπτειν τὴν χεῖρα
ἐν τῷ τρυβλίῳ μετὰ τοῦ δεσπότου
τολμήσαντος· ὅθεν ἀναγκαίως, τὰ
μὲν πρῶτα Ματθαῖος καὶ Μάρκος,
τὰ δὲ ἐν τῷ δείπνῳ Λουκᾶς, Ἰωάν-
νης δὲ τὴν πρακτικὴν διὰ τοῦ νιπτῆ-
ρος τοῦ κυρίου διδασκαλίαν περὶ
ταπεινοφροσύνης ἐξέθεντο, παρα- C
λιπόντες τὰ ὑπ' ἀλλήλων εἰρη-
μένα. ὡσαύτως τὸ θερμὸν τοῦ Πέ-
τρου εἰδὼς, συνεχῶς αὐτῷ ἐμφανί-
ζεται· καὶ ἐν τῷ δείπνῳ προαγο-
ρεύων τὴν ἄρνησιν, καὶ πρὸς τὸ ὄρος
τῶν ἐλαιῶν πορευόμενος· ἀλλὰ τὰ
μὲν ἐν τῷ δείπνῳ Λουκᾶς καὶ Ἰωάν-
νης, περὶ τῆς προρρήσεως τῆς Πέ-
τρου ἀρνήσεως ἐξέθετο· τὰ δὲ μετὰ τὸ
δεῖπνον Ματθαῖος καὶ Μάρκος ἱστό-
ρησαν.

A Matthæus & Marcus docuerunt nos; posterius verò, post cœnam, jam Jesu ad montem proficiscente? *Matt. XX. 25.* *Marc. X. 41.* *Matt. XXVI. 30.* *Marc. XIV. 26.*

Solutio.

Quia super omnia mandata, Christo grata acceptaque erat humilitas, ut qui eam & operibus demonstraret, sæpe de illa ad discipulos sermonem habuit. Primò in beatitudinibus, tum semel, tum bis; *Matt. V. 3.* *Luc. VI. 20.* deinde quando petierunt filii B Zebedæi, ut ad dexteram & ad sinistram illius sederent; *Matt. XX. 25.* adhæc in cœna, cùm, uti par est, discipulos ad amorem principatus concitasset Judæ temeritas, qui manum suam cum Domino intingere in catino ausus fuerat. Proinde necessariò Matthæus & Marcus prima; quæ verò in cœna, Lucas; Johannes, activam per lavipedium, Domini de humilitate doctrinam, exposuerunt, *Joh. XIII 4.* derelictis iis singuli quæ C ab aliis dicta fuerant. Eodem modo ardorem Petri cognoscens, frequenter ei rem declarat; & in cœna prædicens negationem, & in montem pergens olivarum: verùm quæ in cœna dicta sunt de prædictione negationis Petri, Lucas & Johannes scripserunt; *Luc. XXII. 14.* *Joh. XIII. 18.* quæ verò post cœnam, Matthæus & Marcus narrarunt.

A

Difficultas XXXVI.

Matt. XXVI. 36. Quid rei est, quòd Jesum
Marc XIV 32. illi quidem narrant assumpsisse in Gethsemani discipulos, & orasse, illicque traditum
Luc. XXII. 39. fuisse; Lucas verò in monte olivarum; Johannes, in horto
Joh. XV II. 1. quodam trans torrentem Cedron?

Ἀπορία.

Τίνος χάριν τοῦ Ἰησοῦ, οἱ μὲν ἱστοροῦσιν ἐν Γεθσημανῇ παραλαβεῖν τοὺς μαθητὰς, καὶ προσεύξασθαι· ἐκεῖ τε παραδοθῆναι· Λουκᾶς δὲ εἰς τὸ ὄρος τῶν ἐλαιῶν· Ἰωάννης εἰς κῆπόν τινα πέραν τοῦ χειμάῤῥου τῶν κέδρων;

Solutio.

Diversis quidem vocibus, at concordibus sententiis utrique retulerunt. Post cœnam
Matt. XXVI. 30. enim, juxta Matthæum &
Marc. XIV. 26. Marcum, *hymno dicto, exierunt in montem oliveti*, ad cujus radices sita est Gethsemani trans torrentem Cedron, ubi erat hortus, quemadmodum à Johanne dictum est. Unde recedens quasi ad jactum lapidis, & in ipso montis vertice constitutus, iterumque orans, ad discipulos venit in Gethsemani somno gravatos; ubi & comprehensus est.

Λύσις.

Διαφόρως μὲν ταῖς λέξεσι, συμφώνως δὲ ταῖς ἐννοίαις ἑκάτερος ἐξέθετο.
B μετὰ γὰρ τὸ δεῖπνον, καθὼς Ματθαίῳ καὶ Μάρκῳ δοκεῖ, ὑμνήσαντες ἐξῆλθον εἰς τὸ ὄρος τῶν ἐλαιῶν· οὗ πρὸς τὸ προπόδιον, Γεθσημανῆ κεῖται πέραν τοῦ χειμάῤῥου τῶν κέδρων, ἔνθα ἦν κῆπος, κατὰ τὸ ὑπὸ Ἰωάννου λεχθέν. ὅθεν διαστὰς ὡσεὶ λίθου βολὴν, καὶ πρὸς αὐτῇ τῇ κορυφῇ τοῦ ὄρους γενόμενος, καὶ προσευξάμενος πάλιν, πρὸς τοὺς μαθητὰς ἦλθεν ἐν Γεθσημανῇ ὕπνῳ βεβαρημένους, ἔνθα καὶ συνελήφθη.

C

Difficultas XXXVII.

Matt. XXVI. 44. In quem modum Matthæus & Marcus ter ipsum narrant
Marc. XIV. 41. de passione orasse; Lucas, semel; at Johannes neque hoc
Luc. XXII. 41. litteris tradidit?

Ἀπορία.

Πῶς Ματθαῖος καὶ Μάρκος τρὶς αὐτὸν ἐξηγοῦνται περὶ τοῦ πάθους προσεύξασθαι· Λουκᾶς δὲ ἅπαξ· Ἰωάννης δὲ οὐδὲ τοῦτο συνέταξεν;

Solutio.

Breviloquentiæ magna fuit cura Spiritui, propter nostram negligentiam. Quapropter ille quidem latiùs de illa oratione locutus est, alter verò quasi in

Λύσις.

Βραχυλογίας ἔμελλε σφόδρα τῷ πνεύματι, τῆς ἡμῶν ὀλιγωρίας ἕνεκα. ὅθεν ὁ μὲν πλατυτέρως τὰ περὶ τῆς εὐχῆς ἐξέθετο· ὁ δὲ ὡς ἐν

παραδρομῇ, διὰ τὸ εἰς ἕτερα ἐπείγεσθαι· ὁ δὲ οὐδ' ὅλως, διὰ τὸ ὑπὸ τῶν λοιπῶν συγγεγράφθαι· ἵνα μὴ ταυτολογῶσιν. A

transcursu, quòd ad alia properaret; alter verò omisit, quia à reliquis conscriptum fuerat; ne eadem repeterent.

Ἀπορία.

Πῶς Ἰωάννης μόνος τοῦ τῆς προδοσίας οὐκ ἐμνήσθη φιλήματος; πῶς δὲ τῶν ἄλλων εἰρηκότων ὡς ἅμα τὸ φιλῆσαι τὸν Ἰούδαν, τὸν κύριον, οἱ Ἰουδαῖοι συνέλαβον· Ἰωάννης δὲ οὐ τοῦτο· ἐρωτῆσαι δὲ αὐτούς, τίνα ζητεῖτε; B καὶ ὑπτίους ῥίψαι, καὶ τὰ ἑξῆς συνεγράψατο;

Difficultas XXXVIII.

Quo pacto solus Johannes osculum proditionis non commemoravit? quóque pacto cùm Matt.
cæteri dicant, quòd simul ac xxvi.
Judas Dominum est osculatus, 50.
Judæi eum ceperunt; Johan- Marc.
nes non ita; sed interrogasse xiv. 46.
eos, *Quem quæritis?* & pro- Luc.
jecisse in terram supinos, & xxii.
quæ sequuntur conscripsit? 54. Ioh. xviii. 4.

Λύσις.

Ἦλθε μὲν ἐπὶ τὸν κύριον μετὰ πλήθους ῥόπαλα καὶ μαχαίρας ἐπιφερομένου ὁ Ἰούδας, καθὼς πάντες συμφώνως ἐξέθεντο. ἐντεῦθεν λοιπὸν διαφόρων πραχθέντων, μερίζονται τὴν ἐπὶ τούτων διήγησιν οἱ εὐαγγελισταί. ὁ γὰρ Χριστὸς δεῖξαι βουλόμενος ὡς ἑκὼν συλλαμβάνεται, ἀορασίαν, C ἤγουν ἀποπληξίαν αὐτοῖς ἐπέβαλεν· καὶ ῥίψας ὑπτίους, καὶ εἰπὼν ὅτι ἐγώ εἰμι ὃν ζητεῖτε, θορυβουμένων αὐτῶν, ἔτι καὶ τοῦ Ἰούδα τῷ φιλήματι τοῦτον καταμηνύσαντος, παρ' αὐτῶν συλλαμβάνεται.

Solutio.

Venit ad Dominum Judas cum multitudine fustes & gladios deferente, ut omnes una voce declararunt. Inde postea variis perpetratis, partiuntur eorum narrationem Evangelistæ. Christus enim, qui vellet ostendere se sponte comprehendi, cæcitatem seu stuporem ipsis immisit; & cùm prostrasset eos, dixissetque, *Ego sum* quem quæritis, ipsis perturbatis, sed & Juda ipsum indi-
cante per osculum, ita ab illis Ioh.
capitur. xviii. 10. Matt. xxvi. 51.

Ἀπορία.

Πῶς Ἰωάννης τὸν Πέτρον φησίν, τὸ οὖς τοῦ οἰκέτου τοῦ ἀρχιερέως ἀφελέσθαι· οἱ δὲ λοιποὶ ἁπλῶς ἕνα τὸν περὶ Χριστὸν εἰρήκασιν;

Difficultas XXXIX.

Ad quem modum ait Johan- Marc.
nes Petrum amputasse aurem xiv.
famuli pontificis; cæteri verò 47.
simpliciter unum eorum qui Luc. xxii.
cum Christo erant dixerunt? 50.

A

Solutio.

Equidem Johannes caritati Petri confidens, quòd ægrè laturus non esset veritatis enunciationem, rem exactè retulit. Reverà enim facinus fuit fervoris Petri. Probabile verò est reliquos, præ reverentia erga Petrum, gestum simpliciùs enarrasse.

Λύσις.

Ἰωάννης μὲν ἀποθαῤῥῶν τῇ τοῦ Πέτρου ἀγάπῃ, ὡς οὐκ ἀγανακτήσαντος τῇ τῆς ἀληθείας ἐπαγγελίᾳ, τὴν ἀκρίβειαν ἐξέθετο. τῷ ὄντι γὰρ τῆς τοῦ Πέτρου θερμότητος ἦν τὸ πραχθέν. εἰκὸς δὲ τοὺς λοιπούς, αἰδοῖ τοῦ Πέτρου ἁπλουστέρως τὸ γεγονὸς διηγήσασθαι.

Difficultas XL.

Quam rationem habuit, redargui à Domino eum qui gladio usus est; cùm ipse Christus, teste Luca, emere gladios jusserit, qui tunc audivit sciscitantes num oporteret illis uti?

B

Luc. XXII. 36. 49.

Ἀπορία.

Τίνα λόγον εἶχεν ἐπιτιμᾶσθαι παρὰ τοῦ κυρίου τὸν τῇ μαχαίρᾳ χρησάμενον· αὐτοῦ τοῦ Χριστοῦ, καθὼς ἱστορεῖ Λουκᾶς, ἀγοράσαι μαχαίρας προστάξαντος, ἀκούσαντος τότε πυνθανομένων εἰ δέοι ταύταις χρήσασθαι;

Solutio.

Gladios emere Dominus præcepit discipulis, non ut iis ad ultionem uterentur, sed eo modo passioni fidem concilians, simulque prophetiam illam implens; *Cum iniquis computatus est.* Nam nocte sacculos & gladios præ manibus habere, latronum fuerit apparatus. Non itaque scriptum est, percontantibus discipulis permisisse Dominum, ut gladiis uterentur. Simul enim ac interrogarunt, statim Petrus servi auriculam abscidit, non exspectato responso. Quòd si Matthæus ait Dominum dixisse; *Converte gladium tuum in locum suum*, & sequentia;

Luc. XXII. 37. Is. LIII. 12.

C

Matt. XXVI. 52.

Λύσις.

Μαχαίρας ἀγοράσαι ὁ κύριος τοῖς μαθηταῖς προσέταξεν, οὐχ ὥστε ταύταις εἰς ἄμυναν χρήσασθαι, ἀλλὰ τὸ πάθος διὰ τούτων πιστούμενος, ἅμα δὲ καὶ προφητείαν πληρῶν, ὅτι μετὰ ἀνόμων κατελογίσθη. τὸ γὰρ ἐν νυκτὶ βαλάντιά τε καὶ μαχαίρας μεταχειρίζεσθαι, λῃστρικὸν ἂν εἴη σχῆμα. οὐ μήν τοι γέγραπται πυθομένοις τοῖς μαθηταῖς ἐπιτρέψας ὁ κύριος, ὥστε ταῖς μαχαίραις χρήσασθαι. ἅμα γὰρ τὸ ἐρωτῆσαι, εὐθὺς ὁ Πέτρος τοῦ δούλου τὸ ὠτίον ἐξέτεμεν, μὴ ἀναμείνας τὴν ἀπόκρισιν. εἰ δὲ Ματθαῖος μέν φησιν εἰρηκέναι τὸν κύριον· ἀπόστρεψον τὴν μάχαιράν σου εἰς τὸν τόπον αὐτῆς, καὶ τὰ ἑξῆς·

ἔπειτ

ἕτερος δὲ ὅτι ἐάσατε ἕως τούτου· ἀμφότερα τὸ αὐτὸ δηλοῦσιν, ὡς οὐκ ἀποδεξαμένου τοῦ κυρίου τὸ γεγονός.

A Alius verò; *Sinite usque huc:* utrumque eamdem habet significationem, quòd nempe Dominus rem nequaquam probasset. *Luc.* XXII. 51.

Ἀπορία.

Πῶς Ἰωάννης εἰς τὴν αὐλὴν τοῦ Ἄννα, Ματθαῖος δὲ εἰς τὴν αὐλὴν τοῦ Καϊάφα παραλαβεῖν τὸν Ἰησοῦν τοὺς συλλαβόντας ἔγραψαν;

Difficultas XLI.

Quo modo Johannes, in atrium Annæ, Matthæus, in Caiphæ, adductum fuisse Jesum ab iis qui illum ceperant scripserunt? *Ioh.* XVIII. 13. *Matt.* XXVI. 57.

Λύσις.

B Πενθεροῦ ὄντος τοῦ Ἄννα τοῦ Καϊάφα, εἰκὸς ἀμφοτέρους μίαν ἔχειν οἴκησιν. ἐπειδὴ δὲ καὶ μίαν οἰκίαν πολλὰς ἔχειν συμβαίνει διαίτας, ἀνακρίνας ὁ Ἄννας τὸν κύριον, πρὸς Καϊάφαν ἱστόρηται τοῦτον δεδεμένον ἀποστεῖλαι, ἐν ἑτέρᾳ διαίτῃ τυγχάνοντα.

Solutio.

Cùm Annas esset socer Caiphæ, verisimile est utrumque uno usum fuisse domicilio. Quia verò una domus interdum varias habet privatas habitationes, Annas quæstione habita de Domino, ligatum eum narratur misisse ad Caipham in alia habitatione consistentem. *Ioh.* XVIII. 24.

Ἀπορία.

C Διατί μόνος μὲν ὁ * Μάρκος δύο παιδίσκας ἐπιθέσθαι τῷ Πέτρῳ· Ματθαῖος δὲ μίαν μὲν, ἀλλ' αὐτὴν δίς· εἶτα πάλιν * ἑκάτερος ἄνδρα ἕνα κατὰ τὸν καιρὸν τῆς ἀρνήσεως, λέγουσι· Λουκᾶς δὲ οὐχ οὕτως, ἀλλὰ παιδίσκην μὲν μίαν, ἀῤῥένων δὲ δύο πρόσωπα τίθησιν;

Difficultas XLII.

Quapropter solus Matthæus duas ancillas adortas esse Petrum; Marcus verò, unam, sed eam bis; iterum alter virum unum tempore negationis, dicunt; Lucas verò non ita, sed unam quidem ancillam, masculorum verò duas personas ponit? *ſ Ματθαῖος *Matt.* XXVI. 69. 71. *ſ Μάρκος *Marc.* XIV. 66. 69. *ſ ἕτερος *Ioh.* XVIII. 26. *Luc.* XXII. 56. 58. 59.

Λύσις.

Ἐν μὲν τῇ αὐλῇ ἔσω γυναῖκα τὴν τὸν Πέτρον εἰς τὴν ἄρνησιν ἐρεθίσασαν, ὁμοφώνως ἅπαντες ἐξέθεντο· ἐξελθόντι δὲ αὐτῷ ἔξω πρὸς τῷ

Solutio.

In atrio quidem intrà, mulierem fuisse quæ Petrum ad negationem compulit, concorditer omnes exposuerunt: exeunte autem illo foras ad

januam, multos aggressos esse A
Ioh. narravit Johannes, his verbis;
XVIII. *Dixerunt ei*, qui cum eo sta-
25. 18. bant ad prunas, & calefacie-
bant se; *Numquid & tu ex dis-
cipulis ejus es?* inter quos fuis-
se & ancillam patet secundam
Marco dictam, & duos illos
viros à Luca memoratos.

Difficultas XLIII.

Matt. Propter quam caussam, aliis
XXVI. narrantibus, Dominum præ-
34. dixisse Petro, quòd negaturus
Luc. esset eum antequam gallus B
XXII. cantaret, Marcus ait, ante-
34. quam bis cantasset ipsum ab-
Ioh. negasse?
XIII. 38
Marc. XIV. 72.

Solutio.

Nemo nescit, non semel, sed
& bis solere gallum circa idem
* An ei tempus cantare. Illi ergo sim-
pliciùs, hic accuratiùs retulit.
Marc. Si quidem Marcus dicit, *Prius-*
XIV. 30. *quam gallus vocem bis dederit:*
alii verò indefinitè, *Antequam
gallus cantet.* Si igitur alii di- C
xissent, *primùm*, *oppositio me-
ritò censeretur*: sin autem Mar-
co dicente, *bis*, cæteri absque
numero scribunt, nulla in his
contradictio. Licet enim in-
telligere, antequam sæpe can-
tet. Nam semel cantans, & sæ-
pe vocem emittit. Secunda
porrò vociferatio galli Petrum
duxit in recordationem Do-
minicæ prædictionis.

πυλῶνι πλῆθος ἐπιθέσθαι ὁ Ἰωάννης ἱστόρησεν, εἰρηκώς· εἶπον αὐτῷ, οἱ σὺν αὐτῷ ἑστῶτες ἐπὶ τῆς ἀνθρακιᾶς καὶ θερμαινόμενοι· μὴ καὶ σὺ ἐκ τῶν μαθητῶν αὐτοῦ εἶ; ἐν οἷς εἶναι δῆλον καὶ τὴν παιδίσκην τὴν δευτέραν, τὴν τῷ Μάρκῳ εἰρημένην, καὶ τὰ δύο πρόσωπα τῶν ἀνδρῶν τῶν τῷ Λουκᾷ ἱστορηθέντων.

Ἀπορία.

Διατί τῶν ἄλλων ἱστορησάντων προειπεῖν τῷ Πέτρῳ τὸν κύριον, ἀρνήσεσθαι αὐτὸν πρὶν φωνῆσαι τὸν ἀλέκτορα, Μάρκος φησὶ, πρὶν φωνῆσαι δὶς αὐτὸν ἀπαρνεῖσθαι;

Λύσις.

Πᾶσι δῆλον ὅτι οὐχ ἅπαξ, ἀλλὰ καὶ δὶς ὁ ἀλέκτωρ ἐπὶ τὸ αὐτὸ φωνεῖν εἴωθεν. * ὁ μὲν οὖν ἁπλουστέρως, ὁ δὲ ἀκριβεστέρως ἐξέθετο. Μάρκος μὲν γὰρ εἶπε πρὶν ἀλέκτορα φωνῆσαι δίς· οἱ δὲ ἄλλοι ἀδιορίστως· πρὶν ἀλέκτορα φωνῆσαι. εἰ τοίνυν τῶν ἄλλων εἰρηκότων ἦν. εἰ δὲ τοῦ * Μάρκου τὸ δὶς εἰρηκότος, οἱ ἄλλοι χωρὶς ἀριθμοῦ γράφουσιν, οὐδεμία ἐν τούτοις ἀντιλογία. ἔξεστι γὰρ νοεῖν τὸ πρὶν φωνῆσαι πολλάκις. φωνῶν γὰρ ἅπαξ, καὶ πολλάκις φωνεῖ. ἡ δὲ δευτέρα φωνὴ τοῦ ἀλέκτορος εἰς ὑπόμνησιν τῆς προρρήσεως τοῦ κυρίου ἦγε τὸν Πέτρον.

A

Ἀπορία.

Τίνος χάριν ὁ Ἰωάννης λέγει τοὺς Ἰουδαίους ἡνίκα τῷ Πιλάτῳ τὸν Ἰησοῦν παρέδωκαν, φυλάξασθαι ἵνα μὴ μιανθῶσιν εἰσιόντες εἰς πραιτώριον, ἀλλ' ἵνα φάγωσι τὸ πάσχα· καίτοι τῶν ἄλλων, ἡμέραν εἶναι τοῦ Ἰουδαϊκοῦ πάσχα τὴν προτέραν γραψάντων, ἐν ᾗ μετὰ τῶν μαθητῶν δειπνήσας ὁ κύριος τῇ νυκτὶ ὑπὸ τῶν Ἰουδαίων εἰς τὸ πάθος παρείληπται; καὶ εἰς ἀπόδειξιν τούτου ὁ αὐτὸς Ἰωάννης ἐν ἄλλῳ χωρίῳ B φησίν· οἱ οὖν Ἰουδαῖοι, ἐπεὶ παρασκευὴ ἦν, ἵνα μὴ μείνῃ ἐπὶ τοῦ σταυροῦ τὰ σώματα ἐν τῷ σαββάτῳ· ἦν γὰρ μεγάλη ἡ ἡμέρα ἐκείνου τοῦ σαββάτου· καὶ τὰ ἑξῆς.

Λύσις.

Πάσχα μὲν κυρίως εἴρηται τῇ γραφῇ, καθὼς ἔξεστι γνῶναι τοὺς τῷ Δευτερονομίῳ ἐντυγχάνοντας, τὴν ιδʹ. ἡμέραν τοῦ πρώτου μηνός, ἐν ᾗ πρὸς ἑσπέραν ὁ ἀμνὸς ἐθύετο, ὃν μετὰ πικρίδων ἐπ' ἀζύμοις ἤσθιον· C ἑορτὴ δὲ τοῦ πάσχα ἡ μετ' αὐτήν, ὡσαύτως δὲ ἑορτὴ ἀζύμων· ἡ δὲ μετ' ἐκείνην πάλιν ἐπίσημος· ὡς ἐν αὐτῇ τοῦ δράγματος προσφερομένου· ἥτις ἦν τὸ σάββατον, περὶ οὗ φησιν ὁ Ἰωάννης, μεγάλην εἶναι ἡμέραν ἐκείνου τοῦ σαββάτου· πρῶτον μὲν, διὰ τὸ καθ' ἑαυτὸ τιμᾶσθαι τὸ σάββατον· δεύτερον δὲ, καὶ διὰ τὸ δευτέραν εἶναι ἡμέραν τῆς ἑορτῆς· τρίτον δὲ, διὰ

Difficultas XLIV.

Ob quam rationem dicit Johannes, Judæos, quando Pilato Jesum tradiderunt, cavisse, *ut non contaminarentur introeuntes in prætorium, sed ut manducarent Pascha*; tametsi scribant alii, primam fuisse diem Judaici Paschatis, qua cœnans Dominus cum discipulis, nocte à Judæis ad passionem abductus est? Et ad id demonstrandum Johannes idem in alio loco ait; *Judæi ergo, quoniam parasceve erat, ut non remanerent in cruce corpora sabbato; erat enim magnus dies illius sabbati*, & reliqua quæ sequuntur.

Ioh. XVIII. 28.

Ioh. XIX 31.

Solutio.

Pascha propriè appellatur in Scriptura (ut intellecturi sunt qui Deuteronomium legent) decimaquarta dies primi mensis, quâ ad vesperam agnus mactabatur, quem cum lactucis in Azymis manducabant; festum autem Paschæ, dies sequens, itemque festum Azymorum. Quæ autem subsequitur dies, insignis quoque, quòd in ea manipulus offerretur, quæ erat sabbatum, de quo ait Johannes, magnum esse diem illius sabbati: primò quidem, quia ipsum propter se honorabatur sabbatum; secundò autem, quòd esset dies secundus festi; tertiò verò, quoniam,

Deut. XVI. 1. &c. *Levit.* XXIII. 5. &c.

* ιδʹ. ἡμέρα

tunc novus manipulus offerebatur, tripliciaque sacrificia peragebantur. Præterquam quòd in genere etiam septem sollemnitatis dies Pascha nuncupabantur, quemadmodum narratur in Actibus Apostolorum, *Post Pascha*, hoc est post dies Azymorum, voluisse Herodem Petrum interficere.

Act. XII. 4. 3.

Difficultas XLV.

Ioh. XIX 17. *Matt.* XXVII. 32. *Marc.* XV. 21. *Luc.* XXIII. 26.

Cujus rei ergo narrat Johannes Dominum bajulasse crucem suam; alii tres, Simonem Cyrenæum?

Solutio.

Statim quidem in principio crucem portavit Dominus, illam portare dedignantibus militibus ob probrum; cùm autem viam iniissent, venienti de villa Simoni obviam facti, eum angariaverunt. Adeò ut nulla dissensio propter id quoque ab Evangelistis inducatur.

Difficultas XLVI.

Marc. XV 25. *Ioh.* XIX 14. *Auct. Combef.* I. 773.

Quænam caussa est, ob quam ex verbis Marci, horâ tertiâ crucifixus est Dominus; ex relatione verò Johannis, sextâ?

Solutio.

Mos est pluribus, dicere de magistratibus, Ille judex illum hominem occidit, cùm tamen ipsi supplicia non inferant, sed ministris utantur carnificibus. Id quod tunc quoque actum fuit. Etenim tertiâ

A τὸ ἐς τὸ δρᾶγμα τὸ νέον ἐν αὐτῷ προσφέρεσθαι, καὶ τριπλᾶς ἐν αὐτῇ προσάγεσθαι θυσίας. πλὴν ὅτι καθολικῶς καὶ ἑπτὰ ἡμέραι τῆς ἑορτῆς πάσχα προσηγορεύοντο, καθὼς ἐν ταῖς πράξεσιν ἱστόρηται, ὅτι μετὰ τὸ πάσχα, ἤγουν τὰς ἡμέρας τῶν ἀζύμων, τὸν Πέτρον Ἡρώδης ἀνελεῖν ἐβούλετο.

Ἀπορία.

Τίνος χάριν ὁ Ἰωάννης βαστάσαι τὸν σταυρὸν αὐτὸν ἱστορεῖ τὸν κύριον· B οἱ δὲ ἄλλοι Σίμωνα τὸν Κυρηναῖον;

Λύσις.

Εὐθέως μὲν ἐκ πρώτης ὁ κύριος τὸν σταυρὸν ἐβάστασε, μὴ ἀξιούντων τῶν στρατιωτῶν, ὡς ἐπονείδιστον, τοῦτον βαστάσαι· τῆς ὁδοῦ δὲ ἀρξαμένων, ἐρχομένῳ ἐξ ἀγροῦ τῷ Σίμωνι ὑπαντήσαντες, τοῦτον ἠγγάρευσαν· ὥστε οὐδεμία διαφωνία, οὐδὲ ἐπὶ τούτῳ τοῖς εὐαγγελισταῖς ἐπινενόηται.

C

Ἀπορία.

Τίς ἡ αἰτία τὸν Μάρκον μὲν τρίτην ὥραν τὸν κύριον λέγειν σταυρωθῆναι, ἕκτην δὲ τὸν Ἰωάννην συγγράψασθαι;

Λύσις.

Ἔθος τοῖς πολλοῖς περὶ τῶν ἀρχόντων λέγειν, ὅτι ὁ δεῖνα ὁ ἄρχων τόνδε ἀνεῖλεν, καίτοιγε μὴ αὐτουργούντων τὰς τιμωρίας, ἀλλ' ὑπουργοῖς τοῖς δημίοις χρωμένων. ὅπερ καὶ τότε πέπρακται. τρίτην μὲν γὰρ ὥραν,

τῇ ἀποφάσει ὁ Πιλάτος τὸν κύριον A ἐξήνεγκεν· ἄλλων δὲ τριῶν ὡρῶν διαγινομένων, μέχρι τῆς ἕκτης, ἐν τῷ φραγελλοῦσθαι, καὶ τὴν κοκκίνην χλαμύδα ἐνδύεσθαι, καὶ ταῖς ἀκάνθαις στεφανοῦσθαι, καὶ ἐμπαίζεσθαι, τῇ ϛʹ. ὥρᾳ προσηλώθη τῷ σταυρῷ.

Ἀπορία.

Τίνος χάριν ὁ Ματθαῖος οἶνον αὐτῷ μετὰ χολῆς δοθῆναι, Μάρκος δὲ μετὰ σμύρνης, Ἰωάννης δὲ μετὰ ὑσσώπου· Λουκᾶς δὲ οὐδενὸς αὐτῷ συμπε- B πλεγμένου μέμνηται;

Λύσις.

Οὐχ ἅπαξ, ἀλλὰ καὶ πολλάκις, οὐ μόνον αἰτήσαντι τῷ Χριστῷ, ἀλλὰ καὶ μὴ αἰτήσαντι προσήνεγκαν πιεῖν τὰ προειρημένα. οὐ πάντα τοίνυν πάντες, ἀλλ᾽ ἕκαστος ἀνὰ μέρος ἐξέθετο. Ματθαῖος μὲν οὖν καὶ Μάρκος, τὸν πρὸ τοῦ σταυροῦ προσενεχθέντα οἶνον ἱστόρησαν· ὁ μὲν μετὰ χολῆς, ὁ δὲ μετὰ σμύρνης * εἰπὸν, διὰ τὸ C ἐπίσης ἑκάτερα εἶναι πικρά. Λουκᾶς δὲ τὸ ἐν τῷ σταυρῷ προσενεχθὲν αὐτῷ ὄξος ἐκτίθεται· Ἰωάννης δὲ εἰπόντι τῷ κυρίῳ, διψῶ, * λαβόντα τινὰ σπόγγον, ὑσσώπου καὶ ὄξους * πλήσαντα, ποτίσαι τὸν κύριον ἀνέγραψεν. ἐξ ὧν πάντων δείκνυται, διαφόρως αὐτῷ τὰ προειρημένα εἴδη προσενεχθῆναι ὑπὸ τῆς τῶν Ἰουδαίων θηριωδίας.

horâ Pilatus Dominum condemnationi addixit; tribus autem horis consumptis, usque ad sextam, dum flagellatur, induitur chlamydem coccineam, spinis coronatur, atque illuditur, horâ sexta cruci affixus est.

Difficultas XLVII.

Quamnam ob rationem ait Matthæus, vinum ei datum fuisse cum felle; Marcus, cum myrrha; Johannes, cum hyssopo; at Lucas, nullius commistionis meminit?

Matt. XXVII. 34. *Marc.* XV. 23. *Ioh.* XIX. 29. *Luc.* XXIII. 36.

Solutio.

Non semel tantùm, sed sæpe, non modò petenti Christo, verùm nec petenti obtulerunt prædicta ad bibendum. Non ergo omnia omnes, sed singuli ex parte retulerunt. Igitur Matthæus & Marcus, de vino ante crucem oblato narrationem instituerunt; ille quidem cum felle, hic verò cum myrrha, dicens, quòd æquè ambo sint amara. Lucas autem de aceto in cruce ei oblato disserit. Et Johannes scripsit, quòd cùm dixisset Dominus, *Sitio*, acceperunt nonnulli spongiam, hyssopo & aceto repleverunt, potumque dedere Domino. Ex quibus omnibus constat, diverse ei supradictas species oblatas fuisse per Judæorum immanitatem.

* *Ἀνεἰπών*

* *λαβόντας τινὰς & πλήσαντας*

A

Difficultas XLVIII.

Luc. xxiii. 40. Matt. xxvii. 44. Marc. xv. 32. In quem modum conscripsit Lucas de latrone, quòd Dominum in cruce confessus fuerit; at alii, quòd una cum socio conviciatus fuerit?

Solutio.

Initio quidem uterque Domino improperabat, conviciis in eum jactis, Judæos, ut videtur, placatum iri putantes, seque è cruce detractum iri. B Ubi verò id non evenit, Christi ad Patrem tamquam ad æqualem intelligens orationem bonus latro, quando dixit; *Pater, dimitte illis* peccatum, agnovit veritatem, cumque dominum & regem confessus est. quod à cæteris Evangelistis ad alias historiæ partes festinantibus prætermissum est.

Luc. xxiii. 34.

Difficultas XLIX.

C Quo tamdem modo pollicitatio Domini ad latronem adimpleta est, *Hodie mecum eris in paradiso?* Siquidem post crucifixionem Christus in Infernum ad liberandos mortuos profectus est; oportuit autem & latronem, ut qui legi naturæ esset obnoxius.

Luc. xxiii. 43.

Solutio.

Nonnulli quidem ita legunt. *Amen dico tibi hodie:* & notam subdistinctionis ponunt; deinde subjiciunt, *Mecum eris*

Ἀπορία.

Πῶς Λουκᾶς μὲν ὁμολογῆσαι τὸν λῃστὴν ἐπὶ σταυροῦ τὸν κύριον συνεγράψατο· οἱ δὲ λοιποί, ἅμα τῷ ἑτέρῳ ὀνειδίσαι τὸν κύριον;

Λύσις.

Ἐκ προοιμίων μὲν ἑκάτεροι τῷ κυρίῳ ὠνείδιζον, τοῖς εἰς αὐτὸν ὀνείδεσιν ἐξιλεοῦσθαι, εἰκός, τοὺς Ἰουδαίους νομίζοντες, καὶ τοῦ σταυροῦ καθαιρεῖσθαι. ἐπειδὴ δὲ τοῦτο οὐ γέγονεν, τὴν τοῦ Χριστοῦ πρὸς τὸν πατέρα ὡς πρὸς ὁμότιμον εὐχὴν, ὁ εὐγνώμων λῃστὴς συνεὶς, ὅτε εἴρηκε· πάτερ, ἄφες αὐτοῖς τὴν ἁμαρτίαν· ἐπέγνω τὴν ἀλήθειαν, καὶ κύριον αὐτὸν καὶ βασιλέα ὡμολόγησεν· ὅπερ τοῖς ἑτέροις εὐαγγελισταῖς πρὸς ἕτερα μέρη τῆς ἱστορίας ἐπειγομένοις παραλέλειπται.

Ἀπορία.

Πῶς ἡ ὑπόσχεσις τοῦ κυρίου πρὸς τὸν λῃστὴν πεπλήρωται, ὅτι σήμερον μεθ' ἐμοῦ ἔσῃ ἐν τῷ παραδείσῳ; μετὰ γὰρ τὸν σταυρὸν ὁ Χριστὸς εἰς ᾅδου ἐπὶ ἐλευθερίᾳ τῶν νεκρῶν παραγίνεται· ἔδει δὲ καὶ τὸν λῃστὴν, ὑπεύθυνον ὄντα τῷ νόμῳ τῆς φύσεως.

Λύσις.

Τινὲς μὲν οὕτως ἀναγινώσκουσιν· ἀμὴν λέγω σοι σήμερον· καὶ ὑποστίζουσιν· εἶτα ἐπιφέρουσιν, ὅτι μετ' ἐμοῦ ἔσῃ

A ἐν τῷ παραδείσῳ. ὡς ἂν εἴποι τις, ὅτι ἀμὴν λέγω σοι σήμερον ἐν τῷ σταυρῷ ὤν, ἔσῃ μετ᾽ ἐμοῦ ἐν τῷ παραδείσῳ. εἰ δὲ καὶ ἀναγινώσκειν δεῖ, ὡς τῇ συνηθείᾳ δοκεῖ, οὐδὲν ἐναντιοῦται· τοῦ σωτῆρος ἡμῶν, τῇ ἀπεριγράπτῳ αὐτοῦ θεότητι, οὐκ ἐν ᾅδῃ μόνον παραγεγονότος, ἀλλὰ καὶ ἐν παραδείσῳ ἅμα τῷ λῃστῇ, καὶ ἐν ᾅδου; καὶ μετὰ πατρὸς, καὶ ἐν τῷ τάφῳ· ἅτε τὰ πάντα πληροῦντος.

in paradiso. quasi dixerit quispiam; Amen dico tibi hodie, in cruce positus, Eris mecum in paradiso. Sed & si legendum fuerit, uti vult usus, nihil contrarium sequitur; quando Servator noster, incircumscriptâ suâ divinitate, non solùm in Inferno adfuerit, sed & in paradiso una cum latrone, & in Inferno, & cum Patre, & in sepulcro; utpote cuncta replens.

B

Ἀπορία.

Τίνι λόγῳ Ματθαῖος μὲν ὀψὲ σαββάτων ἱστορεῖ τὴν ἀνάστασιν· Μάρκος δὲ λίαν πρωῒ ἐπανατέλλοντος τοῦ ἡλίου· Λουκᾶς δὲ ὄρθρου βαθέος· Ἰωάννης δὲ ἔτι σκοτίας οὔσης; καὶ πῶς μὲν μίαν Ἰωάννης γυναῖκα· Λουκᾶς δὲ καὶ Μάρκος τρεῖς Ματθαῖος δὲ δύο, λέγουσιν ἐπὶ τὸ μνῆμα τὸ δεσποτικὸν ἐλθεῖν; καὶ τὰ ὀνόματα δὲ διαφόρως ἐξέθεντο. Λουκᾶς μὲν γὰρ τριῶν μνημονεύσας, τὴν μίαν αὐτῶν Ἰωάνναν εἶναί φησιν· Μάρκος δὲ ὡσαύτως C τριῶν ἐπιμνησθεὶς, Σαλώμην εἶναί φησιν ἐξ αὐτῶν τὴν μίαν.

Difficultas I.

Qua ratione Matthæus, vespere sabbati, resurrectionem narrat; Marcus, valde mane, jam orto sole; Lucas, valde diluculo; Johannes, cùm adhuc tenebræ essent? Et quo modo Johannes unam mulierem, Lucas & Marcus tres, Matthæus duas, dicunt ad monumentum Dominicum venisse? Sed & nomina diversè posuerunt. Nam Lucas trium mentionem faciens, earum unam Johannam dicit; at Marcus tres pariter commemorans, unam ex illis Salomen exstitisse ait.

Matt. XXVIII. 1. *Marc.* XVI. 1. *Luc.* XXIV. 1.

Luc. XXIV. 10.

Λύσις.

Εὑρίσκομεν πολλὴν εἶναι συνωνυμίαν ἐν τῇ θείᾳ γραφῇ· ὥσπερ καὶ νῦν συμβαίνει. ὅθεν καὶ ἡ ἀδελφὴ τῆς θεοτόκου, τῷ αὐτῷ ἐκέκλητο ὀνόματι, καὶ Μαρία Ἰακώβου. συνέβαινε δὲ καὶ * Μαγδαληνὰς οὐ μίαν εἶναι

Solutio.

Plurimam invenimus in Scriptura divina nominum communionem; quemadmodum & nunc accidit. Proinde & soror Deiparæ, eodem ac ipsa nomine vocabatur, & Maria Jacobi. Contigit quoque in Magdalenis, non unam fuisse,

* *In MS. semper cum* 1.

aut duas tantùm, sed tres; quarum una, à dæmonibus
Marc. XVI. 9. septem purgata est; cum qua reliquæ, itemque Johanna & Salome, variis beneficiis à Servatore affectæ, diversis temporibus, ad monumentum Dominicum cucurrerunt; quibus addere consentaneum est Mariam Jacobi filii Alphæi, aliamque pariter Mariam nuncupatam, matrem verò Jacobi Zebedæi filii. Hinc ergo considerare oportet apparitionum divisionem. Absque ulla enim sermonis contrarietate perscriptum est à Matthæo, unam Magdalenarum Mariam simul cum alia Maria, vespere Sabbati, pertingente usque ad mediam noctem, intrò in monumentum cucurrisse, quod
Gen. XXIII. 9. erat duplex, juxta figuram speluncæ Abrahami; cùmque essent in exteriori æde, Angelum vidisse, qui eadem horâ revoluit lapidem, postquam jam Christus è monumento exsurrexisset; ideoque exaratum esse; *Ecco terræ motus factus est magnus*; hoc est ad ipsius adventum: deinde audisse ab Angelo quæ audierunt; profectasque nunciasse discipulis, à se visum Dominum, & ipsius pedes adoratos; atque ad discipulos properasse: interea verò custodes rem urbi denunciasse. Quia autem Johannes solius Mariæ Magdalenæ meminit, aliam convenit eam esse conjicere, &

Marg.: Matt. XXVIII. 2. — * l. περὶ

A καὶ δύο μόνον, ἀλλὰ καὶ τρεῖς· ὧν ἡ μία ἐκ δαιμόνων ἑπτὰ κεκαθάρισται· μεθ' ἧς αἱ λοιπαί, ἅμα Ἰωάννα καὶ Σαλώμη, πολυτρόπως παρὰ τοῦ σωτῆρος εὐεργετηθεῖσαι, κατὰ διαφόρους καιροὺς, πρὸς τὸ μνῆμα τὸ δεσποτικὸν ἔδραμον· εἰκὸς τοίνυν καὶ Μαρίαν Ἰακώβου τοῦ υἱοῦ Ἀλφαίου, ἀλλὰ καὶ ἑτέραν Μαρίαν μὲν λεγομένην, μητέρα δὲ οὖσαν Ἰακώβου τοῦ Ζεβεδαίου. ἐντεῦθεν οὖν σκο-
B πεῖν δεῖ τῶν ὀπτασιῶν τὴν διαίρεσιν. οὐδεμίᾳ γὰρ ἐναντιολογίᾳ ἀναγέγραπται τῷ Ματθαίῳ, μίαν τῶν Μαγδαληνῶν Μαρίαν ἅμα ἄλλῃ Μαρίᾳ, ὀψὲ σαββάτων, παρατεινούσῃ ἄχρι μεσονυκτίου, ἐντὸς εἰς τὸ μνῆμα δραμεῖν, διπλοῦν ὑπάρχον κατὰ τὸν τύπον τοῦ σπηλαίου τοῦ Ἀβραάμ, καὶ ἐν τῷ ἐξωτέρῳ οἴκῳ γενομένας, τὸν ἄγγελον ἰδεῖν, ἐν αὐτῇ τῇ ὥρᾳ τὸν λίθον ἀποκυλίσαντα,
C ἐξαναστάντος ἤδη τοῦ μνήματος τοῦ Χριστοῦ· διὰ τοῦτο γεγράφθαι· ἰδοὺ σεισμὸς ἐγένετο μέγας, τουτέστιν ἅμα τῇ αὐτοῦ παρουσίᾳ· εἶτα ἀκοῦσαι * παρὰ τοῦ ἀγγέλου ἅπερ ἤκουσαν· καὶ πορευομένας ἀπαγγεῖλαι τοῖς μαθηταῖς ἰδεῖν τὸν κύριον, καὶ προσκυνῆσαι αὐτοῦ τοὺς πόδας, καὶ πρὸς τοὺς μαθητὰς ἐπειχθῆναι· ἐν τοσούτῳ δὲ τοὺς φύλακας ἀπαγγεῖλαι ἐν τῇ πόλει τὸ γεγονός. ἐπειδὴ δὲ Ἰωάννης τῆς Μαγδαληνῆς μόνης μέμνηται Μαρίας, ἄλλην ὡς εἰκὸς ταύτην ὑποληπτέον, καὶ

τῆς προτέρας ἀτελεστέραν, ἥτις δραμοῦσα καὶ εἰς τὸ μνημεῖον ἐλθοῦσα, καὶ τὸν λίθον ἀποκεκυλισμένον εὑροῦσα, οὐδὲν πλέον παθοῦσα, πρὸς Πέτρον καὶ Ἰωάννην ἀφίκετο. οἱ δὲ ἐλθόντες καὶ τὰ ἐντάφια θεασάμενοι διῃρημένως κείμενα, ἀπῆλθον θαυμάζοντες. τῇ δὲ Μαρίᾳ ἐν τῷ ἐξωτέρῳ σπηλαίῳ κλαιούσῃ, καὶ ἔνδον βλεπούσῃ φανέντες οἱ ἄγγελοι, πρὸς τὸν ὀφθέντα αὐτοῖς ἔξω ἑστῶτα Χριστὸν, διεγερθέντα στραφῆναι τὴν Μαρίαν ἔξω πάλιν πεποιήκασιν· ᾗ φησὶν ὁ κύριος· τί κλαίεις; καὶ τὰ ἑξῆς. εἶτα ἐπιγνούσῃ καὶ Ῥαββουνὶ καλούσῃ, τὸ μή μου ἅπτου, καὶ τὰ ἐχόμενα πρὸς αὐτὴν ἀπεκρίνατο. οὐδὲν οὖν ἀπεικὸς μετὰ τὴν ὅρασιν ταύτην τὴν Μαρίαν πρὸς τοὺς ἀποστόλους τρέχουσαν συναντῆσαι ταῖς * τοῦ Λουκᾶ ἐμφερομέναις ἐπὶ τὸ μνῆμα τρεχούσαις, Μαρίᾳ τοῦ Ἰακώβου καὶ Ἰωάννᾳ, καὶ ταύτας ἑλκῦσαι πρὸς τὸ κοινωνῆσαι αὐτῇ τῆς ὀπτασίας. ὡς δὲ ἐντὸς τοῦ μνήματος ἐγένοντο, καὶ οὐδένα τεθέανται, ἠπόρησαν ἑκάτεραι· ἡ μὲν Μαγδαληνὴ ἐφ' οἷς οὓς πρώην ἀγγέλους ἑώρα, νῦν οὐ τεθεᾶτο· αἱ δὲ ἄλλαι δύο, διὰ τὸ δεσποτικὸν σῶμα, ὅτι ἐκεῖ μὴ εὑρεθέν. ἑκατέραις οὖν πάλιν ἐπιφανέντες οἱ ἄγγελοι, τὰ ἱστορηθέντα τῷ Λουκᾷ πρὸς αὐτὰς διελέχθησαν. ἐλθοῦσαι τοίνυν αἱ τρεῖς μετὰ καὶ τῶν λοιπῶν

A primâ imperfectiorem, quæ currens accedensque ad monumentum, & lapidem revolutum nacta, nihil aliud passa, ad Petrum & Johannem perrexit. Illi porrò venientes, atque intuiti linteamina sepulcralia divisim jacentia, abierunt mirantes. Jam verò Mariæ in exteriori sepulcro ploranti, ac introspicienti, apparentes Angeli, effecerunt ut Maria iterum retrò extraque converteretur ad Chri-
B stum qui ab ipsis conspectus fuerat, extrà stabat, & resurrexerat; cui dicit Dominus; *Quid ploras?* & quæ deinceps. *Joh* xx.
Inde agnoscenti, & vocanti, 13 16.
Rabboni, illud, *Noli me tangere*, & subsequentia prolocutus est. Nihil ergo absurdi est, si post visionem hanc Maria ad Apostolos currens, offenderit illas Lucæ relatas, ad monumentum currentes, Ma- *f. τῷ
riam Jacobi & Johannam, easque traxerit ad participan-
C dam cum ea visionem. Ubi autem intra monumentum fuerunt, & viderunt neminem, cunctæ anxiæ fuerunt; Magdalena quidem, eapropter quòd quos priùs intuita fuerat Angelos, nunc non cerneret; aliæ verò duæ, propter Domini corpus, quod illic non reperirent. Illis ergo apparentes iterum Angeli, quæ per Lucam narrantur, ad illas elocuti sunt. Quocirca venientes illæ tres, una cum reliquis

mulieribus, à Luca obiter memoratis, renunciaverunt discipulis. Qui quòd à Petro & Johanne accepissent, nullum à se conspectum, cùm accessissent ad monumentum, quæ à feminis dicebantur, pro deliramento duxerunt. Cæterùm Petrus, ut ingenio fervidus, secundâ vice pergens ad sepulcrum, & consentanea primæ profectioni contuitus, recessit admirans quod evenerat. Porrò Marcus aliam Mariam Magdalenam à duabus Matthæo, Lucæ, & Johanni conscriptis, tradit unà cum Salome, & Maria Jacobi diversâ à priore, ut competit postremas cucurrisse ad monumentum; intuitasque unius Angeli, illius qui apud Matthæum legitur, apparitionem, & timore correptas, fugisse à monumento, nec cuiquam ausas fuisse dicere, propterea quod jam sol ortus esset, ac Judaicum prævidentes metum.

*l. θεασαμένας

Difficultas LI.

Luc. XXIV. 3. Marc. XVI. 5. Matt. XXVIII. 8. Ioh. XX. 11.

Quid rei est, quòd Lucas & Marcus, mulieres introiisse in monumentum; alii duo, non hoc, sed tantùm introspexisse perterritas indicent?

Solutio.

Matthæus quidem & Marcus id narrant quod initio actum, quando illico advenerunt; Lucas verò id quod postea, cùm jam recessuræ essent à

A γυναικῶν τῶν τοῦ Λουκᾶ ἐν παραδρομῇ ἱστορημένων, ἀπήγγειλαι τοῖς μαθηταῖς. οἱ δὲ παρὰ Πέτρου καὶ Ἰωάννου ἀκηκοότες ὡς οὐδένα τεθέανται εἰς τὸ μνῆμα ἐλθόντες, λῆρον τὰ παρὰ τῶν γυναικῶν λεχθέντα ἡγήσαντο. ὁ δὲ Πέτρος ὡς θερμὸς, ἐκ δευτέρου ἐπὶ τὸ μνῆμα ἐλθὼν, καὶ ἀκόλουθα τῇ πρώτῃ ἀφίξει θεασάμενος, ἀπῆλθε θαυμάζων τὸ γεγονός. Μάρκος μέν τοι ἑτέραν Μαρίαν Μαγδαληνὴν παρὰ τὰς δύο, τὰς τοῦ Ματ-
B θαίῳ, Λουκᾶ τε καὶ Ἰωάννῃ συγγεγραμμένας, ἅμα Σαλώμῃ καὶ Μαρία Ἰακώβου, ἑτέρα ταύτῃ οὔσῃ παρὰ τὴν πρώτην, ἐκτίθεται, ὡς εἰκὸς τελευταίας ἐπὶ τὸ μνημεῖον δραμεῖν· καὶ τὴν τοῦ ἑνὸς ἀγγέλου, τοῦ παρὰ τοῦ Ματθαίῳ κειμένου ὀπτασίαν* θεασάμενος, περιφόβους τε γενομένας, φυγεῖν ἐκ τοῦ μνημείου, καὶ μηδενὶ θαρρῆσαι εἰπεῖν, διὰ τὸ ἀνατεῖλαι λοιπὸν τὸν ἥλιον, τὸν Ἰουδαϊκὸν προορωμένας φόβον.

C

Ἀπορία.

Διατί Λουκᾶς μὲν καὶ Μάρκος εἰσελθεῖν εἰς τὸ μνῆμα τὰς γυναῖκας· οἱ δὲ λοιποὶ, οὐ τοῦτο, ἀλλὰ μόνον παρακύψαι πεφοβημένας μηνύουσιν;

Λύσις.

Ματθαῖος μὲν καὶ Μάρκος ἱστοροῦσι τὸ ἐν ἀρχῇ γεγονὸς, ἡνίκα εὐθέως ἐπέστησαν· Λουκᾶς δὲ τὸ μετὰ τοῦτο, ὅτε λοιπὸν ἀναχωρεῖν τοῦ

A μνήματος ἔμελλον. ἐπειδὴ γὰρ κατὰ τὸ τοῦ Ἀβραὰμ σπήλαιον, διπλᾶ τῶν Ἰουδαίων ὑπῆρχε τὰ μνήματα, ὁ δὲ ἐπιβληθεὶς λίθος τῇ θύρᾳ, τὸν ἔνδον οἶκον, τὸν τὸ δεσποτικὸν σῶμα ἔχοντα, ἀπὸ τοῦ ἔξω διώριζεν, ἐν τῷ προβεβλημένῳ οἴκῳ εἰσελθοῦσαι τὸν ἄγγελον ἐθεάσαντο ἐν τῷ λίθῳ καθήμενον, καθὰ τῷ Ματθαίῳ δοκεῖ· τῷ δὲ Μάρκῳ, νεανίσκον περιβεβλημένον στολὴν λευκήν, καὶ καθήμενον ἐν τοῖς δεξιοῖς, δηλονότι τοῦ ἐξωτέρου σπηλαίου. δι' ἑκατέρων οὖν B. τῶν εὐαγγελιστῶν, Ματθαίου καὶ Μάρκου, ἄγγελον εἶναι τὸν φανέντα ταῖς γυναιξί, προτρεπόμενον αὐτὰς ἰδεῖν τὸν τόπον, ἔνθα τὸ σῶμα τὸ δεσποτικὸν ἔκειτο. ὡς παραλειφθὲν παρὰ τούτων, ὁ Λουκᾶς ἀκριβέστερον ἔγραψεν εἰπών, εἰσελθοῦσαι οὐχ εὗρον τὸ σῶμα τοῦ κυρίου Ἰησοῦ. ὅθεν οὐκ ἐναντίον ἀλλήλοις εἰρήκασι.

monumento. Quia enim juxta Abrahæ ſpeluncam, duplicia erant Judæorum monumenta, & lapis portæ immiſſus, interiorem ædem, quæ Dominicum corpus continebat, ab exteriori ſeparabat, ingreſſæ ædem prominentem, Angelum conſpexerunt ſedentem in lapide, juxta Matthæi Evangelium; at ex Marco, juvenem coopertum ſtolâ candidâ, & ſedentem in dextris, exterioris videlicet ſpeluncæ. Fuit ergo ſecundùm utrumque Evangeliſtam, Matthæum & Marcum, Angelus qui apparuit mulieribus, hortatuſque eſt eas ut viderent locum, ubi corpus Dominicum poſitum fuerat. Itaque quod ab illis prætermiſſum eſt, Lucas accuratiùs ſcripſit, dicens; *Ingreſſæ non invenerunt corpus Domini Jeſu.* Unde nihil aliis contrarium ſinguli protulerunt.

Gen. xxiii. 9.

Ἀπορία.

Τίνι λόγῳ διαφόρως τὴν τῶν ἀγγέ- C λων ὀπτασίαν, αὐτήν τε τὴν τοῦ κυρίου τὴν πρὸς τὰς γυναῖκας γενομένην ἱστόρησαν;

Difficultas LII.

Quâ ratione apparitionem Angelorum, ipſamque Domini ad mulieres, variè deſcripſerunt?

Λύσις.

Οὐκ ἐναντία ἡ τῶν ἀγγέλων ὀπτασία. Ματθαῖος μὲν γὰρ καὶ Μάρκος, ἕνα καθὼς προειρήκαμεν, ἱστόρησαν ταῖς γυναιξὶν ἐπιφανῆναι ἄγγελον· Λουκᾶς δὲ καὶ Ἰωάννης, τὴν πρώτην ὀπτασίαν παραδραμόντες, τὸν ἔνδον

Solutio.

Contrarii nihil habet apparitio Angelorum. Siquidem Matthæus & Marcus, unum, ut antea diximus, Angelum retulerunt apparuiſſe mulieribus; Lucas verò & Johannes, primam apparitionem

Matt. xxviii. 2. Marc. xvi. 5. Luc. xxiv. 4. Ioh. xx. 11. 12.

prætermittentes, Angelos duos, qui intus visi sunt, describunt: Johannes autem, in exteriori spelunca ad ostium Mariam designat stantem, & intrò prospicientem, vidisse duos Angelos in albis; at Lucas, cùm
Luc. XXIV. ℣. 4. ingressæ essent in sepulcrum, nec invenissent corpus, ideoque mente consternatæ essent, conspexisse duos viros, in veste fulgenti; id quod eos Angelos esse denotabat. Quod autem ait, *Steterunt secus*, non significat apparuisse eos, sed quòd, ut Angeli, etiam præsentes, non semper, sed quando volebant, conspiciebantur. Unde nec Petro in monumentum ingresso apparuerunt, quamvis adessent; mulieribus verò divisim ingressis post consternationem, tamquam infirmioribus ipsos se videndos præbuerunt. Quòd si dixeris; Quo modo apud
Ioh XX. ℣. 11. Johannem, Angelus super lapidem sedens non apparuerit Mariæ iterum ingressæ; caussa manifesta est. Etenim primò quidem cernens Maria lapidem revolutum, nihil ampliùs rimata, ad Petrum & Johannem obversa est. Secundò autem, eidem Angelis intus sedentibus occursuræ, opus non fuit ut appareret Angelus qui supra lapidem sedebat. Nam de Domini apparitione quæ mulieribus facta est, non oportet quærere, sed credendum est veritati. Diversis enim vicibus

* f. μελλούσῃ

A φανέντας ἀγγέλους δύο γράφουσιν· Ἰωάννης δὲ ἐν τῷ ἔξω σπηλαίῳ παρὰ τὴν θύραν τὴν Μαρίαν διαγράψας ἑστῶσαν καὶ ἔνδον παρακύψασαν, θεωρῆσαι σὺν δύο ἀγγέλους ἐν λευκοῖς· Λουκᾶς δὲ ἐν τῷ εἰσελθούσας αὐτὰς ἔνδον, καὶ μὴ εὑρούσας τὸ σῶμα, καὶ διὰ τοῦτο διαπορούσας, τεθεᾶσθαι δύο ἄνδρας ἐν ἐσθήσεσιν ἀστραπτούσαις, ὅπερ ἀγγέλους αὐτοὺς ἐχαρακτήριζεν. τὸ δὲ λέγειν, ἐπέστησαν, οὐχ
B ὥστε φανέντων, ἀλλ' ὅτι ὡς ἄγγελοι, καὶ παρόντες, οὐ πάντοτε, ἀλλ' ὅτε ἤθελον ἐφαίνοντο. ὅθεν οὐδὲ Πέτρῳ εἰσελθόντι εἰς τὸ μνημεῖον ἐφάνησαν, καί τοι παρόντες· ταῖς δὲ γυναιξὶ διῃρημένως εἰσελθούσαις μετὰ τὸ ἀπορῆσαι, ὡς ἀσθενεστέραις ἑαυτοὺς ἐνεφάνησαν. εἰ δὲ λέγοις· πῶς παρὰ τῷ Ἰωάννῃ Μαρίᾳ μὲν οὐκ ἐφάνη ὁ ἐπὶ τῷ λίθῳ καθήμενος ἄγγελος, εἰσελθούσῃ δεύτερον, ἡ αἰτία δήλη.
C τὸ μὲν γὰρ πρῶτον ἰδοῦσα ἡ Μαρία τὸν λίθον ἐκκεκυλισμένον, οὐδὲν πλέον περιεργασαμένη, πρὸς τὸν Πέτρον καὶ Ἰωάννην ἀντέστρεψεν. τὸ δεύτερον δὲ τοῖς ἔνδον ἀγγέλοις περιτυγχάνειν * μέλλουσαν, οὐ χρεία τὸν ἐπὶ τοῦ λίθου φανῆναι καθήμενον ἄγγελον. περὶ γὰρ τῆς τοῦ κυρίου ἐπιφανείας, τῆς ταῖς γυναιξὶ γενομένης, οὐ χρεία ζητεῖν, ἀλλὰ τῇ ἀληθείᾳ πιστεύειν. διαφόρως γὰρ πρὸς

τὸ μνῆμα δραμούσαις, οὐ τῶν αὐταῖς γυναιξὶν, ἀλλὰ ποτὲ μὲν δυσὶν ἐξ αὐτῶν, ποτὲ δὲ μιᾷ ἑτέρᾳ παρ' αὐτὰς τυγχανούσῃ, ποτὲ δὲ ἄλλαις, διαφόρως καὶ ὁ κύριος ἐφάνη· ὧν τῇ μὲν ὡς ἀσθενεστέρᾳ, τῇ δὲ ὡς τελειοτέρᾳ τυγχανούσῃ, καταλλήλως ἐμέτρει τὸν ἑαυτοῦ ἐμφανισμὸν ὁ κύριος. ὅθεν Μάρκος μὲν ἐν ἐπιτόμῳ τὰ μέχρι τοῦ ἑνὸς ἀγγέλου διελθὼν, τὸν λόγον κατέπαυσεν· Λουκᾶς δὲ τὴν τοῦ κυρίου πρὸς τὰς γυναῖκας ὀπτασίαν σιωπήσας, αἰνιξάμενος δὲ μόνον, ἐν τῇ κατὰ Κλεόπαν ἱστορίᾳ τὴν εὐαγγελικὴν πραγματείαν συνεπέρανεν· ἐν τῷ λέγειν· ἀπῆλθόν τινες τῶν σὺν ἡμῖν ἐπὶ τὸ μνημεῖον, καὶ εὗρον οὕτως καθὼς καὶ αἱ γυναῖκες εἶπον, αὐτὸν δὲ οὐκ εἶδον.

A cùm ad monumentum cucurrerint, non eædem mulieres, verùm modò duæ ex ipsis, modò una & diversa, modò aliæ; diverso quoque modo Dominus illis apparuit; quarum alteri tamquam imbecilliori, alteri ut perfectiori, ex proportione mensus est Dominus apparitionem suam. Quocirca Marcus compendiosè percursis iis quæ ad unum dumtaxat Angelum pertine- B bant, sermoni finem imposuit: Lucas Domini ad mulieres apparitionem reticens, & innuens tantùm, in historia de Cleopha Evangelicum opus conclusit; dicendo; *Abierunt quidam ex nostris ad monumentum; & ita invenerunt sicut mulieres dixerunt, ipsum verò non viderunt.* Luc. XXIV. 24.

Ἀπορία.

Πῶς Ἰωάννης φησὶν εἰρηκέναι τῇ Μαρίᾳ τὸν κύριον, μή μου ἅπτου, καὶ τὰ ἑξῆς· Ματθαίου ἱστορήσαντος, ὅτι κρατήσασαι τοὺς πόδας αὐτοῦ προσεκύνησαν αὐτῷ;

Difficultas LIII.

Quæ ratio, quòd Johannes ait Dominum dixisse Mariæ; C *Noli me tangere*, & reliqua; Matthæo narrante, eas complexas pedes ejus adoravisse eum? Ioh. XX. 17. Matt. XXVIII. 9.

Λύσις.

Ὡς καὶ ἤδη ἀποδέδεικται, ἀσθενεστέρα τῇ πίστει τῶν λοιπῶν ἦν αὕτη. ὅθεν νομίσασα ὡς τὸ πρὶν, οὕτω συνέσεσθαι τῷ Χριστῷ, μηδὲν μέγα περὶ αὐτοῦ φανταθεῖσα, δικαίως ἐπετιμήθη, καὶ ἔμαθεν ὅτι πρὸς τὸν ἐν οὐρανοῖς πατέρα ὅθεν ἥκει δεῖ αὐτὸν ἀπελθεῖν.

Solutio.

Quemadmodum suprà ostensum est, infirmior fide cæteris hæc erat. Quare arbitrata quòd ut priùs ita cum Christo conversatura esset, nihil magnum de ipso imaginata, jure increpata fuit, didicitque reverti eum debere ad Patrem cœlestem, unde venerat.

A

Difficultas LIV.

Luc. XXIV. 9. *Ioh.* XX. 18. *Marc.* XVI. 8.

Quid caussæ est, quòd Lucas & Johannes mulieres scripserunt renunciasse Apostolis resurrectionem Christi; Marcus verò, eas tacuisse, nihilque præ timore dixisse perhibet; at Matthæus utrumque dictorum tacitus præterivit?

Ἀπορία.

Τίνος χάριν Λουκᾶς μὲν καὶ Ἰωάννης ἀπαγγεῖλαι τὰς γυναῖκας τοῖς ἀποστόλοις τοῦ Χριστοῦ τὴν ἀνάστασιν ἔγραψαν· Μάρκος δὲ σιωπῆσαι καὶ μηδὲν εἰπεῖν διὰ τὸν φόβον μαρτύρεται· ὁ δὲ Ματθαῖος σιωπῇ παρέδραμεν καὶ τὸ τῶν εἰρημένων ἑκάτερον;

Solutio.

Matt. XXVIII. 11.

Illud Matthæi, facilè solvitur. Non enim dixit mulieres mandata non renunciasse; sed iis profectis ut nunciarent discipulis, milites venisse in civitatem ad principes sacerdotum, & indicavisse quod contigerat miraculum ad sepulcrum. Lucas verò & Johannes consentientes cum præcedenti Evangelista, nunciasse eas Apostolis conscripserunt. Marcus autem, postremas profectas orto jam sole, meritò ait nihil ob timorem dixisse. Ea ergo de caussa illæ nihil denunciarunt; vel subaudire oportet, ut nihil dixerint usque ad apparitionem Domini ad eas factam.

Λύσις.

Τὸ μὲν Ματθαίου ἑτοίμην ἔχει τὴν

B λύσιν. οὐ γὰρ εἶπεν ὡς αἱ γυναῖκες τὰ ἐνταλθέντα * ἀπαγγεῖλαι· ἀλλ᾽ ὅτι πορευομένων ἀπαγγεῖλαι τοῖς μαθηταῖς, ἡ τῶν στρατιωτῶν γέγονεν ἄφιξις ἐν τῇ πόλει πρὸς τοὺς ἀρχιερεῖς, τὸ συμβὰν περὶ τὸ μνῆμα θαῦμα μηνυόντων. Λουκᾶς δὲ καὶ Ἰωάννης συμφώνως τῷ προλαβόντι εὐαγγελιστῇ ἀπαγγεῖλαι ταύτας τοῖς ἀποστόλοις ἀνεγράψαντο. Μάρκος δὲ τὰς τελευταίας ἐλθούσας τοῦ

C ἡλίου λοιπὸν ἀνατείλαντος, εἰκότως φησὶ διὰ τὸν φόβον μηδὲν εἰπεῖν. ἢ τούτου τοίνυν χάριν, ταύτας μηδὲν ἀπαγγεῖλαι, ἢ προσυπακούειν δεῖ ὡς ἄχρι τῆς τοῦ κυρίου πρὸς αὐτὰς ἐμφανείας οὐδὲν εἶπον.

* *f.* οὐκ ἀπήγγειλαν

Difficultas LV.

Ioh. XX. 3. *Luc.* XXIV. 12.

Quorsum Johanne referente, Petrum & Johannem ad Dominicum monumentum eucurrisse, Lucas solum Petrum scripsit venisse ad sepulcrum?

Ἀπορία.

Τίνος χάριν Ἰωάννου, Πέτρον καὶ Ἰωάννην πρὸς τὸ δεσποτικὸν μνῆμα δραμεῖν ἱστορήσαντος, ὁ Λουκᾶς μόνον τὸν Πέτρον πρὸς τὸν τάφον ἐλθεῖν συνεγράψατο;

A

Λύσις.

Καθὼς καὶ ἀνωτέρω περὶ τούτου ἀναγέγραπται, διαφόρων γινομένων τῶν γυναιξὶ πρὸς τὸ μνῆμα ἀφίξεων, διαφόρως καὶ τὰ ἐπ' αὐτῷ πραχθέντα ἱστόρηνται. ὅτε οὖν Πέτρῳ καὶ Ἰωάννῃ ἡ Μαγδαληνὴ Μαρία ἀπήγγειλεν ἀρθῆναι ἐκ τοῦ τάφου τοῦ κυρίου τὸ σῶμα, ἀμφότεροι ἐκεῖσε παρεγένοντο. μετὰ δὲ τοῦτο τῶν παρὰ Λουκᾷ ἱστορηθεισῶν γυναικῶν τοῖς μαθηταῖς τὸ ὁραθὲν αὐταῖς μηνυσασῶν, καὶ ἀπιστουμένων παρ' αὐτῶν, ὁ Πέτρος ὡς θερμὸς ἐκ δευτέρου ἐκεῖσε παρεγένετο.

Solutio.

Sicut superiùs ea de re scriptum est, cùm diversæ fuerint mulierum ad monumentum profectiones, diverso quoque modo quæ illic gesta sunt enarrantur. Quando igitur Petro & Johanni Magdalena Maria renunciavit, sublatum fuisse è sepulcro Domini corpus, ambo illuc perrexerunt. Postea verò, cùm mulieres per Lucam memoratæ, discipulis quod viderant indicassent, nec ab iis crederentur, Petrus ut ardens, iterum illò profectus est. *Ioh.* XX. 1.

B

Ἀπορία.

Τίνος χάριν τοῖς μαθηταῖς εἰς τὴν Γαλιλαίαν δραμεῖν, διὰ τῶν γυναικῶν ἐντειλάμενος, ὡς ἐκεῖσε αὐτοῖς ἐμφανισθησόμενος, ἐν Σιὼν ἐμφανίζεται; πῶς δὲ καὶ ὁ Λουκᾶς λέγει παρεῖναι τοὺς ἕνδεκα, τοῦ Θωμᾶ * ἱστορήσαντος;

Difficultas LVI.

Quæ caussa fuit, ut qui discipulis ad Galilæam properare per mulieres præceperat, quasi illic iis apparicurus, in Sion appareret? Et quo modo Lucas dicit adfuisse undecim, cùm tamen abesset Thomas?

Matt. XXVIII. 10. *Luc.* XXIV. 33.

* *l.* ὑστερήσαντος

C

Λύσις.

Πρῶτον μὲν περιφόβοις οὖσιν τοῖς ἀποστόλοις, καὶ μηδὲ ἐξελθεῖν τῆς Ἱερουσαλὴμ τολμῶσι διὰ τὸν φόβον τῶν Ἰουδαίων, εἰκότως ἔδει ἐν τῇ Σιὼν ἐμφανισθῆναι τὸν κύριον, καὶ λῦσαι αὐτοῖς τὸν φόβον, καὶ τὴν εἰρήνην παρασχεῖν, καὶ τὴν ἀνάστασιν πιστώσασθαι· τὴν μέντοι τοῦ ζωοποιοῦ βαπτίσματος παράδοσιν, ἅμα τοῖς τελειοτέροις δόγμασιν ἐν τῇ Γαλιλαίᾳ * τούτοις ἐγχειρῆσαι,

Solutio.

Primò quidem territis Apostolis, nec audentibus Hierosolyma egredi ob metum Judæorum, meritò oportuit Dominum in Sion apparere, & adimere illis timorem, pacemque dare, ac resurrectionis fidem facere: attamen vivifici baptismatis traditionem unà cum perfectioribus dogmatibus præbere illis in Galilæa,

* *f.* τούτοις ἐγχειρίσαι

Matt. xxviii. 16. Marc. xvi. 15. Matt. iv. 16. 17. Judaicæ temeritatis metu liberatis; ut qui in Galilæa magnam lucem ostendisset iis qui sedebant in tenebris, salutarem nempe baptismum; ad quem cohortans dixit; *Pœnitentiam agite, appropinquavit enim regnum cælorum.* Undecim autem discipulorum idcirco Lucas meminit, quoniam Juda in peccatum delapso, & Thoma absente, Matthias planè aderat, quem pro Juda sorte elegerunt, ut qui in omni tempore usque ad ascensionem Christi testis esset resurrectionis ejus, quemadmodum à Luca narratur. Act. i. 21. 22.

A τῆς Ἰουδαϊκῆς θρασύτητος τὸν φόβον ἀποσεισαμένοις· ἅτε ἐν τῇ Γαλιλαίᾳ τὸ μέγα φῶς δείξαντα, τοῖς ἐν σκότει καθημένοις, τὸ σωτήριον δηλαδὴ βάπτισμα· ἐφ' ᾧ προτρεπόμενος ἔλεγε· μετανοεῖτε, ἤγγικε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν. τῶν δὲ ἕνδεκα μαθητῶν, τούτου χάριν ὁ Λουκᾶς ἐμνημόνευσεν, ὅτι Ἰούδα ἐκπεσόντος, καὶ Θωμᾶ μὴ παρόντος, Ματθίας πάντως παρῆν, ὃν ἀντὶ τοῦ Ἰούδα ἐκλήρωσαι, ὡς ἐν παντὶ τῷ χρόνῳ B μέχρι τῆς ἀναλήψεως τοῦ Χριστοῦ μάρτυρα τῆς ἀναστάσεως αὐτοῦ γενόμενον, καθὼς Λουκᾷ ἱστόρηται.

Difficultas LVII.

Ἀπορία.

Joh. xx. 19. Quî factum est ut Johannes dixerit, cùm esset serò unâ sabbatorum, cunctis discipulis, præterquam Thomæ, Christum seipsum manifestasse; Lucas verò, soli Petro, quando Cleophas comesque illius vespere ejusdem diei Hierosolymam reversi sunt, postquam Dominum in Emmaus conspexissent? Luc. xxiv. 34.

Πῶς Ἰωάννης λέγει, ὅτι ὀψίας οὔσης τῇ μιᾷ τῶν σαββάτων, ὅλοις ἑαυτὸν τοῖς μαθηταῖς, πλὴν τοῦ Θωμᾶ ὁ Χριστὸς ἐνεφάνισεν· Λουκᾶς δὲ ὅτι Πέτρῳ μόνον, ἡνίκα οἱ περὶ Κλεόπαν ἐν ἑσπέρᾳ τῆς αὐτῆς ἡμέρας εἰς Ἱερουσαλὴμ ὑπέστρεψαν, C εἰς τὴν Ἐμμαοῦ τὸν κύριον θεασάμενοι;

Solutio.

Λύσις.

*f. μετ' Primò post mulieres Petro, indeque Apostolis Christus apparuit, sicut Paulus ait; *Quia visus est Cephæ, & postea duodecim.* non Thomam connumerans, neque enim aderat, sed Matthiam & Justum. Cùm igitur adhuc in via ab Emmaus essent duo illi, quorum unus 1. Cor. xv. 5.

Πρῶτον * μετὰ τὰς γυναῖκας τῷ Πέτρῳ, καὶ τότε τοῖς ἀποστόλοις ὁ Χριστὸς ἐφάνη, καθὼς Παῦλός φησιν· ὅτι ὤφθη Κηφᾷ, ἔπειτα τοῖς δώδεκα· οὐ τὸν Θωμᾶν συναριθμῶν, οὐ γὰρ παρῆν, ἀλλὰ Ματθίαν καὶ Ἰοῦστον. ἔτι τοίνυν τῶν περὶ Κλεόπαν κατὰ τὴν ὁδὸν τὴν ἀπὸ Ἐμμαοῦς ὄντων,

ὄντων, τῷ Πέτρῳ ὁ Χριστὸς ἐμφανίζεται. ὡς δὲ ἐπανῆλθον ἀπὸ Ἐμμαοῦς, καὶ τοῖς ἀποστόλοις ἀπήγγειλαν, πῶς ἐγνώσθη αὐτοῖς ἐν τῇ κλάσει τοῦ ἄρτου· τότε πᾶσιν αὐτοῖς ἐν τῇ Σιὼν ὁ Χριστὸς ἐπεδήμησε, καθὼς Λουκᾶς παραδίδωσιν. οὐ γὰρ δεῖ θαυμάζειν, εἰ ἐν μιᾷ ἡμέρᾳ ἀπὸ Ἱερουσαλὴμ εἰς Ἐμμαοῦ, καὶ ἀπὸ Ἐμμαοῦς εἰς Ἱερουσαλὴμ παρεγένοντο. οὔτε γὰρ γέγραπται ὅτι ἑσπέρα ἦν ὅτε τῇ Ἐμμαοῦ ἤγγισαν, ἀλλὰ πρὸς ἑσπέραν, ὅτι κέκλικεν ἡ ἡμέρα, ὡς εἶναι τυχὸν ὀγδόην, ἢ ἐνάτην ὥραν. ἀπὸ γὰρ ἑβδόμης, ὡς πρὸς τὸ ἑσπέριον κλίνει μέρος ὁ ἥλιος. ἐκτὸς τοίνυν καὶ δρόμῳ τούτους χρήσασθαι ὑπὸ περιχαρείας τὸ θαῦμα ἀπαγγέλλοντας, καὶ φθάσαι μέχρις ὀψίας βαθείας· ὀψίαν γὰρ τὸ μέχρι πολλοῦ τῆς νυκτὸς παρατεινόμενον μέρος ἔθος ἡμῖν καλεῖν· ἐκεῖσέ τε αὐτοῖς ἅμα τοῖς λοιποῖς φανῆναι τὸν κύριον.

A Cleophas, Christus Petro apparet. Ut autem ab Emmaus reversi sunt, & Apostolis annunciarunt, quo pacto ab illis agnitus fuerit in fractione panis; tunc ad cunctos illos Christus in Sion advenit, quemadmodum tradit Lucas. *Luc.* XXIV. 36. 29.
Non enim admirari oportet, quòd eodem die à Jerusalem in Emmaus, & ab Emmaus in Jerusalem profecti fuerint. Neque enim scriptum est vesperam fuisse, quando appropin- B quaverunt castello Emmaus, sed advesperasse & inclinatam esse jam diem; adeò ut esset forsan octava vel nona hora. quia à septima, quasi ad vespertinam partem inclinat sol. Præterquam quod cursum illi adhibuerint, præ gaudio, ut nunciarent miraculum, & pervenerint valde serò. Serum enim appellare solemus quod ad multam noctem protenditur tempus. Atque illic ipsis juxta C ac reliquis apparuit Dominus.

Ἀπορία.

Ποῦ τὸν ἰχθὺν ὁ Χριστὸς ἔφαγεν; εἰ μὲν γὰρ ἐπὶ τῆς Ἱερουσαλήμ, πῶς ἐπὶ τῆς Γαλιλαίας γεγονέναι ὁ Ἰωάννης ἱστόρησεν; εἰ δὲ ἐπὶ τῆς Γαλιλαίας, πῶς ὁ Λουκᾶς φησὶν ἐντείλασθαι τοῖς μαθηταῖς, ὑμεῖς καθίσατε ἐν τῇ πόλει Ἱερουσαλήμ; πῶς δὲ ἐκεῖθεν εἰς Βηθανίαν αὐτοὺς ἐξαγαγὼν ἀνελήφθη;

Difficultas LVIII.

Ubinam Christus piscem comedit? Nam si Hierosolymis; quo modo Johannes in Galilæa factum narravit? *Joh.* XXI. 1. &c. Si in Galilæa; quo modo Lucas ait, præcepisse discipulis, *vos sedete in civitate Jerusalem?* *Luc.* XXIV. 49. 50. Quo pacto etiam illinc in Bethaniam eos educens, assumptus est?

A

Solutio.

Quandoquidem ſæpe, ut per dies quadraginta, cœnavit Dominus cum diſcipulis, unam quidem cœnam in Galilæa apparatam retulit Johannes; duas verò Lucas; primam in Emmaus, alteram ad Sion, in
Luc. xxiv. 42. qua & aſſi piſcis mentionem fecit, non autem piſcium, neque prunæ, neque panis,
Joh. xxi. 10. 9. quemadmodum in cœna Galilææ à Johanne deſcripta.

Λύσις.

Πολλάκις ὡς ἐν ἡμέραις τεσσαράκοντα τοῖς μαθηταῖς συνδειπνήσαντος τοῦ κυρίου, ἓν μὲν δεῖπνον ὁ Ἰωάννης ἐν τῇ Γαλιλαίᾳ ἱστόρησεν, δύο δὲ Λουκᾶς, πρῶτον τὸ τῆς Ἐμμαοὺς, καὶ ἕτερον τὸ τῆς Σιών· ἐν ᾧ καὶ τοῦ ὀπτοῦ ἰχθύος ἐμνημόνευσεν· ἀλλ' οὐκ ἰχθύων οὔτε ἀνθρακιᾶς, οὔτε ἄρτου, καθάπερ ἐν τῷ τῆς Γαλιλαίας ὑπὸ Ἰωάννου ἀναγραφέντι δείπνῳ.

B

Difficultas LIX.

Quando narrata per Lucam cœna contigit? Nam ſi multò ante quadrageſimum diem, aſcenſionis videlicet; quonam modo ſtatim aſſumptum eum
Luc. xxiv. 50. 51. 39. fuiſſe ſcribit, dicens; *Eduxit eos foras uſque in Bethaniam*, & ſequentia. Et, *Ferebatur in cœlos?* Sin verò die quadrageſimo; quo pacto tunc à diſcipulis palpabatur, qui primo &
Joh. xx 20. 27. octavo reſurrectionis die jam contrectatus fuerat?

Ἀπορία

Πότε τὸ ἱστορηθὲν δεῖπνον τῷ Λουκᾷ γεγένηται; εἰ μὲν γὰρ πρὸ πολλοῦ τῆς τεσσαρακοστῆς ἡμέρας, δηλαδὴ τῆς ἀναλήψεως, πῶς εὐθέως ἀναληφθῆναι αὐτὸν ἔγραψεν, εἰρηκὼς ὅτι ἐξήγαγεν αὐτοὺς ἔξω ἕως εἰς Βηθανίαν, καὶ τὰ ἑξῆς· καὶ ὅτι ἀνεφέρετο εἰς τοὺς οὐρανούς; εἰ δὲ τῇ τεσσαρακοστῇ, πῶς τότε ὑπὸ τῶν μαθητῶν ἐψηλαφᾶτο, τῇ πρώτῃ ἡμέρᾳ καὶ τῇ ὀγδόῃ τῆς ἀναστάσεως ἤδη ψηλαφηθείς;

C

Solutio.

Quòd primo reſurrectionis die, in cœna illa piſcis per Lucam enarrata, cum ipſis comederit Dominus, ex ſuperius ſcriptis patet. Si autem Lucas ait; *Eduxit eos uſque*
Act. 1. 2. *ad Bethaniam*, & *Aſſumptus eſt*: non planè per ea tradit nobis, ſtatim eum fuiſſe
* f. inſ. [illegible] aſſumptum. Mos enim eſt ſcriptoribus de brevitate ſollici-

Λύσις.

Ὅτι τῇ πρώτῃ ἡμέρᾳ τῆς ἀναστάσεως, τὸ πρὸς αὐτοὺς ἱστορηθὲν τῷ Λουκᾷ τοῦ ἰχθύος δεῖπνον ὁ κύριος ἔφαγεν, ἐκ τῶν προγεγραμμένων δῆλον ὅτι. εἰ δὲ ὁ Λουκᾶς φησὶν, ἐξήγαγεν αὐτοὺς ἕως πρὸς Βηθανίαν, καὶ ὅτι ἀνελήφθη· οὐ πάντως ἐκ τούτων δίδωσιν ἡμῖν * εὐθέως αὐτὸν ἀνειλῆφθαι. ἔθος γὰρ τοῖς συγγραφεῦσι συντομίας ἐπιμελομέ-

ροις, ἱστορίαν ἱστορίαις συνάπτειν. καθ' ἃ A
δὲ καὶ Ματθαίῳ ἀναγέγραπται, μήπω
σχεδὸν περαιώσαντι τὴν ἐξ Αἰγύπτου
ὑποστροφὴν τοῦ κυρίου, καὶ τὴν ἐν Γα-
λιλαίᾳ οἴκησιν, καὶ τὴν Ἰωάννου εἰς
τὸν Ἰορδάνην ἔλευσιν, καὶ τὸ τούτου
κήρυγμα μετὰ τριάκοντα ἔτη σχεδὸν
γεγονός. καὶ ἄλλα δὲ πολλὰ τοιαῦτα
τοῖς βουλομένοις ἔξεστι συναγαγεῖν
πρὸς πίστιν τῆς εὐαγγελικῆς συμ-
φωνίας· ἵνα παραλείψωμεν, ὅτι ἐν
ταῖς ἀποστολικαῖς πράξεσι τὰ περὶ
τῆς ἀναλήψεως ἀνακεφαλαιούμενος, B
ἐν τῇ τεσσαρακοστῇ ἡμέρᾳ ταύτην
γεγονέναι ἱστόρησεν.

tis, historiam historiis conne-
ctere. quemadmodum Mat- *Matt. I.*
thæus, nondum ferè imposito *& II.*
fine narrationi de reversione
Domini ex Ægypto, & habi-
tatione in Galilæa, descripsit
Johannis in Jordanem adven-
tum, ipsiusque prædicationem,
quæ post triginta tantumnon
annos suscepta est. Sed & mul-
ta similia, qui volent college-
rint, ad fidem faciendam E-
vangelicæ concordiæ. Ut omit-
tamus, quòd in Actibus Apo- *Act. I.*
stolorum, repetens narratio- *3.*
nem de Ascensu, quadragesi-
mo die contigisse eum retu-
lit.

Ἀπορία.

Πῶς Λουκᾶς ἐν τοῖς εὐαγγελίοις
ἱστορήσας, εἰς Βηθανίαν τὸν Χριστὸν σὺν
μαθηταῖς ἐξαγαγεῖν· ἐκεῖθεν τι ἀνα-
ληφθῆναι· ἐν ταῖς πράξεσί φησι, ἀπὸ
τοῦ ὄρους τοῦ καλουμένου ἐλαιῶν ὑπο-
στρέψαι σὺν μαθηταῖς, ὡς ἐκεῖθεν τοῦ
κυρίου ἀναληφθέντος; πῶς δὲ ἐν τῷ
εὐαγγελίῳ ἱστορήσας, μετὰ τὴν ἀνάλη- C
ψιν ἐν τῷ ἱερῷ διατρίβειν σὺν μα-
θηταῖς, ὑμνοῦντας καὶ εὐλογοῦντας
τὸν θεόν· ἐν ταῖς ἀποστολικαῖς πράξε-
σιν εἰς ὑπερῷον αὐτοὺς ἀναβεβηκέ-
ναι καὶ καταμένειν ἐξέθετο;

Difficultas IX.

Quo modo Lucas qui in *Luc.*
Evangelio narravit, Christum *XXIV.*
in Bethaniam eduxisse disci- *50. 51.*
pulos, illincque fuisse assump-
tum, in Actis ait, à monte, *Act. I.*
qui vocatur Oliveti reversos *12.*
esse discipulos, quasi isthinc
Christo assumpto? Et quo *Luc.*
modo in Evangelio narrans, *XXIV.*
post ascensionem discipulos in *53.*
templo immoratos fuisse, lau-
dantes & benedicentes Deum;
in Apostolicis Actibus, eos in *Act. I.*
cœnaculum ascendisse & illic *13.*
mansisse exponit?

Λύσις.

Ἕτερόν ἐστιν εἰς Βηθανίαν, καὶ ἕτερον
πρὸς Βηθανίαν. τὸ γὰρ πρὸς Βηθανίαν,
δίδωσιν ἡμῖν νοεῖν τὴν ὁδὸν τὴν ἀπάγου-
σαν ἐκεῖ * εἰς τὸ ὄρος τῶν ἐλαιῶν

Solutio.

Aliud est *In Bethaniam*,
& aliud *Ad Bethaniam*. Et-
enim *ad Bethaniam*, dat no-
bis intelligere viam quæ il-
luc ducit, cui mons olivarum * *f.* ἦν

adjacet: id quod Lucas exposuit, dicens, *ad Bethaniam*, & finitimam ipsi montis partem his vocibus significans, ubi Dominum assumptum fuisse narravit; locum quodammodo instar chorographi describens. Porrò secunda quæstio, hanc habet solutionem. Post assumptionem Domini *regressi sunt* Apostoli *in Jerusalem*; ut in Evangelio continetur; *& erant semper in templo*; per præstitutum nempe tempus orationis, quo licebat in templo commorari; reliquas autem horas domi consumebant; hoc est, in cœnaculo in Actis Apostolorum declarato; utique in ipso indesinenter celebrantes & benedicentes Dominum. Quia ipsum decet gloria, unà cum Patre & sancto Spiritu, in sæcula. Amen.

A παράκειται· ὅπερ Λουκᾶς ἐξέθετο, πρὸς Βηθανίαν εἰπὼν, καὶ τὸ ὁμόρου αὐτῇ μέρος τοῦ ὄρους, τούτοις αἰνιξάμενος, ἔνθα τὸν κύριον ἀναληφθῆναι ἱστόρησεν· χωρογραφήσας τρόπον τινὰ τὸν τόπον. τό μέντοι δεύτερον ζήτημα, ταύτην ἔχει τὴν λύσιν. ὑπέστρεψαν μὲν, ἀναληφθέντος τοῦ κυρίου οἱ ἀπόστολοι εἰς Ἱερουσαλὴμ, καθὼς τῷ εὐαγγελίῳ περιέχεται, καὶ ἦσαν διαπαντὸς ἐν τῷ ἱερῷ, τὸν ὡρισμένον δηλαδὴ χρό- B νον, τῆς προσευχῆς, ὃν ἐξῆν ἐν τῷ ἱερῷ διατρίβειν· τὰς δὲ λοιπὰς ὥρας οἴκοι διέτριβον, τουτέστιν ἐν τῷ ὑπερῴῳ τῷ ἐν ταῖς πράξεσι τῶν ἀποστόλων δεδηλωμένῳ· καὶ μὴν ἐν αὐτῷ ἀπαύστως ὑμνοῦντες καὶ εὐλογοῦντες τὸν κύριον. ὅτι αὐτῷ πρέπει ἡ δόξα, ἅμα τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι, εἰς τοὺς αἰῶνας. ἀμήν.

SANCTI HESYCHII *Presbyteri Hierosolymorum.*

Joh. xix. 17. Matt. xxvii. 32. Marc. xv. 21. Luc. xxiii. 26.

QUare Johannes quidem Dominum ipsum narrat portasse crucem; cæteri verò Evangelistæ, Simonem Cyrenæum id egisse conscripserunt?

ΤΟΥ ΑΓΙΟΥ ΗΣΥΧΙΟΥ πρεσβυτέρου Ἱεροσολύμων.

ΤΙνος χάριν ὁ μὲν Ἰωάννης βαστάσαι τὸν σταυρὸν, αὐτὸν ἱστορεῖ τὸν κύριον· οἱ δὲ λοιποὶ εὐαγγελισταὶ, Σίμωνα τὸν Κυρηναῖον πεποιηκέναι τοῦτο συνέγραψαν;

Ἐπειδὴ ἑκάτερον πέπρακται. A ἅμα γὰρ * τῷ ἀπαχθῆναι τὸν κύριον ἐπὶ τὸ σταυρωθῆναι, ἐπὶ τῶν ὤμων βαστάζων τὸν σταυρὸν αὐτὸς ἐξῆλθεν, τῶν στρατιωτῶν οὐκ ἀξιούντων βαστάσαι αὐτὸν, μὴ παρόντος ἑτέρου τοῦ βαστάζειν ὀφείλοντος. ὡς δὲ ἥψαντο τῆς ὁδοῦ, τότε ἀγγαρευθεὶς ὁ Σίμων ὑπὸ τῶν στρατιωτῶν, λαβὼν αὐτὸν ἀπὸ τοῦ κυρίου ἐβάστασεν. ὅτι δὲ οὕτως ἔχει, αὐτὰ ἡμᾶς τῶν εὐαγγελιστῶν διδάξει τὰ ῥήματα· ὅπερ ἀγγαρεύουσι παράγοντα Σίμωνα Κυρη- B ναῖον, ἐρχόμενον ἀπὸ ἀγροῦ· ὅπερ δηλοῖ, ὅτι τὴν ὁδὸν ἐρχομένοις τοῖς ἐπὶ τὸν Γολγοθᾶν, ἐρχόμενος ἀπὸ ἀγροῦ ὁ Σίμων συνήντησεν. τὸ γὰρ συναντῆσαι, τοῖς ὁδεύουσι γίνεται. ὅθεν τὸν σταυρὸν οὐκ ἐξ ἀρχῆς, ἀλλὰ τότε ἀγγαρευθεὶς, ἐβάστασεν.

Quia utrumque factum est. Simul enim ac abductus fuit Dominus ut crucifigeretur, super humeros bajulans ipse crucem exiit, militibus non dignantibus illam gestare, nec adstante altero qui portare deberet. Ubi autem iter capessivissent, tunc angariatus Simon à militibus, sumptam eam ex Christo bajulavit. Quòd autem ita res habeat, ipsamet nos Evangelistarum docebunt verba; nempe, *angariaverunt prætereuntem Simonem Cyrenæum venientem de villa.* quod indicat, iis viam insistentibus ad Golgotha, occurrisse Simonem venientem de villa. Nam occurrere, iter agentibus accidit. Quocirca crucem non ab initio, sed tunc angariatus seu adactus, bajulavit.

* *Al.* τὸ



BEATI EPHRÆMI Laudatio in magnum Basilium.

A

FLectite ad me aures, fratres dilecti; narrabo vobis pulcerrimam narrationem. Etenim consilia regum abscon- dere, bonum est; Dei verò mysteria revelare, est probum, qui per occasionem fidelium servorum suorum, corroborat infirmos, quorum primus ego sum. Mihi ergo inest desiderium attingendi res, quæ ad sanandam infelicem animam B meam pertinent. Telam ego volo hodie ordiri, ex præclara lana ovis rationalis: tunicam variegatam texere cupio ex vellere linguæ sub intelligentiam cadentis atque optabilis. Arietem enim aliquando vidi, cui pulcra erat pellis, & cornua ratione prædita divinitus loquentia. ad quem accedens cum multa sollicitudine, parvam tramam ex ipso sensim abstuli. Invasit autem me timor intolerabilis, quòd cùm C non essem cordatus, talia ausus sim. Vultisne ergo clarè accipere, quisnam sit iste aries tot adeò elegantibus coloribus distinctus? Is est sapiens & fidelis Basilius, qui Cappadocum chori Episcopus est, qui in Cæsareensium civitate salutaria dogmata universo orbi descripsit. Basilius, verè basis

Tob. XII. 7.

ΤΟΥ ΜΑΚΑΡΙΟΥ ΕΦΡΑΙΜ ἐγκώμιον εἰς τὸν μέγαν Βασίλειον.

Κλίνατέ μοι τὰς ἀκοὰς, ἀδελφοὶ ἀγαπητοί· διηγήσομαι ὑμῖν καλλίστην διήγησιν. κρύπτειν μὲν γὰρ τὰς βουλὰς τῶν βασιλέων, καλόν· ἐκκαλύπτειν δὲ θεοῦ μυστήρια, ἀγαθὸν, τοῦ διὰ προφάσεως τῶν πιστῶν αὐτοῦ δούλων, στηρίζοντος τοὺς ἀσθενεῖς, ὧν πρῶτός εἰμι ἐγώ. πόθος μοι οὖν πάρεστιν καθάψασθαι πραγμάτων, πρὸς ἴασιν συμβάντων τῆς ἀθλίας μου ψυχῆς: B ἱστὸν βούλομαι ἐγὼ διάσασθαι σήμερον, ἐκ τῶν καλῶν ἐρίων τοῦ λογικοῦ προβάτου· χιτῶνα ποικίλον καὶ ὑφᾶναι ἐπιποθῶ τοῦ πόκου τῆς νοητῆς εὐκτικῆς γλώττης. κριὸν γὰρ ἴδον ποτὲ, ᾧ ἦν καλὸν κώδιον, καὶ κέρατα λογικὰ θεόθεν φθεγγόμενα. καὶ τούτῳ προσπελάσας ἐν πολλῇ ἀγωνίᾳ, μικρὰν κροκὴν ἐξ αὐτοῦ ἠρέμα ἐσύλησα. ἐπέπεσεν δὲ ἐπ' C ἐμὲ φόβος τις ἀφόρητος, ὅτι μὴ ὢν νουνεχὴς, τοιαῦτα ἐτόλμησα. βούλεσθε οὖν ἐκφανῶς ποῖος οὗτος ὁ κριὸς ὁ τοσαύταις εὐχροίαις πεποικιλμένος; οὗτός ἐστιν ὁ σοφὸς καὶ πιστὸς Βασίλειος, ὁ τὸν τῶν Καππαδόκων ἐπισκοπήσας χορὸν, ὁ ἐν Καισαρέων τῇ πόλει στηλιτεύσας σωτήρια δόγματα πάσῃ τῇ οἰκουμένῃ. Βασίλειος, ἀληθῶς ἡ βάσις

τῶν ἀρετῶν, ἡ βίβλος τῶν ἐπαίνων, ὁ βίος A τῶν θαυμάτων· ὁ βαδίζων ἐν σαρκὶ, καὶ βαίνων πνεύματι· ὁ σύμβιος τοῖς κάτω, καὶ ἐμβλέπων τοῖς ἄνω· τὸ βηρύλλιον πλῆκτρον τῆς μυστικῆς κιθάρας, τὸ τέρψαν τὴν χώραν τῶν ἁγίων ἀγγέλων· τὸ βέβαιον ἀρνίον τῆς μαστικὸς τῆς ζωῆς, τὸ ἐκλάμψαν τὴν πόαν τοῦ ἱεροῦ πνεύματος· ὁ πηδήσας τῷ πόθῳ, καὶ ἁρπάσας τὸ ἄνθος ἀπὸ τῆς ἀκροῤῥίζου τοῦ σταυροῦ τοῦ τιμίου· ἡ φάτνη τῶν δογμάτων, ἡ γλῶττα τῶν ῥημάτων, τὸ βραβεῖον τῶν ὀρθῶν καὶ χρηστῶν νοημά- B των· ὁ βυθίσας ἑαυτὸν εἰς τὸν βυθὸν τῶν γραφῶν, καὶ ἀνιμησάμενος τὸν φαιδρὸν μαργαρίτην· ὁ βότρυς ὁ ὡραϊσμένος τῆς θεϊκῆς ἀμπέλου· ὁ οὐρανόθεν λαλῶν τὴν θείαν γλυκύτητα· ἡ μεμβράνη ἡ καλὴ τῆς ἱερᾶς σοφίας, ἡ ἄνωθεν στοιχειωθεῖσα τὰ θεῖα χαράγματα· τὸ βέλτιστον χωρίον τῆς ἄνω βασιλείας, τὸ βλαστήσαν τῷ θεῷ καρποὺς δικαιοσύνης· βουνὸς διηνθισμένος μυστικῆς ῥοδωνιᾶς, οὗ ἡ ὀσμὴ εἰς αὐτὸν ἔδωκεν τὸν οὐρανόν· ὁ βοήσας ἐν κυρίῳ εὐάρεστα C ᾄσματα, καὶ λαβὼν ἐν οὐρανοῖς εὐπόριστα στέμματα· ὁ συνήσας τὴν χάριν, καὶ βοήσας ὡς Ἰακὼβ τὴν ἀνθομολόγησιν τῷ σωτῆρι τῶν ὅλων· πνεῦμα λέγων κυρίου θεοῦ τὸ ποιῆσαν με, καὶ ἡ διδάσκουσά με πνοὴ παντοκράτορος· βεβαιῶν ὅτι ἐν πνεύματι ἁγίῳ τὸν κύριον Ἰησοῦν Χριστὸν ἐκήρυττεν τοῖς πᾶσιν. ἔτι ἐπιποθῶ προσυφᾶναι τῷ λόγῳ ἐπὶ τὰ ἐγκώμια· ὅπως τῇ εὐωχίᾳ καὶ μνήμῃ τοῦ δικαίου, εὑρήσωμεν

virtutum, liber laudum, vita miraculorum; qui in carne vadit, & in spiritu progreditur; convictor inferiorum, & superiorum inspector; beryllium plectrum mysticæ citharæ, quod regionem sanctorum oblectat; firmus agnus matricis vitæ, sacri Spiritus herbam illustrans; homo qui exsilit affectu, & abripit florem ex ima radice venerandæ crucis; præsepe dogmatum, lingua verborum, præmium rectarum utiliumque cogitationum; qui immersit se in profundum Scripturarum, & extraxit splendidam margaritam; racemus venustus divinæ vitis, cœlitus divinam dulcedinem enuncians; membrana præclara sacræ sapientiæ, desuper divinis characteribus exarata; optimus superni regni ager, qui Deo germinavit fructus justitiæ; collis perflorens mystico roseto, cujus odor in ipsum cœlum aspirat; qui clamat in Domino grata cantica, accipitque in cœlis faciles coronas; qui intelligit gratiam, & instar Jacobi vicissim confessio- *Gen.*
nem proclamat servatori om- XXXI.
nium; dicens; *Spiritus Domi-* 5.
ni Dei, qui fecit me, & quæ XLVIII.
docet me spiratio omnipotentis; 15.
asseverans quòd in Spiritu san- *Iob.*
cto Dominum Jesum Chri- XXXIII.
stum prædicaret. Adhuc atte- 4.
xere orationi gestio ad encomia; ut lautâ acceptione & memoriâ justi, nanciscamur

precibus cognitionem & compunctionem. Oportet igitur radium Spiritûs resumere, & sententiarum filum conficere: atque ita tali operi finem imponere, ac si in stamina tramam conjiciam. Nam si quis filum hoc sedulò neverit, stolam immortalitatis desiderantibus eam præbebit. Hujusmodi sunt primitiæ mystici agni; hujusmodi reditus sanctæ possessionis. Sic assiduè doctrinâ quasi pilis abundabat, vestiens eos qui intererant. B Aries Spiritiferus gregis Christi, in misericordia efflorescens splendidæ Ecclesiæ; tonsurâ quidem suâ pauperes refovens, cornibus verò divites feriens; in ipsis adytis dies noctesque consistens, à supernis gratiam accepit. Unde quotidie floribus instructo sermone immutabile ornamentum animabus renovabat; quotidie cunctis se metiens, varietate

* f. μετρούμενος

suâ non superabatur. Cùm C enim in floribus incorruptis cresceret, cùm sanctis caliculis nutriretur, cùm semper in Scripturas incumberet, in legibus Apostolicis vacaret, ac in sacratis aulis resplendesceret; ideò & fluminis instar

* Int. αὐλαῖς

Is. XLVIII. 18.

manabat ipsius oratio, & justitia velut fluctus maris. Illic nutricabatur divinis cogitationibus, sic immortalia verba degustabat; inde gustabat virtutum cibos, & ita verba eloquebatur benevola.

A τῶν εὐχαῖς γνῶσιν καὶ κατάνυξιν. χρὴ οὖν τὴν τοῦ πνεύματος κερκίδα ἀναλαβεῖν, καὶ τὸν τῶν νοημάτων μίτον κατασκευάζειν· εἶθ' οὕτως πρὸς τοιαύτην ἐργασίαν τελέσαι, ὥστε ἐν τοῖς στήμασιν εἷρξαι καὶ τὴν ῥοδάνην. ἐὰν γάρ τις νηφαλίως νήσῃ ταύτην τὴν κρόκην, στολὴν ἀθανασίας τοῖς ποθοῦσι ταύτην παρέξει. τοιαῦται ἀπαρχαὶ τοῦ μυστικοῦ θρέμματος· τοιαῦται αἱ πρόσοδοι τοῦ ἁγίου κτήματος. οὕτως ἀδιαλείπτως ἐν τῇ διδασκαλίᾳ ἐκόμα, ἀμφιεννὺς τοὺς παρατυγχάνοντας. B κριὸς πνευματοφόρος τῆς ἀγέλης τοῦ Χριστοῦ, ἐν τῷ ἐλέει ἐπανθῶν τῆς φαιδρᾶς ἐκκλησίας· ἐκ μὲν τῆς κουρᾶς αὐτοῦ, πτωχοὺς διαθερμαίνων· διὰ δὲ τῆς κεραΐας, πλουσίους κατανύσσων· εἰς αὐτὰ τὰ ἄδυτα νύκτωρ καὶ μεθ' ἡμέραν παρεδρεύων, ἄνωθεν τὴν χάριν ἐδέξατο. ὅθεν καὶ καθ' ἑκάστην ἀνθοκομῶν τῷ λόγῳ, τὸν ἀναλλοίωτον κόσμον ταῖς ψυχαῖς ἐκαινούργει· καθ' ἕκαστον δὲ πᾶσιν ἑαυτὸν * μετριούμενος, τῇ ποικιλίᾳ αὐτοῦ οὐκ C ἐπλεονεκτεῖτο. ἐπειδὴ γὰρ ἐν ἀφθάρτοις ἄνθεσιν ηὐξάνετο, ἐπειδὴ τοῖς ἁγίοις κάλυξιν ἐτρέφετο, ἐπειδὴ ἐν ταῖς γραφαῖς ἀεὶ ἐνοιτάζετο, ἐν ἀποστολικαῖς νομαῖς ἐσχόλαζεν, καὶ ἐν ἱερατικαῖς * αὐλαῖς ἠγλαΐζετο· διὸ καὶ ὡς ποταμὸς ἔρρει αὐτοῦ ὁ λόγος, καὶ ἡ δικαιοσύνη ὡς κύματα θαλάσσης. ἐκεῖ ἐτιθηνίζετο τὰ ἔνθεα νοήματα, καὶ ὧδε ἐγεύετο ἀθάνατα ῥήματα· ἐκεῖθεν ἐγεύετο ἐνάρετα βρώματα, καὶ ὧδε ἐφθέγγετο εὐπρόσιτα ῥήματα.

οὐ

οὐ γὰρ στυγνὸς καὶ * βατὸς ἦν αὐτῷ A ἡ ἐδωδή, ἀλλ' ἢ ῥόδον καὶ κρίνον, κρόκος καὶ κιννάμωμον· ὀπίσω τῆς τοιαύτης χλόης κατεσκόπευεν, ἐκ μυστικῶν ῥοδάμνων βαλσαμουργῶν τὴν βρῶσιν. διὰ τοῦτο καὶ λαμπρὰ αὐτῷ ἤκμαζεν τὰ ἔρια, χαρισθέντα πρὸς τὴν ὑφὴν τῶν θείων διδαγμάτων. καὶ τί δεῖ πολλὰ λέγειν περὶ τούτου κριοῦ; ὅπου ὁ λόγος γέγονεν σκεῦος κατηρτισμένον, σκεῦος οὐχ ὡς ἔτυχεν, ἀλλ' οἷον Πέτρος ἴδεν B τέσσαρσιν ἀρχαῖς οὐρανόθεν καθιέμενον. ἀλλ' ἐκεῖνο πρὸς τὴν γῆν τὴν κάθοδον ἐσχηκὸς, πετεινὰ ἐπέδειξεν * ἔχοντα καὶ τετράποδα· Βασίλειος δὲ πρὸς οὐρανὸν τὴν ἄνοδον εὑρηκὼς, λόγια ἡμῖν ἀπέδειξεν κλεινὰ καὶ παράδοξα. κἀκεῖνο μὲν τὸ σκεῦος πρὸς βραχὺ ὤφθη, καὶ * ἀνεπάθη τὸ εἶδος αὐτῷ ἑνὶ μόνῳ ἀποκαλύψαν· οὗτος δὲ χρόνοις πολλοῖς εἰς ὕψος ἐπαιρόμενος, τὴν C χάριν τοῦ πνεύματος πολλοῖς ἐχορήγησεν. δι' ἐκείνου ὁ Πέτρος οὐρανόθεν ἤκουσεν· Ἃ ἐγὼ ἐκαθάρισα, καὶ αὐτὸς μετάλαβε· καὶ περὶ τούτου ἐλέχθη τοῖς πᾶσιν· Ὃν ἐγὼ ἡγίασα, καὶ ὑμεῖς τιμήσατε. τίς οὖν μὴ ἐπαινέσειεν, ὃν ὁ πατὴρ ἐδόξασεν; ἢ τίς μὴ τιμήσειεν, ὃν ὁ υἱὸς ἡγίασεν; τίς δὲ μὴ μακαρίσειεν, ὃν ἐμακάρισεν τὸ σοφὸν καὶ νοερὸν καὶ σεβάσμιον πνεῦμα;

Non enim austerus ei erat cibus; non rubus; sed vel rosa, vel lilium, crocus & cinnamomum. Post hujusmodi pascuâ respiciebat, è mysticis germinibus cibum velut ex balsamo conficiens. Quocirca & splendida vigebant illius vellera; cedentia in divinorum documentorum texturam. Et quid plura de hoc ariete dicere opus est? ubi sermo evasit in vas perfectum, vas non quodlibet, sed quale Petrus vidit, quatuor initiis submitti de cœlo. At illud quidem in terram descensionem faciens, volatilia & quadrupedia se continere ostendit; Basilius verò in cœlum ascensum nactus, eloquia nobis demonstravit inclyta & admirabilia. Atque illud quidem vas ad modicum tempus apparuit, & retracta est species ejus, quæ uni soli revelaverat: hic autem diuturno tempore in altum sublatus, Spiritûs gratiam subministravit multis. Per illud Petrus cœlitus audivit; Quæ ego purificavi, & tu sume: at de hoc dictum est omnibus; Quem ego sanctificavi, vos pariter honorate. Quis ergo non laudaverit, quem Pater gloriâ affecit? aut quis eum non honoraverit, quem Filius sanctum effecit? quis verò illum non prædicaverit beatum, quem sapiens & intelligens venerandusque Spiritus beatum habuit?

* An βάτος

Act. x. 11. 16. 15.

* f. ἔχον τι

* f. ἀνεσπάσθη Int. ἀνεπλάσθη

Papæ, quo modo complacuit A
consilio Numinis, habitare in eo
Is. & incedere? Requiesco enim,
LXVI. inquit Deus, super mansuetum
2. & quietum, ac trementem sermones meos. Sic ipsius gratia mentem inundavit; illa veneranda & perennia fluenta; ut & homines peccatis suis coinquinatos, exhiberet venustè compositos, tamquam baptizatos. Ubi ergo Dominus erga me misericordiâ commotus fuit, occasione ortâ miserans in quadam civitate, illic audivi B vocem dicentem mihi; Surge Ephræm, & comede sensa. Et respondens dixi in multa anxietate; Unde ego, Domine, comedam? Dixitque ad me; Ecce in domo mea regium vas, suppeditabit tibi cibum. Vehementer autem admiratus super dictis, surgens perveni ad templum Altissimi, & cùm sensim ad aulæ vestibulum ascendissem, ac præ desiderio per locum portæ adhærentem prospexissem, vidi in sanctis C sanctorum vas electionis coram ovili præclarè extensum, verbis Deum decentibus variè ornatum, omniumque oculos in illum defixos. Vidi templum per eum spiritu nutritum, necnon erga viduas & orphanos potissimùm misericordiam. Aspexi illic apud eum, lacrymas, fluenta fluvios imitantia, & vellus vitæ cunctis instar auri radians; ipsumque pastorem pennis spiritûs

Βαβαὶ, πῶς ηὐδόκησεν ἡ βουλὴ τοῦ κρείττονος, ἐνοικῆσαι ἐν αὐτῷ καὶ ἐμπεριπατῆσαι; ἐπαναπαύομαι γὰρ, εἶπεν ὁ Θεὸς, ἐπὶ τὸν πρᾶον καὶ ἡσύχιον, καὶ τρέμοντά μου τοὺς λόγους. οὕτως αὐτοῦ ἡ χάρις τὸν νοῦν ἐπλημμύρισεν· ἐκεῖνα τὰ σεμνὰ καὶ ἀέναα ῥεῖθρα· ὡς καὶ τοὺς μολυνθέντας ἐν τοῖς παραπτώμασιν αὐτῶν δεῖξαι εὐσχημονοῦντας, ὡς καὶ τοὺς βαπτισθέντας. ἵνα οὖν καὶ ὁ κύριος σπλαγχνισθῇ ἐπ᾽ ἐμὲ, προφάσεως συμβάσης ἐλεῶν ἐν τινὶ πόλει. ἐκεῖσε ἀκήκοα φωνῆς λεγούσης πρὸς μέ· Ἀνάστηθι Ἐφραὶμ, καὶ φάγε νοήματα. Καὶ ἀποκριθεὶς εἶπον ἐν πολλῇ ἀγωνίᾳ· Πόθεν ἐγὼ, κύριε, φάγομαι; καὶ εἶπε πρός με· Ἰδοὺ ἐν τῷ οἴκῳ μου τὸ βασιλικὸν σκεῦος χορηγήσει σοι τὴν βρῶσιν. θαυμάσας δὲ μεγάλως ἐπὶ τοῖς λεγομένοις, ἀναστὰς κατέλαβον τὸν ναὸν τοῦ ὑψίστου, καὶ ἠρέμα ἐπιβὰς ἐπὶ τὸ προαύλιον, καὶ προκύψας τῷ πόθῳ ἐπὶ τὰ προπύλαια, ἴδον εἰς τὰ ἅγια τῶν ἁγίων τὸ σκεῦος τῆς ἐκλογῆς λαμπρῶς πεπετασμένον ἔμπροσθεν τοῦ ποιμνίου, λόγοις θεοπρεπέσι πεποικιλμένον, καὶ πάντων τοὺς ὀφθαλμοὺς αὐτῷ ἀτενίζοντας. ἴδον τὸν ναὸν παρ᾽ αὐτοῦ πνεύματι τρεφόμενον, καὶ χήρας καὶ ὀρφανοὺς μᾶλλον ἐλεουμένους. ἴδον ἐκεῖ πρὸς αὐτὸν δάκρυα ποταμηδὸν ῥεύματα, καὶ τὸν πόκον τῆς ζωῆς πᾶσιν χρυσαυγοῦντα· αὐτόν τε τὸν ποιμένα τοῖς πτεροῖς τοῦ πνεύματος

ἀνάγοντα δεήσεις ὑπὲρ ἡμῶν, καὶ A
κατάγοντα ῥήσεις. ἴδον παρ' αὐτοῦ τὴν
ἐκκλησίαν κεκαλλωπισμένην, καὶ
τὴν ἠγαπημένην κατακεκοσμημέ-
νην. ἴδον παρ' αὐτοῦ Παύλου διδάγ-
ματα, εὐαγγελίων νόμον καὶ μυστη-
ρίων φόβον. ἴδον ἐκεῖ τὸν χρηστὸν καὶ
σωτήριον λόγον, πρὸς αὐτὸν τὸν
οὐρανὸν πιστῶς κορυφούμενον· καὶ
ἁπαξαπλῶς ὅλον τὸν σύλλογον
ἐκεῖνον ταῖς αὐγαῖς τῆς χάριτος
ἐναγλαϊζόμενον. τούτων δὲ πάντων
οὕτως εὐσεβῶς ἀκμαζόντων ἐκ τοῦ B
ἐκλεκτοῦ σκεύους τῆς βασιλείας,
ἀνύμνησα τὸν σοφὸν καὶ ἀγαθὸν κύριον
τὸν οὕτω δοξάζοντα τοὺς δοξάζον-
τας αὐτόν. μετὰ δὲ τὸ ἀκροατήριον ἐκ
πνεύματος ἁγίου ἐγνώσθη τῷ ἀνδρὶ
περὶ ἐμοῦ, καὶ μεταστειλάμενος τὴν ἐ-
μὴν εὐτέλειαν, διὰ τοῦ ἑρμηνέως ἐπυν-
θάνετο λέγων μοι· Σὺ εἶ Ἐφραὶμ ὁ
κλίνας καλῶς τὸν αὐχένα, καὶ ἀρά-
μενος τὸν ζυγὸν τοῦ σωτηρίου λόγου; καὶ
ἀποκριθεὶς εἶπον· Ἐγώ εἰμι Ἐφραὶμ
ὁ ὑστερήσας ἑαυτὸν τοῦ οὐρανίου δρό- C
μου. ἐπιλαβόμενος δέ μου ὁ θεσπέ-
σιος οὗτος, ἐκύρωσεν εἰς ἐμὲ τὸ ἅγιον
αὐτοῦ φίλημα· παραθεὶς τε τρά-
πεζαν ἐκ τῶν ἐδωδίμων τῆς σοφῆς καὶ
ἁγίας καὶ πιστῆς αὐτοῦ ψυχῆς, οὐ κε-
καρυμμένην φθαρτοῖς ἐδέσμασιν,
ἀλλὰ τὴν πεπλησμένην ἀφθάρτοις
νοήμασι. ποίαις γὰρ εὐπραγίαις δυνά-
μεθα, ἔλεγεν, ἐξιλεώσασθαι κα-
λῶς τὸν κύριον ἐφ' ἡμᾶς; πῶς τῶν ἁ-
μαρτημάτων εἴρξωμεν τὰς ἐφόδους;

A pro nobis preces evehentem,
ac deducentem verba. Vidi ab
ipso Ecclesiam decoratam, &
eam quæ dilecta est exorna-
tam. Conspecti per eum Pauli
doctrinam, Evangeliorum le-
gem, mysteriorum timorem.
Illic intuitus sum utilem salu-
taremque sermonem, ad ip-
sum usque cœlum fideliter as-
surgentem; uno verbo, totum
illum cœtum splendoribus gra-
tiæ collustratum. His porrò
cunctis religiosè adeò per vas
B regni electum vigentibus, lau-
dibus celebravi sapientem bo-
numque Dominum, qui sic
ipsum glorificantes glorificat.
Post auditorium verò, ex Spi-
ritu sancto notitia viro data
est de me; & arcessens vilita-
tem meam, per interpretem
interrogavit me dicens; Tune
es Ephræm, qui præclarè cer-
vicem inclinasti, & sustulisti
jugum salutaris verbi? Et res-
pondens dixi; Ego sum E-
phræm, qui cœlesti cursu me-
C ipsum frustratus fui. Cúmque
me apprehendisset divinus ille
vir, sanctum osculum suum in II. Cor.
me confirmavit; apponensque II. 8.
mensam, ex esculentis sapien-
tis sanctæque & fidelis animæ
ipsius, non quidem corrupti-
bilibus conditam ferculis, sed
incorruptis refertam senten-
tiis. Quibus enim, dicebat,
bonis operibus possumus Do-
minum præclarè nobis placa-
tum reddere? quo pacto pec-
catorum coerceamus insultus?

& quo modo affectuum occludamus ingressus? qua ratione Apostolicam comparemus virtutem? & quonam pacto incorruptum exoremus judicem? Tum lamentatus clamavi, & dixi; Tu, pater, custodi mollem ac desidem; tu in rectam semitam dirige me; tu lapideum meum cor compunge. Ad te enim projecit me spirituum Deus, ut animam meam cures. Tu animæ meæ navem seda, ad aquam requietis. Atque hic mihi præclari magistri B studium contemplare, unde virtutem meam comprehendit, formam continuit, ut ita dicam, virgam corporis, evellensque irrationabilium affectuum mores, detraxit squamas, tabem oculorum; & subtrahens viriditatem immaturitatemque sermonis, me zelo cepit, ac demersit in documentorum suorum immersoria. Tunc concepit venter meus prudentiam, ut pareret quadraginta Martyrum laudes. C Omnem enim tolerantiæ ipsorum modum meis adjunxit auribus egregius vir; quemadmodum scilicet elegerint mori pro Christo, quantaque pericula contempserint, ut ipsum lucrifacerent; tum quot numero fuerint sancti illi; reliquaque ad pietatem eorum pertinentia edixit. Quia ergo ad insigne adeò opus nos dignos censuit fidelis pontifex, horum triumphantium pulcreque

* Al. πατέρων
* Al. κατάπαυσον. f. κατεύνασον
Ps. XXII, 2.
* Int. ποτιστήρια

A καὶ πῶς τῶν παθημάτων κλείσωμεν τὰς εἰσόδους; πῶς τὴν ἀποστολικὴν κτησώμεθα ἀρετήν; καὶ πῶς δυσωπήσωμεν τὸν ἀδέκαστον κριτήν; καὶ θρηνήσας ἐβόησα, καὶ εἶπον· Αὐτός, πάτερ, φρούρησον τὸν χαῦνον καὶ ῥᾴθυμον· αὐτὸς ἐπὶ τὴν ὀρθὴν τρίβον κατεύθυνόν με· αὐτὸς τὴν λιθώδη μου καρδίαν κατάνυξον. πρὸς σὲ γὰρ ἀπέρριψέ με ὁ τῶν * πνευμάτων θεός, ἵνα μου ἰατρεύσῃς τὴν ψυχήν. αὐτός μου * κατάνασον τὴν ὁλκάδα τῆς ψυχῆς ἐπὶ ὕδατος ἀναπαύσεως. B καὶ σκόπει μοι τοῦ καλοῦ διδασκάλου τὴν σπουδήν, πόθεν ἐπεδράξατό μου τῆς ἀρετῆς, τὸν τύπον συνέχει, ὡς εἰπεῖν, τὴν ῥάβδον τοῦ σώματος, καὶ ἐκτίλας τὸ ἦθος τῶν ἀλογίστων παθῶν, ἦρέν μου τὰς λεπίδας τὴν φθίσιν τῶν ὀφθαλμῶν· καὶ ὑποσύρας τὸ χλωρὸν καὶ ἄωρον τοῦ λόγου, ἔλαβέν με τῷ ζήλῳ, καὶ κατεπόντισέν με εἰς τὰ * πονιστήρια τῶν αὐτοῦ διδαγμάτων. τότε ἐνεκίσσησεν ἡ γαστήρ μου φρόνησιν, τεκεῖν τεσσαράκοντα C μαρτύρων τὸν ἔπαινον. πάντα γὰρ τὸν τρόπον τῆς καρτερίας αὐτῶν ἐγχέτευσεν ταῖς ἐμαῖς ἀκοαῖς ὁ γενναῖος· ὅτι πῶς προείλαντο ὑπὲρ Χριστοῦ ἀποθανεῖν, καὶ πόσων ὑπερεῖδον κινδύνων, ἵνα αὐτὸν κερδάνωσιν· καὶ πόσοι τὸν ἀριθμὸν ὑπῆρχον οἱ ἅγιοι· καὶ τὰ λοιπὰ ἔλεγεν τῆς εὐσεβείας αὐτῶν. ἐπειδὴ οὖν πρὸς τοιαύτην λαμπρὰν ἐργασίαν κατηξίωσεν ἡμᾶς ὁ πιστὸς ἀρχιερεύς, τούτων τῶν τροπαιούχων

καλλινίκων ἀνδρῶν ἐν ἑτέρᾳ ἐκφράσει ἀφέντες τοὺς ἐπαίνους, τοῦτον μακαρίσωμεν τὸν ὅσιον τοῦ Χριστοῦ, τὸν ὁμόζηλον αὐτῶν καὶ ὁμότιμον ἄνδρα. ὥσπερ γὰρ οἱ ἅγιοι ἀνδρείως ἀντέστησαν Λικινίῳ τῷ τυράννῳ, καὶ τῷ * δουκὶ τῷ ἡγεμόνι· οὕτως καὶ ὁ ὅσιος ἀντιπαρετάξατο Οὐάλεντι, καὶ Ἀρείῳ, καὶ τῷ θρασεῖ ἐπάρχῳ. ἀλλ' ἐκεῖνοι ἀκάνθας τῆς πλάνης ἀνέσπασαν· καὶ οὗτος αἱρετικῆς μανίας τοὺς τριβόλους. ἐκεῖνοι τὰ σκάμματα Λικινίου ἔλυσαν· καὶ οὗτος τὰ προστάγματα Οὐάλεντος κατέλυσεν. ἐκεῖνοι τὰς προστάξεις τοῦ * δοκὸς κατέλυσαν· καὶ οὗτος τὰς προβλήσεις Ἀρείου κατῄσχυνεν. ἐκεῖνοι τοῦ ἡγεμόνος τὸ θράσος ἔλυσαν· καὶ οὗτος τὴν τοῦ ἐπάρχου Μοδέστου μανίαν ἐξέκλασεν. τούτων γὰρ τῇ ἀθλήσει κεντρωθείς, ὥσπερ Φινεές, γλώσσας ἐξεκέντησεν ἐκ θεοῦ πορνευσάσας. ὅθεν καὶ μάλα σφοδρῶς ἐπεθύμει πιεῖν τὸ ποτήριον, καὶ στῆσαι τρόπαιον διὰ τοῦ μαρτυρίου ἔσπευδεν. οἱ μάρτυρες ἕνεκα τῆς εἰς Χριστὸν πίστεως, πᾶσαν ὁμοῦ τὴν θλίψιν ἐν ἑαυτοῖς φέροντες γενναίως ὑπέμειναν· Βασίλειος δὲ ἕνεκεν τῆς εἰς Χριστὸν ἐλπίδος τὰς νιφάδας τῶν πειρασμῶν ἀνδρείως ὑπήνεγκεν. ἐκεῖνοι τοὺς χιτῶνας αὐτῶν ἐξεδύσαντο, καὶ τὰ μέλη ἔδωκαν τοῖς αἰκισμοῖς· καὶ οὗτος τὸ ῥακκίον τὸ περὶ αὐχένα καὶ τὸ σῶμα ἔσπευδεν προαποδύσασθαι. ἐκεῖνοι ἐν τῇ λίμνῃ τὸν ἐν τῇ ἀσεβείᾳ πεπλανημένον πρὸς ἑαυτοὺς ἥλκυσαν, καὶ δόξης ἠξίωσαν· οὗτος δὲ ἐν

A vincentium virorum laudibus ad aliam orationem rejectis, hunc sanctum Christi beatum prædicemus, eorum æmulum, parisque dignitatis virum. Sicut enim sancti isti viriliter Licinio tyranno restiterunt, * Int. Λουκί & duci præsidi; ita & sanctus hic opposuit se Valenti; Ario, & feroci præfecto. Verùm illi spinas erroris evulserunt: hic autem hæreticæ insaniæ tribulos. Illi Licinii septa athletica solverunt, & hic Valentis B edicta dissolvit. Illi jussa ducis irrita fecerunt: hic Arii objectacula confudit. Illi præsidis temeritatem diremerunt; * l. δουκός hic verò Modesti præfecti vesaniam perfregit. Illorum enim certamine exstimulatus, velut Phinees, linguas perfodit à Num. xxv. 7. Deo fornicantes. Unde vehementi admodum desiderio tenebatur bibendi calicem, & Ps. cxv. 13. trophæum per martyrium statuere studebat. Martyres pro- C pter fidem in Christum, universam simul tribulationem in seipsis ferentes, fortiter sustinuerunt; at Basilius ob spem in Christum, tentationum velut nivium defluxus viriliter pertulit. Illi vestes suas exuerunt, membraque tradiderunt plagis; & hic detritum panniculum collo corporique circumpositum præexuere festinabat. Illi in stagno hominem in impietate errabundum ad se traxerunt, atque gloriâ donarunt; hic verò in

A piſcina fideles baptizans, conciliavit illis regnum cœlorum. Illi inter aquas deſiderio inflammati, lumen cum coronis ſuper capita ſua conſpexerunt; atque hic dogmatibus ſanctæ Trinitatis incenſus, præmium certaminis adversùs malè ſentientes retulit. O quanta improbus machinatus eſt Beliar, ut Baſilium à ſuperno regno ſepararet! Irritavit reges, principes, & populos; & Baſilius,
B baſis ac fundamentum extitit fidelium. Exaſperavit omnes procellas ſuas; ignitum tamen ſapientem nullatenus turbavit. Intulit tempeſtatem per ſuos miniſtros, varios hæreticos; ſed gubernatoris ars magis enituit. Excitavit in Eccleſiam fluctus maximos; & navem fidei Baſilii ſubmergere nequivit. Hæreticis verbis impugnavit eum; ſtatimque Theologiæ dogmatibus impetebatur. Adversùs eum armavit Arium,
C tamquam Goliathum; ac tribus fidei lapidibus ab ipſo miſſis velut fundâ petebatur. Alliſit ad turrem ejus per ventos perverſæ doctrinæ; venti enim erant ſermones impiorum; atque hunc à ſententia non dimoverunt; muniebatur ſiquidem tribus inexpugnabilibus muris, immaculatæ Trinitatis. Emiſit ſagittas Polytheiæ, ſeu erroris de multiplici divinitate; at mox per Monarchiam, ſeu verum de Deo uno dogma fugabatur. Venerunt

A κολυμβήθρᾳ βαπτίζων τοὺς ἀπίστους, προξένος ἐγίνετο αὐτοῖς τῆς οὐρανῶν βασιλείας. ἐκεῖνοι ἐν ὕδασι πυρωθέντες τῷ πόθῳ, τὸ φῶς σὺν τοῖς στεφάνοις ἴδον ὑπὲρ τῆς κεφαλῆς· καὶ οὗτος ἐν δόγμασι τῆς ἁγίας τριάδος ἐκκαυθεὶς, τὰ βραβεῖα ἔλαβεν κατὰ τῶν κακοδόξων. πόσα ἐμηχανήσατο ὁ πονηρὸς Βελίαρ χωρίσαι Βασίλειον τῆς ἄνω βασιλείας. ἠρέθησε βασιλεῖς, ἄρ-
B χοντας καὶ δήμους· καὶ Βασίλειος βάσις ἐγίνετο τῶν πιστῶν. ἐξηγρίωσε πάσας τὰς καταιγίδας αὐτοῦ· καὶ τὸν σοφὸν ἔμπυρον οὐδὲ ὅλως ἐτάραξεν. ἐπήνεγκεν τὴν ζάλην διὰ τῶν ἰδίων ὑπουργῶν τῶν αἱρέσεων· καὶ ἡ τοῦ κυβερνήτου τέχνη πλέον ἐδείκνυτο. ἤγειρεν τρικυμίας κατὰ τῆς ἐκκλησίας· καὶ τὴν ναῦν τῆς πίστεως Βασιλείου ποντῶσαι οὐκ ἠδυνήθη. ἐπολέμησεν αὐτὸν αἱρετικοῖς ῥήμασιν· καὶ εὐθέως
C ἐμβάλλετο θεολόγοις δόγμασι. καθώπλισεν κατ' αὐτοῦ Ἄρειον, ὥσπερ τὸν Γολιάθ· καὶ ἐσφενδονίζετο παρ' αὐτοῦ τρισὶ λίθοις τῆς πίστεως. προσέῤῥηξεν τῷ πύργῳ αὐτοῦ κακοδόξοις ἀνέμοις· ἄνεμοι γὰρ ὑπῆρχον οἱ λόγοι τῶν ἀσεβῶν· καὶ τοῦτον οὐκ ἔσεισαν. ὠχύρωτο γὰρ τρισὶν ἀναλώτοις τείχεσι, τῆς ἀχράντου τριάδος. ἐξέπεμψεν τὰ βέλη τῆς πολυθεΐας· καὶ εὐθέως ἐτροποῦτο διὰ τῆς μοναρχίας. ἤρχοντο

παρεμβολὴν κυνῶν ὑλακτούντων· καὶ A τῇ ῥάβδῳ τοῦ σταυροῦ ἐτραυμάτιζεν αὐτούς· ἐνεδύοντο πάλιν οἱ λύκοι τὴν δορὰν τῶν προβάτων· καὶ παραυτὰ ἤλεγχεν τὴν τούτων ὑπόκρισιν. ἔσπευδεν ταράξαι τὸ ἄδικον· καὶ αὐθέως ἡττᾶτο τῇ δικαιοσύνῃ τοῦ ἀνδρός. ἤριζον οἱ ἄπιστοι μιμήσασθαι τὴν [πίστιν καὶ διδασκαλίας αὐτοῦ καὶ αὐθέως] ἀνεκηρύττετο ἡ κακόπιστος αὐτῶν καὶ ἀνοσία γνώμη. ἐθάπτουν ἔχειν τὴν παῤῥησίαν αὐτοῦ· καὶ αὐθέως ἐδηλοῦτο ἡ * ἀφθοσύνη αὐτῶν. ἐπειδὴ γὰρ ἴσασιν καὶ οἱ B ὑπεναντίοι αἰδεῖσθαί τε καὶ τιμᾶν ἀρετὴν καὶ ἀνδρείαν· ἐν δεινῷ πάθει ὄντος τοῦ τέκνου τοῦ τυράννου, ἐδέοντο τοῦ ἀνδρὸς εὔχεσθαι ὑπὲρ αὐτοῦ· τοῦ δὲ προτείναντος, ὅτι ἐάν μοι αὐτὸν δῷς, ἵνα προσάξω τῇ ἀμιάντῳ πίστει, καὶ ἀπαλλάξω αὐτὸν πάσης δυσσεβείας τῶν Ἀρείου μαθημάτων· κἀκείνου συνθεμένου, αὐθέως Βασίλειος μεσίτης ἐγένετο βασιλεῖ ἐπιγείῳ πρὸς τὸν οὐράνιον· προσεκόμιζεν τὴν ὑπόσχεσιν τοῦ ἀν- C δρὸς, καὶ ἐκόμιζεν αὐτῷ τὴν ῥῶσιν τοῦ παιδός. ὡς δὲ ἴδον οἱ ὄφεις σεσωσμένον τὸν παῖδα, πάλιν ὑπέφθειραν τοῦ κούφου βασιλέως τὴν βουλὴν, καὶ τὸν υἱὸν αὐτοῦ λαβόντες ἐβάπτισαν ὕδατι, οὐ μήν τοι γε πνεύματι. ἐδίδασκον ἀθετεῖν τὸν υἱὸν τοῦ θεοῦ ἔσω περιβάλλοντες, καὶ ἔξω ἐνδύοντες. * ἔσω Χριστὸν ἐνδύει, καὶ * ἔξω περισχίζει. διὸ καὶ μετ' οὐ πολὺ ἀντανεῖλε τὸ πνεῦμα τοῦ δειλαίου,

A castra latrantium canum; & baculo crucis vulneravit eos. Pelle rursus ovinâ tegebantur lupi; & protinus illorum redarguebat hypocrisim. Festinabat iniquitas turbare; & subitò vincebatur per viri justitiam. Contendebant infideles imitari fidem & doctrinam illius; verùm illico declarabatur perfida eorum impiaque sententia. Captabant ipsius habere libertatem; statimque apparebat illorum insipientia. *f. ἀφροσύνη
B Cùm enim etiam adversarii noverint in veneratione atque honore habere virtutem animique fortitudinem; dum gravi morbo detineretur filius tyranni, rogabant virum hunc, ut pro eo precaretur; illo verò proponente conditionem; Si eum mihi tradideris, ut adducam ad immaculatam fidem, liberemque ab omni impietate Arianæ doctrinæ; & ipso assentiente; statim Basilius pro Imperatore terreno C erga cœlestem intercessor exstitit; obtulit viri promissum, eique sanitatem filii retulit. Ut autem serpentes viderunt puerum servatum, rursus levis Imperatoris mentem depravarunt; ejusque filium acceptum baptizarunt aquâ, non tamen spiritu; docebant abnegare Filium Dei; interiùs irretientes, & exteriùs induentes; foris Christum induit, intus dilacerat. Quare non multo pòst, miseri spiritum abstulit, * Al. ἔξω * Al. ἔσω

prædicans ingratam eorum A mentem. Hæc miraculis Eliæ nequaquam cedunt, nec inferiora sunt signis Elisæi. Quemadmodum illi mortuos reduxerunt inter vivos; ita fidelis Basilius oratione, moriturum jam puerum, à morte eripuit. Act. v. 2. &c. Sed & sicut rursum Petrus Ananiam & Saphiram ob furtum enecavit; sic & Basilius, locum Petri obtinens, ejusque pariter auctoritatem libertatemque adeptus, Valentem suæ promissionis furem arguit, B ejusque filium morte multavit. Unde ingens animi dejectio atque anxietas miseros cepit, infidelemque illum Imperatorem. Quis porrò enarraturus est imbres miraculorum, quæ beatus & fidelis Basilius exhibuit rebus ipsis? Quia ergo impotentes sumus ad tot tantaque viri rectè facta enarranda, *omnibus silentio prætermissis, unum commemorantes, ostendamus quo modo etiam sensûs expertia virum C istum societate pugnæ adjuverint. Nam cùm nihil non moverent genimina viperarum, quò justum è medio tollerent, à quo assiduè verbis simul ac miraculis tamquam telis feriebantur, accesserunt, petieruntque abripi eum atque exterminari. Gravis enim, inquiunt, ille nobis est, vel solùm conspectus. Etenim valde contrarius nobis est in sermonibus: propterea fieri nequit, ô Imperator,

* f. ἔχομεν

κηρύττων τὴν ἀχάριστον αὐτῶν γνώμην. ταῦτα τῶν Ἠλιοῦ θαυμάτων οὐ δεύτερα, καὶ τῶν Ἐλισσαίου σημείων οὐκ ἐλάττονα. ὥσπερ ἐκεῖνοι τοὺς θανόντας ἐπανήγαγον ζῶντας· οὕτως καὶ ὁ πιστὸς Βασίλειος, τῇ εὐχῇ τὸν μέλλοντα παῖδα ἀνήρπασεν θανάτου. ἀλλ' ὥσπερ πάλιν ὁ Πέτρος τοὺς περὶ Ἀνανίαν καὶ Σάπφειραν κλέψαντας ἐνέκρωσεν· οὕτως καὶ Βασίλειος, τόπον Πέτρου ἐπέχων, ἅμα καὶ τῆς ἐκείνου παῤῥησίας μετέχων, τὸν κλέψαντα τὴν ἑαυτοῦ ὑπόσχεσιν Οὐάλεντα ἤλεγξεν, καὶ τὸν υἱὸν αὐτοῦ ἐθανάτωσεν. ἐντεῦθεν ἀθυμία καὶ ἀπορία πολλὴ συνέχει τοὺς ἀθλίους, καὶ τὸν ἄπιστον ἐκεῖνον βασιλέα. καὶ τίς ἀξίως διηγήσεται τοὺς ὄμβρους τῶν θαυμάτων, οὓς ἔδειξεν ὁ μακάριος καὶ πιστὸς Βασίλειος, δι' αὐτῶν τῶν πραγμάτων; ἐπεὶ οὖν ἀδυνάτως * ἔχων πρὸς τὴν ἐξήγησιν τῶν τοσούτων τοῦ ἀνδρὸς κατορθωμάτων, εἰπεῖν πάντα δραμόντες, ἓν γοῦν φράσαντες, δείξωμεν πῶς καὶ τὰ ἀναίσθητα συνεμάχουν τῷ ἀνδρί. ἐπειδὴ γὰρ ἅπαντα τρόπον τὰ γεννήματα τῶν ἐχιδνῶν ἐκίνουν ἀνελεῖν τὸν δίκαιον, βαλλόμενοι συνεχῶς τοῖς ἐκείνου ῥήμασιν, ἅμα τε καὶ θαύμασι, καθάπερ βέλεσι· προσῆλθον αἰτούμενοι ἀναρπασθῆναι αὐτὸν καὶ περιορισθῆναι· βαρὺς γάρ ἐστιν ἡμῖν, φησὶν, καὶ βλεπόμενος· καὶ γὰρ ἐναντιοῦται σφόδρα τοῖς λόγοις ἡμῖν· διὸ τῶν ἀδυνάτων ὑπάρχει ὦ βασιλεῦ,

περιβῆναι;

A προβιβάσαι τὴν πίστιν τὴν καθ' ἡμᾶς, τούτου παρόντος. ὑπαχθεὶς δὲ τοῖς λόγοις αὐτῶν ὁ βασιλεὺς, ἔλαβεν ἐξορισθῆναι αὐτόν. ὁ δὲ κάλαμος εὐθὺς μὴ φέρων ὑπουργῆσαι τῇ παρανόμῳ βουλῇ, ἑαυτὸν συνέτρεψεν· παιδεύων τὸν ἄφρονα, ὅτι οἷον τόλμημα βούλεται ἐργάσασθαι εἰς τὸν δοῦλον τοῦ Χριστοῦ, τὸν μίαν θεότητα τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος κηρύττοντα, καὶ τοὺς *κτ* τὸ* μὴ φρονοῦντας ἢ λέ- B γοντας, ὡς κύνας σοφῶς λυττῶντας διελέγχοντα. ὡς δὲ οὐκ ᾐσθάνετο ὁ ἀναισθητότερος τοῦ ἀψύχου καλάμου, υἱὸς ὢν τῆς πλάνης, καὶ δεύτερον ἔλαβεν πρὸς τὸ καθυπογράψαι καὶ εἰς πέρας ἀγαγεῖν τὴν πονηρὰν αὐτοῦ βούλησιν· ἔβλεπεν δὲ καὶ τοῦτον κλαόμενον καὶ μὴ ἀνεχόμενον κοινωνῆσαι τῷ κακῷ ὃ ἐσπούδαζεν ποιῆσαι. τί σπεύδεις ὦ βασιλεῦ, ἐν ἀλλοδαπῇ ἐκπέμψαι τὸν ἔχοντα ἔνοικον τὸν τὰ πάντα πλη- C ροῦντα; τί ἀναλίσκειν βούλῃ τὸν παντὶ ἀνάλωτον; τί πόλεως ἐλαύνεις τὸν οὐρανοπολίτην; ἐὰν γὰρ καὶ τρίτον λάβῃς κάλαμον, ὄψει συντριβόμενον, καὶ μὴ ἀνεχόμενον, μὴ δὲ συμπράττοντά σοι. ὅπερ δὴ καὶ γέγονεν. τότε σαφῶς ἡ νίκη πᾶσιν ἀνεκηρύχθη, καὶ τὸ λαμπρὸν τρόπαιον τοῦ ἀκαταγωνίστου τρεῖς κάλαμοι γεγόνασιν, συνήγοροι τοῦ τὴν ὁμοούσιον κηρύττοντος τριάδα. ἡ χεὶρ τῆς ἀποφάσεως

A ut fides nostra progressum capiat, si iste adsit. Quorum sermonibus inductus Imperator, suscepit in exsilium eum mittere: statim verò calamus qui non sustineret iniquo subservire consilio, ultro confractus est; insipientem erudiens, quàm enorme facinus patrare vellet in servum Christi, unius in Patre & Filio & Spiritu sancto divinitatis præconem, quique ita non sentientes aut lo- B quentes, tamquam canes rabidos sapienter redarguebat. Cùm autem non sentiret is, inanimo calamo insensibilior, filius revera erroris, secundum quoque sumpsit; ad subscribendum, & ad finem imponendum malæ voluntati: verùm hunc similiter confringi vidit, nec pati velle communionem mali, quod ipse facere nitebatur. Quid conaris, ô Imperator, in peregrinam eum ejicere regionem, qui inhabita- C torem habet universa complentem? Cur capere tentas nulli expugnabilem? Quare civitate pellis civem cœli? Nam si tertium quoque calamum sumpseris, cernes contritum, nolentem, nec tibi cooperantem. Quod utique etiam contigit. Tunc apertè victoria à cunctis prædicata fuit, tum illustre trophæum invicti hominis, calami tres exstiterunt, Trinitatem consubstantialem prædicanti patrocinantes. Manus ad proferendam

* Αν καταβ- μιὼ

sententiam festinabat; & cala-
mi eam injustam demonstra-
runt. Manus pravum calculum
dare properabat; calami verò
inane studium retinebant. Et
Ex. VII. sicut virga Moysis confudit
10. &c. omnes incantatores reliquos-
que Ægypti maleficos; ita ca-
lami subitò destruxerunt con-
silium impiorum, ac filiorum
tenebrarum. Qua ratione tuam
prædicabimus beatitudinem,
ô pater Basili? qui velut sti-
mulo errorem pungis & abi-
gis, qui sagaciter proficisceris
cum apibus, habitasque in pra-
to divinitus inspiratarum Scri-
pturarum, illincque nobis flo-
res decerpis Propheticos, ro-
rem Apostolicum, Evangeli-
cam vitam; qui semper insi-
des virtutum alvearibus, unde
divinum nobis conficis muni-
mentum; qui mel divinæ ac
immaculatæ fidei sapienter in
Spiritu sancto operaris; qui
nos doces contemnere impro-
bos fucos, & fidem in ipsum
cœlum facere; quique clamas
Ps. cum Davide; *Dulcia eloquia*
CXVIII. *tua faucibus meis sunt; super*
103. *mel ori meo.* ô fidelis Basili,
velut Abel susceptus es, velut
Noe servatus, tamquam Abra-
ham amicus Dei vocatus, tam-
quam Isaac victima Deo obla-
tus; ut Jacob tentationes for-
titer pertulisti, & ut Joseph
magnam gloriam adeptus es;
instar Moysis, secundum Pha-
raonem virgâ crucis demersi-
sti, dum affectuum mare secas,

A ἐξενεγκεῖν ἐσπούδαζεν· καὶ κάλαμοι ταύτην ἄδικον ἀπεφήναντο. ἡ χεὶρ ψῆφον πονηρὰν δοῦναι κατεπείγετο· καὶ κάλαμοι ἐπεῖχον τὴν σπουδὴν τὴν ματαίαν. καὶ καθάπερ ἡ ῥάβδος Μωϋσέως κατήσχυνεν πάντας τοὺς ἐπαοιδοὺς, καὶ τοὺς λοιποὺς φαρμακοὺς Αἰγύπτου· οὕτως καὶ οἱ κάλαμοι εὐθέως κατήργησαν τὴν βουλὴν τῶν ἀσεβῶν, καὶ τῶν υἱῶν τοῦ σκότους. πῶς σε μακαρίσωμεν, ὦ πάτερ Βασίλειε; ὁ τῷ κέντρῳ τὴν πλάνην νύττων καὶ ἀπελαύ-

B νων, ὁ ἀπαίρων συνετῶς ἅμα ταῖς μελίτταις, καὶ σκηνῶν εἰς λειμῶνα τῶν θεοπνεύστων γραφῶν, κἀκεῖθεν ἡμῖν ἀνθολογῶν ἄνθη προφητικὰ, δρόσον ἀποστολικὴν, ζωὴν εὐαγγελικήν· ὁ ἀεὶ ἐνιζάνων τοῖς σίμβλοις τῶν ἀρετῶν, καὶ ἐξ αὐτῶν τὴν θείαν ἡμῖν ποιούμενος περιβολήν· ὁ τὸ μέλι τῆς θείας καὶ ἀμωμήτου πίστεως σοφῶς ἐργασάμενος ἐν πνεύματι ἁγίῳ· ὁ τῶν πονηρῶν σφηκῶν καταφρονεῖν διδάσκων ἡμᾶς, καὶ τὴν πίστιν ποιεῖ-

C σθαι εἰς αὐτὸν τὸν οὐρανόν· ὁ βοήσας ὡς Δαβίδ· Γλυκεῖα τὰ λόγιά σου τῷ λάρυγγί μου εἰσίν· ὑπὲρ μέλι τῷ στόματί μου. ὦ πιστὲ Βασίλειε. ὡς Ἄβελ προσεδέχθης, ὡς Νῶε διεσώθης, ὡς Ἀβραὰμ φίλος θεοῦ ἐκλήθης, ὡς Ἰσαὰκ θυσία τῷ θεῷ προσηνέχθης· ὡς Ἰακὼβ πειρασμοὺς γενναίως ὑπέμεινας καὶ καθὼς Ἰωσὴφ μεγάλως ἐδοξάσθης· ὡς Μωυσῆς τὸν δεύτερον Φαραὼ ἐβύθισας τῇ ῥάβδῳ τοῦ σταυροῦ, θάλασσαν παθῶν τεμὼν,

A ὡς Ἀαρὼν κυρίου ἀρχιερεὺς ἀνεδείχθης· ὡς ὁ Ἰησοῦς ὁ τοῦ Ναυὴ τοὺς ἐχθροὺς ἐτροπώσω, ὡς Φινεὲς ζηλώσας χάριτος ἠξιώθης, ὡς Ἠσαΐας πυρὶ νοητῷ ἐκαθαρίσθης, ὡς Ἰεζεκιὴλ τὸν ἐπὶ τῶν Χερουβὶμ [καθήμενον ἐθεώρησας,] ὡς Δανιὴλ στόματα λεόντων ἐφίμωσας, καὶ ὥσπερ οἱ τρεῖς παῖδες τῶν ἐναντίων τὴν φλόγα καλῶς κατεπάτησας· ὡς Πέτρος ἐκήρυξας, ὡς Παῦλος ἐδίδαξας, ὡς Θωμᾶς τὸν παθόντα θεὸν ὡμολόγησας· ὡς Ματθαῖος, καὶ Μάρκος, B καὶ Λουκᾶς, καὶ Ἰωάννης, σὺ ἐθεολόγησας· καὶ ὡς οἱ ἀπόστολοι ἀνόμους ἐδίδαξας, ἀσεβεῖς ἐπέστρεψας, θεῷ εὐηρέστησας. πρέσβευε ὑπὲρ ἐμοῦ τοῦ σφόδρα ἐλεεινοῦ, καὶ ἀνακάλεσαί με ταῖς πρεσβείαις σου, πάτερ· ὁ ἀνδρεῖος τὸν χαῦνον, ὁ σπουδαῖος τὸν ὀκνηρὸν, ὁ πρόθυμος τὸν ῥᾴθυμον, ὁ σοφὸς τὸν ἄφρονα· ὁ θησαυρίσας ἑαυτῷ θησαυρὸν ἀρετῶν, ἐμὲ τὸν ἀκτήμονα παντὸς κατορθώματος. C σὲ γὰρ ἐμεγάλυνεν ὁ πατὴρ τῶν οἰκτιρμῶν, καὶ σὲ ἐμακάρισεν ὁ υἱὸς τοῦ θεοῦ, σὲ ναὸν ἅγιον ἀνεκαίνησεν τὸ πνεῦμα τὸ ἅγιον· ᾧ πρέπει δόξα, κράτος, μεγαλοπρέπεια, εἰς τοὺς αἰῶνας.

inſtar Aaronis ſummus ſacerdos Domini declaratus es; ſicut Jeſus filius Navæ hoſtes in fugam vertiſti, ſicut Phinees zelo inflammatus, gratiâ dignus habitus es; ſicut Eſaias igne ſpiritali mundatus fuiſti; quaſi Ezechiel, ſedentem ſuper Cherubim conſpexiſti, quaſi Daniel ora leonum obturaſti, & veluti tres pueri flammam adverſariorum præclarè conculcaſti; quemadmodum Petrus prædicaſti, quemadmodum Paulus docuiſti, quemadmodum Thomas Deum paſſum confeſſus es; in morem Matthæi, Marci, Lucæ, & Johannis, tu de rebus divinis diſſeruiſti, & more Apoſtolorum iniquos erudiſti, impios convertiſti, Deo fuiſti gratus & acceptus. Deprecare pro me admodum miſerabili, & revoca me tuis interceſſionibus, Pater; fortis ignavum, ſedulus ſegnem, alacris ſocordem, ſapiens inſipientem; qui theſaurizaſti tibi virtutum theſaurum, me omnis boni operis inopem. Te enim magnum effecit Pater miſericordiarum, te beatificavit Filius Dei, te in templum ſanctum inſtauravit Spiritus ſanctus: Cui convenit gloria, imperium, magnificentia, in ſæcula.



EVAGRII Scitensis Monachi. A

Quia nuper è monte sancto significasti mihi ad Scetim residenti, carissime frater Anatoli, hortatusque es, ut symbolicum Monachorum Ægyptiorum habitum tibi exponerem; non enim temere & supervacuè susceptum arbitratus es, cùm adeo diversum sit à reliquis hominum habitibus; age, quæ à sanctis Patribus ea B de re accepimus, proferamus. Cucullus equidem signum est gratiæ Dei servatoris nostri, quæ caput, eorum partem principalem tegit, & in Christo infantiam confovet, propter eos qui semper conantur percutere ac vulnerare. Qui ergo illum capite gerunt, virtute ac potestate hæc psallunt; *Nisi Dominus ædificaverit domum, & custodierit civitatem, in vanum laboravit qui ædificat, & qui custodire nititur.* C Hujusmodi autem voces, humilitatem ingenerant, & antiquum superbiæ malum evellunt, quod in terram præcipitavit Luciferum qui manè oriebatur. Quòd autem manus nudas habent, indicat vitam absque hypocrisi & simulatione. Inanis enim gloria virtutes obtegere & obumbrare valet, quæ semper laudes ab hominibus captat, fidemque expellit. *Quo modo*

* Al. κουκούλλιον

Ps. cxxvi. 1.

* Al ὑπερηφανίας

Iob. v. 44.

ΕΥΑΓΡΙΟΥ τοῦ ἐν Σκήτει.

Ἐπειδή μοι πρώην δεδήλωκας ἀπὸ τοῦ ἁγίου ὄρους ἐν τῇ Σκήτει καθεζομένῳ, ποθεινότατε ἀδελφὲ Ἀνατόλιε, καὶ τὸ συμβολικὸν σχῆμα τῶν ἐν Αἰγύπτῳ μοναχῶν σαφηνισθῆναί σοι παρεκάλεσας· οὐ γὰρ εἰκῆ οὐδὲ παρέλκον αὐτὸ νενόμικας, τοσαύτην παραλλαγὴν ἔχον παρὰ τὰ λοιπὰ σχήματα τῶν ἀνθρώπων· φέρε ὅσα παρὰ τῶν ἁγίων πατέρων περὶ τούτου μεμαθήκαμεν, ἐξαγγείλωμεν. τὸ μὲν *κουκούλιον σύμβολόν ἐστι τῆς χάριτος τοῦ σωτῆρος ἡμῶν θεοῦ, σκεπαζούσης αὐτῶν τὸ ἡγεμονικὸν, καὶ περιθαλπούσης τὴν ἐν Χριστῷ νηπιότητα, διὰ τοὺς ῥαπίζειν ἀεὶ καὶ τιτρώσκειν ἐπιχειροῦντας. ὅσοι τοίνυν ἐπὶ τῆς κεφαλῆς φέρουσι τοῦτο, δυνάμει ψάλλουσι ταῦτα· ἐὰν μὴ κύριος οἰκοδομήσῃ οἶκον, καὶ φυλάξῃ πόλιν, εἰς μάτην ἐκοπίασεν ὁ οἰκοδομῶν, καὶ ὁ φυλάσσειν πειρώμενος. αἱ δὲ τοιαῦται φωναὶ, ταπεινοφροσύνην μὲν ἐμποιοῦσιν, ἐκρίζουσι δὲ * ὑπερηφανείας τὸ ἀρχαῖον κακὸν, τὸ κατασείσαν εἰς τὴν γῆν τὸν ἑωσφόρον τὸν πρωῒ ἀνατέλλοντα. τὸ δὲ γεγυμνῶσθαι τὰς χεῖρας, τὸ ἀνυπόκριτον τῆς πολιτείας ἐμφαίνει. δεινὴ γὰρ ἡ κενοδοξία συγκαλύψαι καὶ συσκιάσαι τὰς ἀρετὰς, ἀεὶ δόξας τὰς παρὰ τῶν ἀνθρώπων θηρεύουσα, καὶ τὴν πίστιν ἀποδιώκουσα. πῶς γὰρ

δύνασθε, φησὶ, πιστεῦσαι, δόξαν A
παρὰ ἀλλήλων λαμβάνοντες, καὶ τὴν δόξαν τὴν παρὰ τοῦ μόνου θεοῦ οὐ ζητοῦντες; δεῖ γὰρ τὸ ἀγαθὸν μὴ δι' ἕτερον, ἀλλὰ δι' αὐτὸ μᾶλλον εἶναι αἱρετόν. εἰ γὰρ μὴ τοῦτο δοθείη, φανήσεται τὸ κινοῦν ἡμᾶς πρὸς τὴν ἐργασίαν τοῦ καλοῦ, πολλῷ τιμιώτερον ὑπάρχον τοῦ γινομένου· ὅπερ τῶν ἀτοπωτάτων ἂν εἴη, θεοῦ τι κρεῖττον ἐννοεῖν τε καὶ λέγειν. ὁ δὲ ἀνάλαβος πάλιν ὁ σταυροειδῶς τοῖς ὤμοις αὐτῶν πε- B
ριπλεκόμενος, σύμβολον τῆς εἰς Χριστόν ἐστι πίστεως ἀναλαμβανούσης τοὺς πραεῖς, καὶ περιστελλούσης ἀεὶ τὰ κωλύοντα, καὶ τὴν ἐργασίαν ἀνεμπόδιστον αὐτοῖς παρεχούσης. ἡ δὲ ζώνη περισφίγγουσα τοὺς νεφροὺς αὐτῶν, ἀπωθεῖται πᾶσαν ἀκαθαρσίαν, καὶ τοῦτο παραγγέλλει, καλὸν ἀνθρώπῳ γυναικὸς μὴ ἅπτεσθαι. τὴν δὲ μηλωτὴν ἔχουσιν, οἱ πάντοτε τὴν νέκρωσιν τοῦ Ἰησοῦ ἐν τῷ σώματι περιφέροντες, καὶ φι- C
μοῦντες μὲν πάντα τὰ τοῦ σώματος ἄλογα πάθη, τὰς δὲ τῆς ψυχῆς κακίας μετουσίᾳ τοῦ καλοῦ περικόπτοντες, καὶ πενίαν μὲν ἀγαπῶντες, πλεονεξίαν δὲ φεύγοντες ὡς εἰδωλολατρίας μητέρα. ἡ δὲ ῥάβδος, ξύλον ζωῆς ἐστι, πᾶσι τοῖς ἀντεχομένοις αὐτῆς καὶ τοῖς ἐπερειδομένοις ἐπ' αὐτὴν ὡς ἐπὶ κύριον ἀσφαλής. καὶ τούτων μὲν σύμβολον ὡς ἐν ἐπιτομῇ τῶν πραγμάτων τὸ σχῆμα· τὰ δὲ ῥήματα ταῦτα

enim *potestis* inquit *credere, qui gloriam ab invicem accipitis, & gloriam quæ à solo Deo est non quæritis?* Scilicet oportet bonum, non propter aliud quid, sed propter se magis eligi. Nam si hoc non concedatur, id quod nos ad operationem boni movet, multùm ipso facto præstantius esse videbitur; quod absurdissimum fuerit, si aliquid Deo melius præstabiliusque putemus ac dicamus. Rursus verò analabus seu scapulare humeros eorum circumplectens habensque figuram crucis, symbolum est fidei erga Christum quæ mites suscipit, semperque obices coercet, ac operationem iis præbet omni impedimento liberam. At zona sive cingulum, renes ipsorum constringens, omnem repellit impuritatem, hocque denunciat; *Bonum est hominis mulierem non tangere.* I. Cor. VII. I.
Porrò melotem seu pellem ovinam gerunt, qui *semper mortificationem Jesu in corpore* suo II. Cor. IV. 10.
circumferunt; & cunctos corporis affectus rationi adversos obligant, animæ autem vitia participatione boni resecant; tum paupertatem diligunt, avaritiam fugiunt, tamquam idololatriæ matrem. Virga denique seu baculus, est lignum vitæ; cunctis eum tenentibus, & illi velut Christo innixis firmus ac tutus. Habes paucis quarum rerum symbolum sit habitus; verba verò hæc sunt

quæ ad eos ſemper proferunt A Patres; Fidem, ô filii, confirmat timor Dei, huncque rurſus continentia, quam immotam reddunt tolerantia & ſpes, ex quibus gignitur impaſſibilitas, cujus ſoboles caritas; at caritas oſtium eſt naturalis cognitionis, cui ſuccedit Theologia & ſuprema beatitudo. Atque de habitu ſacro, deque ſenum doctrina, hæc à nobis nunc dicta ſint. De vita autem tum practica, tum gnoſtica, hoc eſt, quæ actione vel cognitione B conſtat, jam diſſeramus, non quantùm vidimus vel audivimus, ſed quantùm ab iis didicimus aliis eſſe dicenda; in centum capita res ad actionem pertinentes, in ſexcenta & quinquaginta res ad cognitionem ſpectantes, compendioſè partiti; & alia quidem occultantes, alia verò obſcuriùs ponentes; ne demus ſancta canibus, neque mittamus margaritas ante porcos: C quæ tamen iis erunt aperta, qui eorum hominum veſtigiis inſtiterint.

Matt. VII. 6.

ἔστι ἃ πρὸς αὐτοὺς ἀεὶ λέγουσιν οἱ πατέρες· τὴν πίστιν, ὦ τέκνα, βεβαιοῖ ὁ φόβος ὁ τοῦ θεοῦ, καὶ τοῦτον πάλιν ἐγκράτεια, ταύτην δὲ ἀκλινῆ ποιοῦσιν ὑπομονὴ καὶ ἐλπίς, ἀφ' ὧν τίκτεται ἀπάθεια, ἧς ἔκγονον ἡ ἀγάπη, ἀγάπη δὲ θύρα γνώσεως φυσικῆς, ἣν διαδέχεται θεολογία καὶ ἡ ἐσχάτη μακαριότης. καὶ περὶ μὲν τοῦ σχήματος τοῦ ἱεροῦ καὶ τῆς διδασκαλίας τῶν γερόντων, τοσαῦτα ἡμῖν ἐπὶ τοῦ παρόντος εἰρήσθω. περὶ δὲ τοῦ βίου τοῦ τε πρακτικοῦ καὶ τοῦ γνωστικοῦ νυνὶ διηγούμεθα, οὐχ ὅσα ἑωράκαμεν ἢ ἠκούσαμεν, ἀλλ' ὅσα τοι καὶ ἄλλοις εἰπεῖν παρ' αὐτῶν μεμαθήκαμεν, ἑκατὸν μὲν κεφαλαίοις τὰ πρακτικά, πεντήκοντα δὲ πρὸς τοῖς ἑξακοσίοις τὰ γνωστικὰ συντετμημένως διελόντες· καὶ τὰ μὲν ἐπικρύψαντες, τὰ δὲ συσκιάσαντες, ἵνα μὴ δῶμεν τὰ ἅγια τοῖς κυσί, μὴ δὲ βάλλωμεν τοὺς μαργαρίτας ἔμπροσθεν τῶν χοίρων. ἔσται δὲ ταῦτα ἐμφανῆ τοῖς εἰς τὸ αὐτὸ ἴχνος αὐτοῖς ἐμβεβηκόσι.

I. Chriſtianiſmus eſt, dogma ſervatoris noſtri Jeſu Chriſti, ex Practica, Phyſica, & Theologica tractatione conſtans.

* Al. συνεστός

α. Χριστιανισμός ἐστι, δόγμα τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐκ πρακτικῆς καὶ φυσικῆς καὶ θεολογικῆς * συνεστώς.

II. Regnum cœlorum eſt, animæ imperturbabilitas, cum vera rerum cognitione.

β. Βασιλεία οὐρανῶν ἐστίν, ἀπάθεια ψυχῆς μετὰ γνώσεως τῶν ὄντων ἀληθοῦς.

III. Regnum Dei eſt, cognitio ſanctæ Trinitatis, coextenſa mentis conſtitutioni, ipſiuſque incorruptionem exſuperans.

γ. Βασιλεία θεοῦ ἐστί, γνῶσις τῆς ἁγίας τριάδος συμπαρεκτεινομένη τῇ συστάσει τοῦ νοός, καὶ ὑπερβάλλουσα τὴν ἀφθαρσίαν αὐτοῦ.

δ′. Οὗ γάρ τινός τις ἐρᾷ, τούτου καὶ ἐφίεται πάντως, καὶ οὗ ἐφίεται, τούτου καὶ τυχεῖν ἀγωνίζεται. καὶ πάσης μὲν ἡδονῆς ἐπιθυμία κατάρχει, ἐπιθυμίαν δὲ τίκτει αἴσθησις. τὸ γὰρ αἰσθήσεως ἄμοιρον, καὶ πάθους ἐλεύθερον. A

IV. Quod quis amat, hoc & appetit prorsus, quodque appetit, hoc & adipisci contendit. Atque omnem voluptatem præit desiderium, desiderium verò parit sensus. quod enim sensûs expers est, est quoque ab affectu liberum.

ε′. Τοῖς μὲν ἀναχωρηταῖς οἱ δαίμονες γυμνοὶ προσπαλαίουσι, τοῖς δὲ ἐν κοινοβίοις ἢ συνοδίαις κατεργαζομένοις τὴν ἀρετὴν, τοὺς ἀμελεστέρους τῶν ἀδελφῶν ἐφοπλίζουσι· πολλῷ δὲ κουφότερος ὁ δεύτερος πόλεμος τοῦ πρώτου, διότι οὐκ ἔστιν εὑρεῖν ἐπὶ τῆς γῆς ἀνθρώπους πικροτέρους δαιμόνων, ἢ πᾶσαν αὐτῶν ὑποδεχομένους τὴν κακουργίαν. B

V. Cum Anachoretis seu solitariis dæmones nudi luctantur; contra eos verò qui in Cœnobiis & conventibus virtutem exercent, armant fratres negligentiores: multò autem levius est posterius bellum priori, quia invenire non licet in terra homines dæmonibus atrociores, quive omnem eorum admiserint malignitatem. *Schol. 42. ad Clim. Grad. 4.*

ϛ′. Νοῦν μὲν πλανώμενον ἵστησιν ἀνάγνωσις καὶ ἀγρυπνία καὶ προσευχή· ἐπιθυμίαν δὲ φλεγομένην μαραίνει πεῖνα καὶ κόπος καὶ ἀναχώρησις· θυμὸν δὲ καταπαύει κυκώμενον ψαλμῳδία καὶ μακροθυμία καὶ ἔλεος· καὶ ταῦτα τοῖς προσήκουσι χρόνοις τε καὶ μέτροις γινόμενα. τὰ γὰρ ἄκαιρα καὶ ἄμετρα, ὀλιγοχρόνια, τὰ δὲ ὀλιγοχρόνια, βλαβερὰ μᾶλλον καὶ οὐκ ὠφέλιμα. C

VI. Mentem errantem sistit lectio, & vigilia, & oratio; cupiditatem verò ferventem sensim exstinguit esuries & labor & solitudinis secessus; animum autem irâ conturbatum sedat psalmodia & longanimitas & misericordia; atque hæc congruis temporibus a emensuris adhibita. quæ enim extra tempus & modum fiunt, parum durant, quæque parum durant, noxia magis sunt, non utilia. *Vit. Pat. l. X. 20. Theodor. Edess. c. 13.*

ζ′. Ὁπηνίκα διαφόρων βρωμάτων ἐφίεται ἡμῶν ἡ ψυχὴ, * τοτηνικαῦτα ἐπὶ ἄρτῳ στενούσθω καὶ ὕδατι, ἵν’ εὐχάριστος γένηται καὶ ἐπὶ αὐτῷ ψιλῷ τῷ ψωμῷ. κόρος γὰρ ποικίλων ἐδεσμάτων ἐπιθυμεῖ, λιμὸς δὲ τὸν κόρον τοῦ ἄρτου μακαριότητα εἶναι νομίζει.

VII. Quoties varios cibos expetit anima nostra, toties in pane & aqua coarctetur, ut gratias agere discat vel de ipsa nuda buccea. Satietas enim multiplices escas desiderat: fames verò, panis satietatem pro beatitudine ducit. *Climacus Gradu 14.* * *Al. τηνικαῦτα*

A VIII. Multum ad temperantiam conducit penuria aquæ: idque tibi persuadeant trecenti illi Israelitarum milites qui Gedeone duce Madianitas devicerunt. *Iudic. VII.*

IX. Sicut vitam & mortem simul eidem contingere, contra rerum naturam est; ita caritatem cum pecuniis in quopiam consistere, fieri nequit. Siquidem caritas non solùm pecuniarum destructrix est, sed & ipsius nostræ temporalis vitæ.

B X. Qui effugit cunctas mundi voluptates, turris est dæmoni tristitiæ inaccessa. Tristitia enim est privatio voluptatis, aut præsentis aut exspectatæ. Non possumus autem hunc inimicum repellere, si ad quidpiam è rebus terrenis retinuerimus affectum. Nam illic laqueum statuit ac tristitiam operatur, quò maximè nos videt propensos.

C XI. Ira equidem & odium augent furorem; eleemosyna verò & mansuetudo, etiam præsentem minuunt.

Nil inf. De ira. Eph. IV. 26. XII. *Sol non occidat super iracundiam* nostram, ne noctu insilientes dæmones animam exterreant, timidioremque reddant mentem die sequenti ad pugnam. Etenim terribilia spectra, ex animi irati perturbatione oriri solent; nihil autem est quod ita mentem ad desertionem compellat, quàm animus irâ turbatus.

η. Πάνυ πρὸς σωφροσύνην συμβάλλεται ἡ τοῦ ὕδατος ἔνδεια· καὶ πειθέτωσάν σε τῶν Ἰσραηλιτῶν οἱ μετὰ Γεδεὼν τριακόσιοι τὴν Μαδιὰμ χειρωσάμενοι.

θ. Ὡς ζωὴν καὶ θάνατον ἅμα συμβῆναι τῷ αὐτῷ, τῶν οὐκ ἐνδεχομένων ἐστὶν, οὕτως ἀγάπην χρήμασι συνυπάρξαι τινὶ, τῶν ἀδυνάτων ἐστίν. ἀναιρετικὴ γὰρ οὐ μόνον χρημάτων ἡ ἀγάπη, ἀλλὰ καὶ αὐτῆς ἡμῶν τῆς προσκαίρου ζωῆς.

ι. Ὁ φεύγων πάσας τὰς κοσμικὰς ἡδονὰς, πύργος ἐστὶ τῷ τῆς λύπης ἀπρόσιτος δαίμονι. λύπη γάρ ἐστι στέρησις ἡδονῆς, ἢ παρούσης ἢ προσδοκωμένης. ἀδύνατον δὲ τὸν ἐχθρὸν τοῦτον ἀπώσασθαι, πρός τι τῶν ἐπιγείων ἔχοντας ἡμᾶς προσπάθειαν. ἐκεῖ γὰρ ἵστησι τὴν παγίδα καὶ τὴν λύπην ἐργάζεται, ὅπου βλέπει μάλιστα νενευκότας ἡμᾶς.

ια. Ὀργὴ μὲν γὰρ καὶ μῖσος, αὔξει θυμόν· ἐλεημοσύνη δὲ καὶ πραΰτης, καὶ τὸν ὄντα μειοῖ.

ιβ. Ὁ ἥλιος μὴ ἐπιδυέτω ἐπὶ τῷ παροργισμῷ ἡμῶν, ἵνα μὴ νύκτωρ ἐπιστάντες οἱ δαίμονες ἐκφοβήσωσι τὴν ψυχὴν, καὶ δειλοτέραν ποιήσωσι τῇ ἐπιούσῃ τὸν νοῦν πρὸς τὸν πόλεμον. τὰ γὰρ φοβερὰ φάσματα, ἐκ τῆς ταραχῆς τοῦ θυμοῦ πέφυκε γίνεσθαι· οὐδὲν δὲ λειποτάκτην οὕτως ἄλλο τὸν νοῦν ἀπεργάζεται, ὡς θυμὸς ταρασσόμενος.

ιγ.

ιγ. Ὁπηνίκα προφάσεως ἐφαψάμενον τὸ θυμικὸν ἡμῶν μέρος τῆς ψυχῆς * ἐκταράξηται, * τηνικαῦτα καὶ οἱ δαίμονες τὴν ἀναχώρησιν ἡμῖν ὡς καλὴν ὑποβάλλουσιν, ἵνα μὴ τὰς αἰτίας τῆς λύπης λύσαντες, ταραχῆς ἑαυτοὺς ἀπαλλάξωμεν. ὅταν δὲ * τὸ ἐπιθυμητικὸν ἐκθερμαίνηται, τότε πάλιν φιλανθρώπους ἡμᾶς ἀπεργάζονται, σκληροὺς καὶ ἀγρίους ἀποκαλοῦντες, ἵνα σωμάτων ἐπιθυμοῦντες, σώμασιν ἐντυγχάνωμεν. οἷς οὐ πείθεσθαι δεῖ μᾶλλον δὲ τὸ ἐναντίον ποιεῖν. A B

ιδ. Μὴ δῷς ἑαυτὸν τῷ τῆς ὀργῆς λογισμῷ, κατὰ διάνοιαν τῷ λελυπηκότι μαχόμενος· μὴ δ' αὖ πάλιν, τῷ τῆς πορνείας, ἐπὶ πλεῖστον τὴν ἡδονὴν φανταζόμενος. τὸ μὲν γὰρ ἐπισκοτεῖ τῇ ψυχῇ, τὸ δὲ πρὸς τὴν κύρωσιν τοῦ πάθους αὐτὴν προσκαλεῖται· ἑκάτερα δὲ τὸν νοῦν σου ῥυποῦντα ποιεῖ· καὶ παρὰ τὸν καιρὸν τῆς προσευχῆς, τὰ εἴδωλα φανταζόμενος, καὶ καθαρὰν τὴν εὐχὴν τῷ Θεῷ μὴ προσφέρων, εὐθὺς C τῷ τῆς ἀκηδίας δαίμονι περιπίπτεις, ὅστις μάλιστα ταῖς τοιαύταις ἐφάλλεται καταστάσεσι, καὶ δίκην κυνὸς καθάπερ * νεκρὸν τὴν ψυχὴν διαρπάζει.

ιε. Φύσις θυμοῦ, τὸ τοῖς δαίμοσι μάχεσθαι, καὶ ὑπὲρ ἡστινοσοῦν ἡδονῆς ἀγωνίζεσθαι. διόπερ οἱ μὲν ἄγγελοι τὴν πνευματικὴν ἡμῖν ἡδονὴν ὑποβάλλοντες καὶ τὴν ἐκ ταύτης μακαριότητα, πρὸς τοὺς δαίμονας τὸν θυμὸν τρέψαι παρακαλοῦσιν·

XIII. Cùm occasionem nacta animæ nostræ illa pars qua irascimur conturbata fuerit, tunc dæmones secessum nobis ut bonum suggerunt, ne solutis tristitiæ caussis, nos à tumultu liberemus. Cùm verò pars quâ concupiscimus exarserit, tunc rursùs nos hominum amantes efficere conantur, durosque & agrestes nuncupant, ut corporum desiderio affecti, in corpora incidamus. Cæterùm iis credere non oportet, quinimo contrarium facere.

XIV. Ne tradideris temetipsum iracundiæ cogitationi, mente pugnans cum eo qui te contristavit, neque etiam fornicationis, diutius voluptatis imagines retinendo. Illud enim tenebras animæ offundit, hoc verò eam provocat ad vitii probationem; & utraque mentem tuam sordidant; cúmque tempore orationis simulacra fueris imaginatus, Deo puram precem non offerens, incidis statim in acediæ seu tædii dæmonem, qui præcipuè in homines in hujusmodi statu constitutos insilit, & instar canis animam velut hinnulum diripit.

XV. Iræ natura est, cum dæmonibus pugnare, & super qualibet voluptate decertare. Quocirca angeli quidem spiritalem voluptatem nobis suggerentes & beatitudinem quæ ex ea provenit, hortantur ut adversùs dæmones iram vertamus;

* Al. ἐκταράσσηται.
* Al. τηνικαῦτα
* Al. ins. πάλιν
* Al. νεβρὸν
Schol. 4 ad Grad. 24. Clim.

illi contrà, ad mundana deſideria trahentes, animum noſtrum ira concitatum pugnare cum hominibus contra naturam compellunt, ut obtenebrata mens ac è cognitione decidens, virtutum proditrix evadat.

* Al. ἡμᾶς

XVI. Attende tibi ipſi, ne ullum umquam fugaveris fratrem, irâ commotus; non enim in vita tua effugies triſtitiæ dæmonem, ſed tempore orationis tibi perpetuò erit inſtar offendiculi.

* Al. παροργίσας

XVII. Recordationem injuriæ exſtinguunt munera: ut oſtendit Jacob, dum Eſau, qui cum quadringentis in occurſum exierat, donis delinivit: verùm nos, qui pauperes ſumus, per menſam indigentiam munerum ſuppleamus.

Maxim. Serm. 66. Meliſſa II. 54. Gen XXXII. 6. XXXIII. 1. &c.

XVIII. Quando in acediæ dæmonem incurrerimus, tunc animam partiti, unam partem excitantem, aliam excitatam faciamus, bonæ ſpei ſemina nobis ſubmittentes, illudque ſancti Davidis pro lenimento canentes; *Quare triſtis es anima mea? & quare conturbas me? Spera in Deo, quoniam confitebor illi, ſalutare vultûs mei, & Deus meus.*

* Al. τετρακοσίων
* Al. ποτε
Leg. inf. Nil. De acedia.
Pſ. XLI. 6. 7.
* Al. σωτήρ
* Abeſt ab al.

XIX. Non oportet ingruentibus tentationibus, cellam deſerere, cauſſas rationi conſentaneas videlicet comminiſcendo; quin potiùs intra illam ſedere,

Schol. 8 ad Clim. Grad. 27.

A ἐκεῖνοι δ' αὖ πάλιν πρὸς τὰς κοσμικὰς ἐπιθυμίας ἕλκοντες * ἡμῶν τὸν θυμὸν παρὰ φύσιν μάχεσθαι τοῖς ἀνθρώποις βιάζονται, ἵνα σκοτισθεὶς ὁ νοῦς καὶ τῆς γνώσεως ἐκπεσὼν, προδότης γένηται τῶν ἀρετῶν.

ιϛ. Πρόσεχε σεαυτῷ, μήποτε φυγαδεύσῃς τινὰ τῶν ἀδελφῶν * παροργισθεὶς, καὶ οὐκ ἐκφεύξῃ ἐν τῇ ζωῇ σου τὸν τῆς λύπης δαίμονα, παρὰ τὸν καιρὸν τῆς προσευχῆς ἀεί σοι σκάνδαλον γινόμενον.

B ιζ. Μνησικακίαν σβέννυσι δῶρα· καὶ πειθέτω σε Ἰακὼβ τὸν Ἠσαῦ δώμασιν ὑπελθὼν μετὰ * τετρακοσίων εἰς ἀπάντησιν ἐξελθόντα. ἀλλ' ἡμεῖς πένητες ὄντες, τραπέζῃ τὴν χρείαν πληρώσωμεν.

ιη. Ὅταν τῷ τῆς ἀκηδίας περιπέσωμεν δαίμονι, * τῷ τηνικαῦτα τὴν ψυχὴν μερίσαντες, τὴν μὲν παρακαλοῦσαν, τὴν δὲ παρακαλουμένην ποιήσωμεν,

C ἐλπίδας ἀγαθὰς ἑαυτοῖς ὑποσπείροντες, καὶ τὸ τοῦ ἁγίου Δαυὶδ κατεπᾴδοντες· ἱνατί περίλυπος εἶ ἡ ψυχή μου; καὶ ἱνατί * ταράσσεις με; ἔλπισον ἐπὶ τὸν θεὸν, ὅτι ἐξομολογήσομαι αὐτῷ, σωτήριον τοῦ προσώπου μου, * καὶ ὁ θεός μου.

ιθ. Οὐ δεῖ κατὰ τὸν καιρὸν τῶν πειρασμῶν καταλιμπάνειν τὴν κέλλαν, προφάσεις εὐλόγους δῆθεν πλαττόμενον, ἀλλ' ἔνδοθεν καθῆσθαι καὶ ὑπομένειν καὶ δέχεσθαι γενναίως τοὺς ἐπερχομένους

ἅπαντας μὲν, ἐξαιρέτως δὲ τὸν τῆς ἀκηδίας δαίμονα, ὅστις ὑπὲρ πάντας βαρύτατος ὢν, δοκιμωτάτην μάλιστα τὴν ψυχὴν ἀπεργάζεται. τὸ γὰρ φεύγειν τοὺς * ἀγῶνας καὶ περιΐστασθαι, ἄτεχνον τὸν νοῦν καὶ δειλὸν καὶ δραπέτην διδάσκει.

A tolerare, ac fortiter insultus excipere omnium quidem dæmonum, præcipuè tamen illius qui est acediæ, qui cunctos atrocitate superans, probatissimam maximè efficit animam. Nam talia certamina vitare ac fugere, mentem edocet, ut imperita, iners, timida & fugitiva evadat.

* Al. inser. τοιούτους

κ. Χαλεπὸν διαφυγεῖν τὸν τῆς κενοδοξίας λογισμόν· ὃ γὰρ ποιεῖς εἰς καθαίρεσιν αὐτοῦ, τοῦτο ἀρχή σοι κενοδοξίας ἑτέρας καθίσταται. οὐ B παντὶ δὲ λογισμῷ ἡμῶν ὀρθῷ ἐναντιοῦνται οἱ δαίμονες, ἀλλά τισι καὶ αἱ κακίαι αὗται, καθ' ἃς * περιποιούμεθα.

XX. Ægrè vitari potest vanæ gloriæ vitiosa cogitatio; quia quod in destructionem ejus designas, hoc tibi alterius inanis gloriæ initium conficitur. Cæterùm non omni rectæ cogitationi nostræ adversantur dæmones, at quibusdam ipsa quoque vitia, per quæ vincimus atque liberamur. *aut* quibus inficimur.

Maxim. Serm. 14. Nil inf. De inani gloria.

* Al πασιαώμεθα

κα. Ὁ γνώσεως ἐφαψάμενος καὶ τὴν ἀπ' αὐτῆς καρπούμενος ἡδονὴν, οὐκέτι τῷ τῆς κενοδοξίας πεισθήσεται δαίμονι, πάσας αὐτῷ τὰς ἡδονὰς τοῦ κόσμου προσάγοντι. τί γὰρ ἂν καὶ ὑπόσχοιτο μεῖζον πνευματικῆς θεωρίας; ἐν ὅσῳ δὲ ἐσμὲν C γνώσεως ἄγευστοι, τὴν πρακτικὴν προθύμως κατεργαζώμεθα, τὸν σκοπὸν ἡμῶν δεικνύντες θεῷ, ὅτι πάντα πράττομεν τῆς αὐτοῦ γνώσεως ἕνεκεν.

XXI. Qui cognitionem attigerit, & voluptatem quæ ab ea prodit decerpserit, non ampliùs vanæ gloriæ dæmoni obsequetur, licèt ei mundi voluptates offerat. Quid enim, quæso, promissurus est, quod spiritalem contemplationem habeat infra se? Quamdiu verò non degustavimus cognitionem, ea quæ ad vitam activam pertinent alacriter operemur, propositum nostrum exhibentes Deo, quòd omnia facimus ad ipsius cognitionem consequendam.

κβ. Μέμνησο τοῦ προτέρου σου βίου καὶ τῶν ἀρχαίων παραπτωμάτων, καὶ πῶς ἐμπαθὴς ὢν, ἐλέει Χριστοῦ, πρὸς τὴν ἀπάθειαν

XXII. Recordare prioris vitæ tuæ, antiquorumque delictorum, & quo pacto affectibus deditus, per Christi misericordiam, ad impassibilitatem

A transiisti; quo item pacto è mundo egressus es, qui te in multis ac sæpe dejecerat. Illud quoque mihi reputa, quis te in eremo servaverit, quis dæmones abegerit qui in te dentibus suis stridebant. Nam ejusmodi cogitationes humilitatem induunt, nec superbiæ dæmonem admittunt.

De affectibus.

XXIII. Quorum memoriam cum affectu servamus, horum B res antea cum perturbatione suscepimus; & vice versâ, quas res cum animi perpessione suscipimus, harum & memoriam affectu commotam retinebimus. Unde qui vicerit vexatores dæmones, ea quibus utuntur ad vexandum contemnet. materiali enim hoste immaterialis est molestior.

* Al. πολέμου

XXIV. Animæ passiones, ab hominibus occasionem sumunt; corporis verò, à corpore; & has quidem corporis, C rescindit continentia, illas autem animæ, caritas spiritalis.

XXV. Dæmones qui affectibus animæ præsident, ad mortem usque perseverant; qui affectibus corporeis; citò recedunt. Et alii quidem dæmones, soli orienti aut occidenti similes sunt, unamque tantùm animæ partem capessunt; at meridianus, totam complecti solet animam, & mentem offocare. Proinde dulcis est monastica

A μεταβέβηκας, καὶ πῶς πάλιν ἐξῆλθες τοῦ κόσμου, τοῦ πολλὰ καὶ πολλάκις σε ταπεινώσαντος. λόγισαι δέ μοι καὶ τοῦτο, τίς ὁ ἐν ἐρήμῳ φυλάσσων σε, καὶ τίς ὁ ἀπελαύνων τοὺς δαίμονας βρύχοντας κατὰ σοῦ τοὺς ὀδόντας αὐτῶν. οἱ γὰρ τοιοῦτοι λογισμοὶ, ταπεινοφροσύνην μὲν ἐμποιοῦσι, τὸν δὲ τῆς ὑπερηφανίας οὐκ εἰσδέχονται δαίμονα.

Περὶ παθῶν.

κγ. Ὧν τὰς μνήμας ἔχομεν ἐμ- B παθεῖς, τούτων καὶ τὰ πράγματα πρότερον μετὰ πάθους ὑπεδεξάμεθα· καὶ ὅσα τῶν πραγμάτων πάλιν μετὰ πάθους ὑποδεχόμεθα, τούτων καὶ τὰς μνήμας ἕξομεν ἐμπαθεῖς. ὅθεν ὁ νικήσας τοὺς ἐνεργοῦντας δαίμονας, τῶν ὑπ' αὐτῶν ἐνεργουμένων καταφρονεῖ. τοῦ γὰρ ἐνύλου * πολεμίου, ὁ ἄϋλος χαλεπώτερος.

κδ. Τὰ μὲν τῆς ψυχῆς πάθη, ἐκ τῶν ἀνθρώπων ἔχει τὰς ἀφορμάς· τὰ δὲ τοῦ σώματος, ἐκ τοῦ σώματος. καὶ τὰ μὲν τοῦ C σώματος πάθη περικόπτει ἐγκράτεια, τὰ δὲ τῆς ψυχῆς, ἀγάπη πνευματική.

κε. Οἱ μὲν τῶν ψυχικῶν προεστῶτες παθῶν, ἄχρι θανάτου προσκαρτεροῦσιν· οἱ δὲ τῶν σωματικῶν, θᾶττον ὑποχωροῦσι· καὶ οἱ μὲν ἄλλοι δαίμονες ἀνατέλλοντι ἢ δύνοντι τῷ ἡλίῳ ἐοίκασιν, ἑνός τινος μέρους τῆς ψυχῆς ἐφαπτόμενοι· ὁ δὲ μεσημβρινὸς, ὅλην περιλαμβάνειν εἴωθε τὴν ψυχὴν, καὶ ἐναποπνίγειν τὸν νοῦν. διὸ γλυκεῖα ἡ ἀναχώρησις

μετὰ τὴν τῶν παθῶν κένωσιν. τότε A γὰρ αἱ μνῆμαι * μόνον εἰσὶ ψιλαί· καὶ ἡ πάλη, οὐ πρὸς ἀγῶνα λοιπὸν, ἀλλὰ πρὸς θεωρίαν αὐτῆς, παρασκευάζει τὸν μοναχόν.

κϛ'. Πότερον ἡ ἔννοια τὰ πάθη κινεῖ, ἢ τὰ πάθη τὴν ἔννοιαν, προσεκτέον. τισὶ μὲν γὰρ ἔδοξε τὸ πρότερον, τισὶ δὲ τὸ δεύτερον. ὑπὸ τῶν αἰσθήσεων πέφυκε κινεῖσθαι τὰ πάθη· καὶ παρούσης μὲν ἀγάπης καὶ ἐγκρατείας, οὐ κινηθήσεται, ἀπούσης B δὲ, κινηθήσεται. πλειόνων δὲ παρὰ τὴν ἐπιθυμίαν ὁ θυμὸς δεῖται φαρμάκων· καὶ διὰ τοῦτο, μεγάλη λέγεται ἡ ἀγάπη, ὅτι χαλινός ἐστι τοῦ θυμοῦ. ταύτην καὶ Μωσῆς ἐκεῖνος ὁ ἅγιος, ἐν τοῖς φυσικοῖς συμβολικῶς * ὀφιομάχον ὠνόμασεν.

κζ'. Πρὸς τὴν ἐπικρατοῦσαν * δυσσέβειαν ἐν τοῖς δαίμοσιν, εἴωθεν ἀνάπτεσθαι πρὸς λογισμοὺς ἡ ψυχὴ, ὅταν αὐτῶν ἐγγιζόντων ἀντιλαμβάνηται, τῷ τοῦ παρενοχλοῦντος πάθει C πεποιωμένη.

Ὑποθῆκαι.

κη. Οὐκ ἐν παντὶ καιρῷ δυνατὸν ἐκτελεῖν τὸν συνήθη κανόνα, προσέχειν δὲ δεῖ τῷ καιρῷ, καὶ τὰς ἐνδεχομένας ἐντολὰς ὡς ἔνι μάλιστα πειρᾶσθαι ποιεῖν. τοὺς γὰρ καιροὺς καὶ αὐτοὶ τοὺς τοιούτους οὐκ ἀγνοοῦσιν οἱ δαίμονες. ὅθεν κινούμενοι καθ' ἡμῶν, τὰ μὲν δυνατὰ γίνεσθαι κωλύουσι, τὰ δὲ μὴ δυνατὰ γίνεσθαι πράττειν ἡμᾶς

A secessio post perpessionum vacuitatem. Tunc enim solæ nudæque supersunt recordationes; ac de cætero lucta non ad certamen, sed ad luctæ contemplationem præparat Monachum.

* Al. μόναι

XXVI. Utrum cogitatio affectus moveat, vel affectus moveant cogitationem, attendendum est. Nonnullis quippe prius placuit, aliis posterius. A sensibus commoveri affectus consueverunt; qui si adfuerit B caritas & continentia, non concitabuntur, contrà si abfuerint. Porrò ira pluribus eget medicamentis quàm cupiditas: quapropter magna censetur caritas, quia iræ frenum est. Ipsam sanctus ille Moses agens de rebus naturalibus, symbolicè ophiomachum nominavit.

Theodor Edess. c. 14.

Schol. 44 ad Clim. Grad. 15.

Levit. XI. 22.

XXVII. Contra impietatem seu fœtorem qui in dæmonibus obtinet solet anima incendi ad ratiocinationes, cùm ipsis appropinquantibus suscepta C fuerit in auxilium, vitio obturbantis aspersa.

* Al. ὀφιομάχον

* Al. δυσωδίαν

Monita.

XXVIII. Non omni tempore possumus consuetam regulam perficere, sed attendendum est opportunitati, & mandata possibilia connitendum pro viribus operari. Nam hujusmodi opportuna tempora nec ipsi dæmones ignorant. Unde commoti contra nos, quæ fieri possunt prohibent, quæ fieri non possunt agere nos

compellunt. Ægrotos, ne in doloribus Deo gratias agant, & ministros patienter tolerent, impediunt: consimilique modo hortantur ad abstinentiam imbecillos, & ad psallendum erecto in pedes corpore eos qui gravati sunt.

A καταναγκάζουσι. καὶ γὰρ τοὺς ἀσθενοῦντας, εὐχαριστεῖν μὲν ἐπὶ τοῖς ἀλγηδόσι, καὶ μακροθυμεῖν ἐπὶ τοῖς ὑπηρετοῦσιν ἀποκωλύουσιν· ἀτονοῦντας δὲ πάλιν, ἐγκρατεύεσθαι, καὶ βεβαρημένους, ἑστῶτας ψάλλειν παρεγγυῶσιν.

XXIX. Quoties in urbibus aut vicis ad breve tempus manere cogimur, tunc præcipuè continentiæ firmiùs adhærentes, cum sæcularibus conversabimur; ne crassescens mens nostra, & solitâ diligentiâ ob præsens tempus privata, aliquid contra sententiam suam faciat, evadatque fugitiva, dum à dæmonibus impetitur.

κθ. Ὅταν ἐν πόλεσιν ἢ ἐν κώμαις ἐπ᾽ ὀλίγον ἀναγκαζώμεθα διατρίβειν, τότε μάλιστα σφοδρότερον τῆς ἐγκρατείας ἐχόμενοι, τοῖς κοσμικοῖς συνεσόμεθα, μήποτε παχυνθεὶς B ἡμῶν ὁ νοῦς, καὶ τῆς συνήθους ἐπιμελείας διὰ τὸν παρόντα καιρὸν στερηθεὶς, πράξῃ τι τῶν ἀβουλήτων, καὶ γένηται φυγὰς, ὑπὸ τῶν δαιμόνων βαλλόμενος.

XXX. Inter tentationes non priùs orabis, quam nonnulla verba irato animo protuleris adversùs vexatorem. Cùm enim anima tua cogitationibus velut qualitatibus sit affecta, continget nec puram fundi precem. Quòd si nonnihil ad eos cum ira dixeris, confundis ac dissipas adversariorum consilia. Siquidem ira naturâ comparatum est, ut ira hoc quoque conficiat in melioribus cogitationibus.

λ. Οὐ πρότερον προσεύξῃ πειραζόμενος, πρὶν εἰπεῖν τινὰ ῥήματα μετ᾽ ὀργῆς πρὸς τὸν θλίβοντα. τῆς γὰρ ψυχῆς σου πεποιωμένης τοῖς λογισμοῖς, συμβαίνει μὴ δὲ καθαρὰν γίνεσθαι τὴν προσευχήν. ἐὰν δὲ μετ᾽ ὀργῆς εἴπῃς τι C πρὸς αὐτοὺς, συγχεῖς τε καὶ ἐξαφανίζεις τῶν ἀντικειμένων τὰ νοήματα. τοῦτο γὰρ ἡ ὀργὴ καὶ ἐπὶ τῶν κρειττόνων νοημάτων ἐργάζεσθαι πέφυκεν.

XXXI. Si quis Monachus periculum facere velit de feris dæmonibus, eorumque artis usum capere, observet cogitationes, quarum intentiones notet, remissiones, complicationes, tempora, & quinam dæmonum hoc faciant, tum

λα. Εἴ τις βούλοιτο τῶν μοναχῶν, ἀγρίων* πειρασθῆναι δαιμόνων, καὶ τῆς αὐτῶν τέχνης ἕξιν λαβεῖν, τηρείτω τοὺς λογισμοὺς, καὶ τὰς ἐπιτάσεις σημειούσθω τούτων, καὶ τὰς ἀνέσεις, καὶ τὰς μεταπλοκὰς, καὶ τοὺς χρόνους, καὶ τίνες τῶν δαιμόνων οἱ ταῦτα ποιοῦντες, καὶ

* Al. πειρα-θῆναι

ποῖος ποίῳ δαίμονι ἀκολουθεῖ, καὶ τίς τίνι οὐχ ἕπεται, καὶ ζητείτω παρὰ Χριστοῦ τούτων τοὺς λόγους. πάνυ γὰρ χαλεπαίνουσιν ἐπὶ τοῖς γνωστικώτερον τὴν * ἀρετὴν μετιοῦσι, βουλόμενοι κατατοξεύειν ἐν σκοτομήνῃ τοὺς εὐθεῖς τῇ καρδίᾳ.

λβ. Δύο τῶν δαιμόνων ὀξυτάτους παρατηρήσας εὑρήσεις, καὶ σχεδὸν τὴν κίνησιν τοῦ νοὸς ἡμῶν παρατρέχοντας, τὸν δαίμονα τῆς πορνείας, καὶ τὸν συναρπάζοντα ἡμᾶς πρὸς βλασφημίαν *. ἀλλ' ὁ μὲν δεύτερος, ἐστὶν ὀλιγοχρόνιος, ὁ δὲ πρότερος εἰ μὴ μετὰ πάθους κινείη τοὺς λογισμοὺς, οὐκ ἐμποδίσει ἡμῖν πρὸς τὴν γνῶσιν * τοῦ θεοῦ.

λγ. Σῶμα μὲν χωρίσαι ψυχῆς, μόνου ἐστὶ τοῦ συνδήσαντος· ψυχὴν δὲ ἀπὸ σώματος, καὶ τοῦ ἐφιεμένου τῆς ἀρετῆς. τὴν γὰρ ἀναχώρησιν, μελέτην θανάτου καὶ φυγὴν τοῦ σώματος οἱ πατέρες ἡμῶν ὀνομάζουσιν.

λδ. Οἱ τὴν σάρκα κακῶς διατρέφοντες, καὶ πρόνοιαν αὐτῆς εἰς ἐπιθυμίας ποιούμενοι, ἑαυτοὺς μὴ ταύτην καταμεμφέσθωσαν. ἴσασι γὰρ τὴν χάριν τοῦ δημιουργοῦ, οἱ τὴν τῆς ψυχῆς ἀπάθειαν διὰ τοῦ σώματος τούτου κτησάμενοι, καὶ τῇ τῶν ὄντων θεωρίᾳ ποσῶς ἐπιβάλλοντες.

A qualis qualem dæmonem sequatur, quis verò quem non comitetur; atque à Christo postulet horum caussas & rationes. Admodum enim succensent iis qui virtutem *activam* gnostico magis modo excolunt; cupientes *sagittare in obscuro rectos corde.* * Al. πρακτικὴν Ps. x. 3.

XXXII. Duos è dæmonibus velocissimos observando reperies, tantumnon animi nostri motum prætercurrentes; dæmonem fornicationis, eumque B qui nos corripit ad blasphemiam: verùm posterior brevis est temporis; prior verò, nisi cum affectu moverit cogitationes, non arcebit nos à cognitione Dei. * Al. add. θεοῦ

XXXIII. Corpus quidem sejungere ab anima, illius solius est qui colligavit, animam verò à corpore, ad eum quoque pertinet qui virtutis desiderio tenetur. Solitariam enim vitam patres nostri meditatio- C nem mortis & corporis fugam nominant. * Al. inter. τὴν

XXXIV. Qui carnem malè enutriunt, ejusque curam faciunt in desideriis, de ipsis se non de illa conquerantur. Norunt nempe Creatoris gratiam, qui animæ impassibilitatem per hoc corpus adepti sunt, & rerum contemplationi aliquantum incumbunt. Rom. XIII. 14.

A

De impassibilitatis signis.

* Al. ἀπερισπάστως

xxxv. Ubi mens cœperit absque distractione precari, tunc circa partem animæ irascentem, omne nocte dieque committitur prælium.

xxxvi. Imperturbationis indicium est, animus qui incipit cernere jubar suum, & manet ad somni spectra tranquillus, resque æquabiliter aspicit.

* Al. λίαν

xxxvii. Robusta mens est, quæ nihil è rebus mundi hujus tempore orationis sibi repræsentat. B

xxxviii. Mens quæ ope Dei activam vitam rectè excoluit, & ad cognitionem prope accessit, parum aut nullatenus partem animæ irrationabilem sentit, cognitione sublimem ipsam rapiente, ac à sensibilibus separante.

xxxix. Anima indolentiam obtinet, non quæ rebus non afficitur, sed quæ ad rerum etiam reminiscentias imperturbata perseverat. C

xl. Qui perfectus est, propriè non dicitur continens, nec qui caret affectu, tolerans; quandoquidem affecti afflictique est tolerantia, & turbati, continentia.

Vit. Pet. v. xi. y. Monum. hac T. 1. p. 438. C.

xli. Magnum quidem est, sine distractione orare; sed majus est, psallere sine distractione.

* Al. τὸ δὲ

xlii. Qui virtutes in semetipso

Περὶ τῶν τῆς ἀπαθείας συμβόλων.

λε. Ὅταν ὁ νοῦς * ἀπερισπάστως ἄρξηται ποιεῖσθαι τὰς προσευχάς, τότε περὶ τὸ θυμικὸν μέρος τῆς ψυχῆς, νύκτωρ καὶ μεθημέραν ὁ πᾶς συνίσταται πόλεμος.

λϛ. Ἀπαθείας τεκμήριον, νοῦς ἀρξάμενος τὸ οἰκεῖον φέγγος ὁρᾷν, καὶ πρὸς τὰ καθ' ὕπνον φάσματα διαμένων ἥσυχος, καὶ * λείως βλέπων τὰ πράγματα.

λζ. Ἔρρωται νοῦς μηδὲν τῶν τοῦ κόσμου τούτου παρὰ τὸν καιρὸν τῆς προσευχῆς φανταζόμενος.

λη. Νοῦς σὺν θεῷ πρακτικὴν κατορθώσας, καὶ προσπελάσας τῇ γνώσει, ὀλίγον ἢ οὐδόλως τοῦ ἀλόγου μέρους τῆς ψυχῆς ἐπαισθάνεται, τῆς γνώσεως αὐτὸν ἁρπαζούσης μετάρσιον καὶ χωριζούσης τῶν αἰσθητῶν.

λθ. Ἀπάθειαν ἔχει ψυχή, οὐχ ἡ μὴ πάσχουσα πρὸς τὰ πράγματα, ἀλλ' ἡ καὶ πρὸς τὰς μνήμας αὐτῶν ἀτάραχος διαμένουσα.

μ. Ὁ τέλειος οὐκ ἐγκρατεύεται, καὶ ὁ ἀπαθὴς οὐχ ὑπομένει, εἴπερ τοῦ πάσχοντος ἡ ὑπομονή, καὶ τοῦ ὀχλουμένου ἡ ἐγκράτεια.

μα. Μέγα μὲν τὸ ἀπερισπάστως προσεύχεσθαι, μεῖζον δὲ * καὶ * τὸ ψάλλειν ἀπερισπάστως.

μβ. Ὁ τὰς ἀρετὰς ἐν ἑαυτῷ καθιδρύσας.

A καθιδρῦσαι, καὶ ταύταις ὅλος ἀνακραθεὶς, οὐκ ἔτι μέμνηται νόμου ἢ ἐντολῶν ἢ κολάσεως, ἀλλὰ ταῦτα λέγει καὶ πράττει ὁπόσα ἡ ἀρίστη ἕξις ὑπαγορεύει.

Θεωρήματα πρακτικά.

μγ. Αἱ μὲν δαιμονιώδεις ᾠδαὶ, τὴν ἐπιθυμίαν ἡμῶν κινοῦσι, καὶ εἰς αἰσχρὰς τὴν ψυχὴν φαντασίας ἐμβάλλουσιν· οἱ δὲ ψαλμοὶ καὶ οἱ ὕμνοι καὶ αἱ πνευματικαὶ ᾠδαὶ, εἰς μνήμην ἀεὶ τῆς ἀρετῆς τὸν νοῦν προσκαλοῦνται, περιζέοντα τὸν θυμὸν ἡμῶν καταψύχοντες, καὶ τὰς ἐπιθυμίας μαραίνοντες. B

μδ. Εἰ οἱ παλαίοντες ἐν τῷ θλίβεσθαι καὶ ἀντιθλίβειν εἰσὶ, παλαίουσι δὲ ἡμῖν οἱ δαίμονες, καὶ αὐτοὶ ἄρα θλίβοντες ἡμᾶς, ὑφ' ἡμῶν ἀντιθλίβονται. ἐκθλίψω * αὐτούς φησι, καὶ οὐ μὴ δύνωνται στῆναι. καὶ πάλιν· οἱ θλίβοντές με καὶ οἱ ἐχθροί μου, αὐτοὶ ἠσθένησαν καὶ ἔπεσον.

με. Ἀνάπαυσις μὲν τῇ σοφίᾳ, κόπος δὲ τῇ φρονήσει συνέζευκται. C οὐκ ἔστι γὰρ σοφίαν κτήσασθαι ἄνευ πολέμου, καὶ οὐκ ἔστι κατορθῶσαι τὸν πόλεμον χωρὶς φρονήσεως. αὕτη γὰρ ἀνθίστασθαι τῷ θυμῷ, τῷ τῶν δαιμόνων πεπίστευται, τὰς τῆς ψυχῆς δυνάμεις κατὰ φύσιν ἐνεργεῖν ἀναγκάζουσα, καὶ τὴν ὁδὸν τῆς σοφίας προευτρεπίζουσα.

μϛ. Πειρασμός ἐστι μοναχοῦ, λογισμὸς διὰ τοῦ παθητικοῦ μέρους τῆς ψυχῆς ἀναβὰς καὶ σκοτίζων τὸν νοῦν.

collocavit; iisque totus commistus est, non amplius legis meminit, vel præceptorum, vel supplicii; sed ea dicit & facit, quæcumque optimus suggerit habitus.

Theoremata practica.

XLIII. Dæmonica cantica cupiditatem nostram cient, animamque in fœdas imaginationes injiciunt: contrà Psalmi & hymni, & cantica spiritalia, semper ad recordationem virtutis provocant, ferventem animum nostrum refrigerant, ac desideria exstinguunt.

XLIV. Si luctatorum est, elidi & vicissim elidere, nobiscum autem luctantur dæmones, ipsi ergo atterentes nos, à nobis contrà atteruntur. *Confringam illos*, inquit, *nec poterunt stare.* Ac iterum; *Qui tribulant me & inimici mei, ipsi infirmati sunt & ceciderunt.*

Ps. XVII. 39.
*Al. insert. γάρ.
Ps. XXVI. 2.

XLV. Requies cum sapientia, & labor cum prudentia conjunctus est. Non datur enim sapientiam consequi sine bello, nec licet bellum præclarè gerere absque prudentia. Huic namque commissum est, uti dæmonum efferato animo resistat, dum animæ facultates cogit ad operationes naturæ consentaneas, & sapientiæ viam præparat.

XLVI. Tentatio Monachi est, cogitatio per animæ partem patibilem ascendens ac mentem tenebris obducens.

XLVII. Peccatum est Monachi, consensus cogitationis ad illicitam voluptatem. A

μζ. Ἁμαρτία ἐστὶ μοναχοῦ, ἡ πρὸς τὴν ἀπηγορευμένην ἡδονὴν τοῦ λογισμοῦ συγκατάθεσις.

XLVIII. Angeli gaudent, quoties vitium minuitur; dæmones, quoties virtus. Illi enim misericordiæ & caritatis sunt famuli, hi verò, iræ ac odii servi. Et primi quidem cùm accedunt, spiritali nos replent contemplatione; secundi autem dum appropinquant, animam in turpes conjiciunt imagines.

μη. Ἄγγελοι μὲν χαίρουσι μειουμένης κακίας, δαίμονες δὲ, τῆς ἀρετῆς. οἱ μὲν γάρ εἰσιν ἐλέους καὶ ἀγάπης θεράποντες, οἱ δὲ ὀργῆς καὶ μίσους ὑπήκοοι· καὶ οἱ μὲν πρότεροι πλησιάζοντες, πνευματικῆς θεωρίας ἡμᾶς πληροῦσιν, οἱ δὲ δεύτεροι προσεγγίζοντες, εἰς αἰσχρὰς τὴν ψυχὴν φαντασίας ἐμβάλλουσιν.

XLIX. Virtutes non quidem insultus dæmonum inhibent, sed nos innoxios conservant. B

μθ. Αἱ ἀρεταὶ οὐ τὰς τῶν δαιμόνων ὁρμὰς ἀνακόπτουσιν, ἀλλ' ἡμᾶς ἀθώους διαφυλάττουσιν.

L. Practica est, spiritualis methodus, quæ animæ partem circa affectus versantem expurgat.

ν. Πρακτική ἐστι, μέθοδος πνευματική, τὸ παθητικὸν μέρος τῆς ψυχῆς ἐκκαθαίρουσα.

LI. Non sufficiunt mandata effectui tradita, ad perfectè sanandas animæ facultates, nisi & convenientes ipsis contemplationes menti succedant.

να. Οὐκ ἀρκοῦσιν αἱ ἐνέργειαι τῶν ἐντολῶν πρὸς τὸ τελείως ἰάσασθαι τὰς δυνάμεις τῆς ψυχῆς, ἐὰν μὴ καὶ κατάλληλοι ταύταις διαδέξωνται τὸν νοῦν θεωρίαι.

LII. Non omnibus quidem cogitationibus nobis per angelos immissis resistere possibile est, sed fieri potest ut cunctas à dæmonibus suggestas cogitationes evertamus: sequitur autem priores illas pacatus status, posteriores turbatus. C

νβ. Οὐ πᾶσι μὲν τοῖς ὑπ' ἀγγέλων λογισμοῖς ἡμῖν ἐμβαλλομένοις δυνατὸν ἀντιστῆναι, πάντας δὲ τοὺς ὑπὸ δαιμόνων λογισμοὺς δυνατὸν ἀνατρέψαι· ἕπεται δὲ τοῖς μὲν προτέροις λογισμοῖς εἰρηνικὴ κατάστασις, τοῖς δὲ δευτέροις τεταραγμένη.

* Al. ἔγγονον

LIII. Impassibilitatis proles caritas: est autem impassibilitas, Practicæ flos; & Practicam constituit, observatio præceptorum; horum custos, Dei timor, qui rectæ fidei fœtus est. Porrò fides est

νγ. Ἀπαθείας * ἔκγονον ἀγάπη· ἀπάθεια δέ ἐστιν ἄνθος τῆς πρακτικῆς· πρακτικὴν δὲ συνίστησιν ἡ τήρησις τῶν ἐντολῶν· τούτων δὲ φύλαξ ὁ φόβος τοῦ Θεοῦ, ὅστις γέννημα τῆς ὀρθῆς ἐστὶ πίστεως· πίστις δέ ἐστιν

ἐνδιάθετον ἀγαθὸν, ἥτις ἐνυπάρχειν πέφυκε καὶ τοῖς μηδέπω πεπιστευκόσι θεῷ.

νδ. Ὥσπερ ἐνεργοῦσα διὰ τοῦ σώματος ἡ ψυχὴ, τῶν ἀσθενούντων μελῶν ἐπαισθάνεται, οὕτως ἐνεργῶν καὶ ὁ νοῦς τὴν οἰκείαν ἐνέργειαν, τάς τε δυνάμεις ἐπιγινώσκει τὰς ἑαυτοῦ, καὶ διὰ τῆς ἐμποδιζούσης αὐτῷ, τὴν θεραπευτικὴν * αὐταῖς ἐντολὴν ἐφευρίσκει.

νε. Ὁ νοῦς τὸν ἐμπαθῆ πόλεμον πολεμῶν, οὐ θεωρήσει τοὺς * λογισμοὺς τοῦ πολέμου· τῷ γὰρ ἐν νυκτὶ μαχομένῳ προσέοικεν· ἀπάθειαν δὲ κτησάμενος, ῥᾳδίως ἐπιγνώσεται τὰς μεθοδείας τῶν πολεμίων.

νϛ. Πέρας μὲν πρακτικῆς, ἀγάπη, γνώσεως δὲ θεολογία· ἀρχαὶ δὲ ἑκατέρων, πίστις καὶ φυσικὴ θεωρία. καὶ ὅσοι μὲν τῶν δαιμόνων τοῦ παθητικοῦ μέρους ἐφάπτονται τῆς ψυχῆς, οὗτοι λέγονται ἀντικεῖσθαι τῇ πρακτικῇ· ὅσοι δ' αὖ τῷ λογιστικῷ διοχλοῦσιν, ἐχθροὶ πάσης ἀληθείας ὀνομάζονται, καὶ ἐναντίοι τῇ θεωρίᾳ.

νζ. Οὐδὲν τῶν καθαιρόντων τὰ σώματα, σύνεστι μετὰ τοῦτο τοῖς καθαρθεῖσιν· αἱ δὲ ἀρεταί, ὁμοῦ τε καθαίρουσι τὴν ψυχὴν, καὶ καθαρθείσῃ συμπαραμένουσιν.

νη. Κατὰ φύσιν ἐνεργεῖ λογικὴ ψυχὴ, ὅταν τὸ μὲν ἐπιθυμητικὸν αὐτῆς μέρος τῆς ἀρετῆς ἐφίεται, τὸ δὲ θυμικὸν

internum animi bonum, & inesse solet iis quoque qui Deo nondum crediderunt.

LIV. Quemadmodum anima instrumento corporis operans, infirma membra intelligit; sic & mens proprium exerens effectum, suas recognoscit facultates, ac per eam quæ impedimento ei est, quod ipsis sanitatem procurat adinvenit præceptum.

* Al. αὐτῆς

LV. Animus qui bello occupatur affectuum, belli non spectabit rationes. Est enim similis nocturno pugnatori. Cùm verò consecutus fuerit imperturbationem, facilè hostium agnoscet insidias.

* Al. λόγους

LVI. Activæ exercitationis terminus est caritas, cognitionis verò rectus de Deo sermo; ambarum autem principia fides & naturalis contemplatio. Adhæc qui dæmones eam animæ partem adoriunturquâ perturbationibus afficimur, dicuntur illi opponi activæ vitæ; at enim qui parti ratiocinatrici molestiam afferunt, omnis veritatis inimici nominãtur, atque contemplationis adversarii.

LVII. Nihil eorum quæ purgant corpora, remanet postea cum purgatis; at virtutes simul & purificant animam, & cum purificata commorantur.

LVIII. Secundùm naturam operatur anima rationalis, quando tum pars illius quâ concupiscit, virtutem appetit, tum pars quâ irascitur, pro eadem virtute

Doroth. Doctr. 13.

decertat, tum denique pars qua ratiocinatur, in creaturarum incumbit contemplationem.

LIX. Qui in activo exercitio progressum facit, vitia affectusque imminuit; qui autem in contemplatione, ignorantiam: & priorum quidem erit aliquando absoluta destructio; ignorationis verò, alterius aiunt finem fore, alterius nequaquam.

LX. Quæ in usu sunt bona & mala, virtutum & vitiorum sunt efficientia: ad prudentiam deinceps spectat iis uti ad utraque.

Theodor. Edess. c. 19.

LXI. Cæterùm cùm anima rationalis, juxta sapientem nostrum præceptorem, tribus partibus constet, si virtus occupaverit partem ratiocinantem, vocatur prudentia & intelligentia & sapientia; si concupiscentem, temperantia & caritas & continentia; si irascentem, fortitudo & patientia; si totam animam, justitia. Et prudentiæ quidem incumbit, contra adversarias potestates exercitum ducere, virtutes propugnare, impugnare vitia, & quæ media sunt, pro tempore administrare; intelligentiæ verò est, cuncta conducentia nos ad propositum, aptè disponere; at sapientiæ, contemplari rationes corporum & rerum incorporearum. Jam temperantiæ interest, aspicere citra affectum res quæ in nobis imagines concitant

A ὑπὲρ αὐτῆς ἀγωνίζεται, τὸ δὲ λογιστικὸν ἐπιβάλλει τῇ θεωρίᾳ τῶν γεγονότων.

νθ. Ὁ μὲν προκόπτων ἐν πρακτικῇ, τὰ πάθη μειοῖ, ὁ δὲ ἐν θεωρίᾳ, τὴν ἀγνωσίαν· καὶ τῶν μὲν παθῶν, ἔσται ποτὲ καὶ φθορὰ παντελής, τῆς δὲ ἀγνωσίας, τῆς μὲν εἶναι πέρας, τῆς δὲ μὴ εἶναί φασι.

ξ. Τὰ παρὰ τὴν χρῆσιν ἀγαθὰ καὶ B κακά, τῶν ἀρετῶν καὶ τῶν κακιῶν γίνεται ποιητικά· φρονήσεως δὲ ἐπὶ λοιπόν, τὸ χρήσασθαι τούτοις πρὸς θάτερα.

ξα. Τριμεροῦς δὲ τῆς λογικῆς ψυχῆς οὔσης κατὰ τὸν σοφὸν ἡμῶν διδάσκαλον, ὅταν μὲν ἐν τῷ λογιστικῷ μέρει γένηται ἡ ἀρετή, καλεῖται φρόνησις καὶ σύνεσις καὶ σοφία· ὅταν δὲ ἐν τῷ ἐπιθυμητικῷ, σωφροσύνη καὶ ἀγάπη καὶ ἐγκράτεια· ὅταν δὲ ἐν τῷ θυμικῷ, ἀνδρεία καὶ ὑπομονή· ἐν ὅλῃ δὲ τῇ C ψυχῇ, δικαιοσύνη. καὶ φρονήσεως μὲν ἔργον, τὸ στρατηγεῖν πρὸς τὰς ἀντικειμένας δυνάμεις, καὶ τὰς μὲν ἀρετὰς ὑπερασπίζειν, πρὸς δὲ τὰς κακίας παρατάττεσθαι, τὰ δὲ μέσα πρὸς τοὺς καιροὺς διοικεῖν· συνέσεως δέ, τὸ πάντα τὰ συντελοῦντα ἡμῖν πρὸς τὸν σκοπόν, ἁρμοδίως οἰκονομεῖν· σοφίας δέ, τὸ θεωρεῖν λόγους σωμάτων καὶ ἀσωμάτων· σωφροσύνης δὲ ἔργον, τὸ βλέπειν ἀπαθῶς τὰ πράγματα, τὰ κινοῦντα ἐν ἡμῖν

φαντασίας ἀλόγους· ἀγάπης δὲ, τὸ πάσῃ εἰκόνι τοῦ θεοῦ τοιαύτην ἑαυτὴν ἐμπαρέχειν, οἵαν καὶ τῷ πρωτοτύπῳ σχεδὸν, κἂν μιαίνειν αὐτὰς ἐπιχειρῶσιν οἱ δαίμονες· ἐγκρατείας δὲ, τὸ πᾶσαν ἡδονὴν τῆς φάρυγγος μετὰ χαρᾶς ἀποσείεσθαι· μὴ δεδιέναι δὲ τοὺς πολεμίους, καὶ προθύμως ἐγκαρτερεῖν τοῖς δεινοῖς, τῆς ὑπομονῆς καὶ τῆς ἀνδρείας ἐστί· δικαιοσύνης δὲ, τὸ συμφωνίαν τινὰ καὶ ἁρμονίαν τῶν τῆς ψυχῆς * μελῶν κατεργάζεσθαι.

ξβ. Καρπὸς μὲν σπερμάτων, τὰ δράγματα, ἀρετῶν δὲ ἡ γνῶσις· καὶ ὡς ἕπεται τοῖς σπέρμασι δάκρυα, οὕτω τοῖς δράγμασιν ἡ χαρά.

ξγ. Οὐκ ἂν ἀπόθοιτο τὰς ἐμπαθεῖς μνήμας ὁ ἄνθρωπος, μὴ ἐπιθυμίας καὶ θυμοῦ ἐπιμέλειαν ποιησάμενος, τὴν μὲν, νηστείαις καὶ ἀγρυπνίαις καὶ χαμευνίαις καταναλώσας, τὸν δὲ μακροθυμίαις καὶ ἀμνησικακίαις καὶ ἐλεημοσύναις καθημερώσας. ἐκ γὰρ τῶν δύο τούτων παθῶν, πάντες οἱ δαιμονιώδεις σχεδὸν συνίστανται λογισμοί, οἱ τὸν νοῦν ἐμβάλλοντες εἰς ὄλεθρον καὶ ἀπώλειαν. ἀδύνατον δὲ τῶν παθῶν τούτων περιγενέσθαι, μὴ παντελῶς βρωμάτων καὶ * πομάτων καὶ δόξης ὑπεριδόντα, ἔτι δὲ καὶ τοῦ ἰδίου σώματος, διὰ τοὺς ῥαπίζειν * αὐτὸν πολλάκις ἐπιχειροῦντας. πᾶσα οὖν ἀνάγκη μιμεῖσθαι τοὺς κινδυνεύοντας ἐν τῇ θαλάσσῃ καὶ τῶν σκευῶν ἐκβολὴν ποιουμένους, διὰ τὴν βίαν τῶν ἀνέμων καὶ τῶν ἐπανισταμένων

A rationi adversas: caritatis autem, omni imagini Dei talem se exhibere, qualem ferè & prototypo, licèt eas conentur dæmones inquinare; continentiæ verò, universam gulæ voluptatem lætè abjicere. At hostes nullatenus timere, & alacriter molesta tolerare, effectus sunt patientiæ & fortitudinis. Denique ad justitiam pertinet, concentum & harmoniam animæ partium conficere.

* Al. μερῶν

B LXII. Fructus seminum, manipuli sunt: virtutis, cognitio; & sicut semina comitantur lacrymæ, ita manipulos gaudium.

Ps. cxxv. 6.

LXIII. Non deposuerit homo recordationes affectuum effectrices, qui cupiditatis & iræ curam non gesserit, illam jejuniis, vigilus, humicubationibus consumens; hanc æquanimitatibus, injuriæ oblivionibus ac eleemosynis deliniens. Ex his enim duobus affectibus, C cunctæ ferè constant dæmoniacæ cogitationes, quæ mentem in perditionem ac interitum præcipitant. Fieri porrò nequit, ut superet quis hosce affectus, nisi omni ex parte cibos, opes, gloriam despiciat, insuperque corpus suum, propter illos qui percutere ipsum tentant sæpenumero. Necesse igitur planè est imitari homines qui in mari periclitantur, & armamenta ejiciunt propter vim ventorum & insurgentium

In Nili Opusculis p. 514.

* Al. χρημάτων

* In Nilo αὐτῷ

fluctuum. Verùm hic diligenter attendi debet, ne dum sarcinam projicimus, ideò faciamus, ut ab hominibus spectemur: nam recipimus mercedem nostram, & novum piori acerbius excipiet nos naufragium, contrà flante dæmone inanis gloriæ. Quocirca Dominus noster, gubernatorem animum erudiendo in Evangeliis ait; *Attendite ne eleemosynam vestram faciatis coram hominibus, ut videamini ab eis; alioquin mercedem non habebitis apud patrem vestrum, qui in cœlis est.* Et iterum, *Cùm oratis* inquit *non eritis sicut hypocritæ, quia amant in synagogis & plateis stantes orare, ut videantur ab hominibus. Amen dico vobis, receperunt mercedem suam.* Et rursus ait; *Cùm autem jejunatis, nolite esse sicut hypocritæ tristes: exterminant enim facies suas, ut appareant hominibus jejunantes. Amen dico vobis, receperunt mercedem suam.* Sed considerandum hoc in loco est, quo pacto medicus animarum, per eleemosynam iram curet, ac per orationem mentem emundet, demumque per jejunium vigorem cupiditatis frangat; ex quibus componitur *novus homo, qui renovatur secundùm imaginem ejus, qui creavit illum;* in quo *non est* ob impassibilitatem *masculus & femina*, neque propter unam fidem & caritatem *Gentilis & Judæus*,

* Al. διαδέξεται

Matt. vi. 1. 5. 16.

* Al. αὐτοῖς

* Nil. ὑμῶν

* Al. προσεύχησθε

* abest à Nilo.

* Nil. γωνίαις τῶν πλατειῶν

Coloss. iii. 10. 11.

Gal. iii. 28.

A κυμάτων. ἀλλ' ἐνταῦθα προσεκτέον ἀκριβῶς, μὴ ἐκβολὴν ποιούμενοι τῶν σκευῶν, πρὸς τὸ θεαθῆναι τοῖς ἀνθρώποις ποιήσωμεν. ἐπεὶ ἀπέχομεν τὸν μισθὸν ἑαυτῶν, καὶ ἄλλο χαλεπώτερον τοῦ προτέρου * διαδέξεται ἡμᾶς ναυάγιον, τοῦ τῆς κενοδοξίας ἀντιπνεύσαντος δαίμονος. διὸ καὶ ὁ κύριος ἡμῶν ἐν τοῖς εὐαγγελίοις τὸν κυβερνήτην νοῦν παιδεύων φησίν· προσέχετε τὴν ἐλεημοσύνην ὑμῶν μὴ ποιεῖν ἔμπροσθεν τῶν ἀνθρώπων, πρὸς τὸ θεαθῆναι B * αὐτούς· εἰ δὲ μήγε, μισθὸν οὐκ ἔχετε παρὰ τῷ πατρὶ * ἡμῶν τῷ ἐν τοῖς οὐρανοῖς. καὶ πάλιν· ὅταν * προσεύχησθε, φησὶν, οὐκ ἔσεσθε ὥσπερ οἱ ὑποκριταὶ * ποιοῦσι, ὅτι φιλοῦσιν ἐν ταῖς συναγωγαῖς καὶ ἐν ταῖς * πλατείαις ἑστῶτες προσεύχεσθαι, ὅπως φανῶσι τοῖς ἀνθρώποις. ἀμὴν λέγω ὑμῖν· ἀπέχουσι τὸν μισθὸν αὐτῶν. καὶ πάλιν λέγει· ὅταν δὲ νηστεύητε, μὴ ἔσεσθε ὥσπερ οἱ ὑποκριταὶ σκυθρωποί· ἀφανίζουσι γὰρ τὰ πρόσωπα αὐτῶν, ὅπως φανῶσι C τοῖς ἀνθρώποις νηστεύοντες. ἀμὴν λέγω ὑμῖν· ἀπέχουσι τὸν μισθὸν αὐτῶν. ἀλλὰ προσεκτέον ἐνταῦθα τῷ ἰατρῷ τῶν ψυχῶν, πῶς διὰ μὲν τῆς ἐλεημοσύνης τὸν θυμὸν θεραπεύει, διὰ δὲ τῆς προσευχῆς τὸν νοῦν καθαρίζει· καὶ πάλιν διὰ τῆς νηστείας τὴν ἐπιθυμίαν καταμαραίνει· ἐξ ὧν συνίσταται ὁ νέος ἄνθρωπος, ὁ ἀνακαινούμενος κατ' εἰκόνα τοῦ κτίσαντος αὐτὸν, ἐν ᾧ οὐκ ἔνι διὰ τὴν ἀπάθειαν ἄρσεν καὶ θῆλυ, οὐδὲ διὰ τὴν μίαν πίστιν καὶ ἀγάπην Ἕλλην καὶ Ἰουδαῖος,

περιτομὴ καὶ ἀκροβυστία, βάρβαρος A * καὶ Σκύθης, δοῦλος καὶ ἐλεύθερος, ἀλλὰ πάντα καὶ ἐν πᾶσι Χριστός.

ξδ. * Οἱ ἀκάθαρτοι λογισμοὶ διὰ τὰ πάθη χρονίζοντες ἐν ἡμῖν, κατάγουσι τὸν νοῦν εἰς ὄλεθρον καὶ ἀπώλειαν. ὥσπερ γὰρ τὸ νόημα τοῦ ἄρτου χρονίζει ἐν τῷ πεινῶντι, διὰ τὴν πεῖναν, καὶ τὸ νόημα τοῦ ὕδατος ἐν τῷ διψῶντι, διὰ τὴν δίψαν· οὕτω καὶ τὰ νοήματα τῶν χρημάτων καὶ κτημάτων χρονίζει διὰ τὴν πλεονεξίαν, καὶ τὰ νοήματα τῶν βρωμάτων B καὶ τῶν τικτομένων αἰσχρῶν λογισμῶν ἐκ τῶν βρωμάτων, χρονίζει διὰ τὰ πάθη. ἀλλὰ καὶ ἐπὶ τῶν τῆς κενοδοξίας λογισμῶν καὶ ἐπὶ τῶν ἄλλων νοημάτων, ὁμοίως φανερωθήσεται. οὐκ ἔστι δὲ νοῦν πνιγόμενον ὑπὸ τῶν τοιούτων νοημάτων, παραστῆναι θεῷ, καὶ τὸν τῆς δικαιοσύνης ἀναδήσασθαι στέφανον. ἐκ τούτων γὰρ τῶν λογισμῶν κατασπώμενος ὁ ἐν τοῖς εὐαγγελίοις ἐκεῖνος ὁ ταλαίπωρος νοῦς, τὸ τῆς γνώσεως τοῦ θεοῦ ἄριστον παρῃτήσατο. καὶ πάλιν ὁ δεσ- C μούμενος χεῖρας καὶ πόδας καὶ εἰς τὸ ἐξώτερον σκότος βαλλόμενος, ἐκ τούτων τῶν λογισμῶν εἶχε καθυφασμένον τὸ ἔνδυμα, ὅνπερ οὐκ ἄξιον τῶν τοιούτων γάμων ὁ καλέσας ἀπεφήνατο. διὸ ἔνδυμά ἐστι γαμικὸν, ἀπάθεια ψυχῆς λογικῆς, κοσμικὰς ἀρνησαμένης ἐπιθυμίας. τίς δὲ ἡ αἰτία τοῦ τὰ νοήματα τῶν αἰσθητῶν πραγμάτων χρονίζοντα διαφθείρειν τὴν γνῶσιν, ἐν τοῖς περὶ προσευχῆς κεφαλαίοις * λεχθήσεται.

circumcisio & preputium, Barbarus & Scytha, servus & liber: sed omnia & in omnibus Christus. * Abest ab al.

LXIV. Impuræ cogitationes dum ob affectus in nobis diu permanent, mentem in interitum & perditionem deducunt. Ut enim notio panis perseverat in eo qui esurit, propter famem, & notio aquæ in sitiente, ob sitim; ita etiam pecuniarum possessionumque notiones permanent avaritiæ ergo, & notiones ciborum, turpiumque cogitatorum quæ ex dapibus oriuntur, diu remanent affectuum caussâ. Sed & in cogitationibus vanæ gloriæ itemque reliquis, pari modo apparebit. Non conceditur autem menti talibus cogitatis suffocatæ, ut adsistat coram Deo, ac justitiæ reportet coronam. Iis quippe cogitationibus distracta misertima illa in Evangeliis mens, cognitionis Dei prandium recusavit. Adhucque qui ligatus fuit manibus & pedibus, atque in tenebras exteriores missus, ex istiusmodi cogitationibus vestem habuit contextam, quem non dignum esse talibus nuptiis, qui vocaverat pronunciavit. Idcirco vestis nuptialis est, impassibilitas animæ rationalis, quæ mundi cupiditates abnegavit. Cæterùm quæ caussa sit, ut rerum sensibilium notiones, quamdiu durant, corrumpant cognitionem, in capitibus de oratione dicetur.

* Al. prap. Πάντως δὲ Nil. ibid. p. 516.

Matt. XXII. v. 13. 12.

* In Nilo ἀρηται

LXV. A dæmonibus immissæ cogitationi tres opponuntur cogitationes, quæ amputant eam quando in mente perdurat; illa quæ ab angelis suppeditatur, illa quæ ex nostra voluntate oritur in melius propendente, & illa quam humana natura largitur, & juxta quam excitati etiam Ethnici, diligunt liberos suos, ac parentes suos honorant. At verò bonæ cogitationi duo tantùm obsistunt cogitata; dæmoniacum, quodque à libero nostro procedit arbitrio, ubi ad malum declinat. Nam ex natura cogitatio nulla mala egreditur. Quia principiò mali conditi non fuimus; quinimo *bonum semen seminavit* Dominus *in agro suo*. Neque enim quidquid recipere valemus, hujus planè habemus & facultatem; quandoquidem qui non esse possumus, non exsistendi facultatem non habemus. nempe facultates qualitates sunt; quod autem non est, qualitas non est. Etenim fuit cùm malitia non esset, eritque cùm nec erit. Virtutis certè semina deleri nequeunt. quod & mihi suadet dives ille Evangelicus, qui in Inferno damnatus, fratres miserabatur; siquidem commiseratio pulcerrimum exsistit virtutis semen.

Matt. XIII. 24.

Luc. XVI. 28.

LXVI. Nonnulli sunt ex immundis dæmonibus, qui legentibus semper assident, conanturque mentem eorum

ξε. Τῷ δαιμονιώδει λογισμῷ τρεῖς ἀντίκεινται λογισμοί, τέμνοντες αὐτὸν ἐν τῇ διανοίᾳ χρονίζοντα, ὅ τε ἀγγελικὸς, καὶ ὁ ἐκ τῆς ἡμετέρας προαιρέσεως ῥεπούσης ἐπὶ τὸ κρεῖττον, καὶ ὁ ἐκ τῆς ἀνθρωπίνης ἀναδιδόμενος φύσεως, καθ' ὃν κινούμενοι καὶ ἐθνικοὶ, ἀγαπῶσι τὰ ἴδια τέκνα, καὶ τοὺς ἑαυτῶν τιμῶσι γονεῖς. τῷ δὲ ἀγαθῷ λογισμῷ δύο μόνον ἀντίκεινται λογισμοί, ὅ τε δαιμονιώδης, καὶ ὁ ἐκ τῆς ἡμετέρας προαιρέσεως ἀποκλινούσης ἐπὶ τὸ χεῖρον. ἐκ δὲ τῆς φύσεως οὐδεὶς ἐξέρχεται λογισμὸς πονηρός. οὐ γὰρ ἀπ' ἀρχῆς γεγόναμεν πονηροὶ, εἴπερ καλὸν σπέρμα ἔσπειρεν ὁ κύριος ἐν τῷ ἰδίῳ ἀγρῷ. οὐ γὰρ εἴ τινος δεκτικοί ἐσμεν, τούτου πάντως καὶ τὴν δύναμιν ἔχομεν· ἐπεὶ καὶ μὴ εἶναι δυνάμενοι, τοῦ μὴ ὄντος οὐκ ἔχομεν δύναμιν, εἴπερ αἱ δυνάμεις ποιότητές εἰσι, τὸ δὲ μὴ ὂν οὐκ ἔστι ποιότης. ἦν γὰρ ὅτε οὐκ ἦν κακία, καὶ ἔσται ὅτε οὐκ ἔσται. ἀνεξάλειπτα γὰρ τὰ σπέρματα τῆς ἀρετῆς. πείθει δέ με καὶ ὁ πλούσιος ἐκεῖνος ἐν τοῖς εὐαγγελίοις, κατὰ τὸν ᾅδην κρινόμενος, καὶ οἰκτείρων τοὺς ἀδελφοὺς, τὸ δὲ ἐλεεῖν, σπέρμα τυγχάνει τὸ κάλλιστον τῆς ἀρετῆς.

ξϛ. Εἰσί τινες τῶν ἀκαθάρτων δαίμονες, οἵ τινες ἀεὶ τοῖς ἀναγινώσκουσι προσκαθέζονται, καὶ τὸν νοῦν αὐτῶν ἁρπάζειν ἐπιχειροῦσι.

ἐπιχειροῦσι, πολλάκις καὶ ἀπ' αὐτῶν τῶν θείων γραφῶν λαμβάνοντες ἀφορμὰς, καὶ εἰς λογισμοὺς πονηροὺς καταλήγοντες, ἔστι δ' ὅτε καὶ παρὰ τὴν συνήθειαν χασμᾶσθαι καταναγκάζοντες, καὶ ὕπνον βαρύτατον ἐπιβάλλοντες, πολὺ τῆς συνήθους ἀλλότριον· ὡς μέν τινες τῶν ἀδελφῶν ἐφαντάσθησαν, κατὰ φυσικὴν ἀντίθεσιν ἄρρητον, οὕτω δὲ ἐγὼ παρατηρήσας πολλάκις, κατέμαθον· ἐφαπτόμενοι τῶν βλεφάρων καὶ ὅλης τῆς κεφαλῆς, καὶ ταύτην τῷ οἰκείῳ σώματι καταψύχοντες· ψυχρὰ γὰρ λίαν τὰ τῶν δαιμόνων σώματα, καὶ κρυστάλλῳ παρεμφερῆ· ὅθεν καὶ ὡς ὑπὸ σικύας αἰσθανόμεθα τῆς κεφαλῆς ἑλκομένης μετὰ τρισμοῦ. τοῦτο δὲ ποιοῦσιν, ἵνα τὴν ἐναποκειμένην τῷ κρανίῳ θερμότητα πρὸς ἑαυτοὺς ἐπισπώμενοι, ὑπὸ τῆς ὑγρότητος λοιπὸν καὶ ψυχρότητος χαλασθέντα τὰ βλέφαρα, περιῤῥυῇ ταῖς κόραις τῶν ὀφθαλμῶν. πολλάκις γοῦν ψηλαφήσας, κατέλαβον δίκην κρυστάλλου πεπηγότα τὰ βλέφαρα, τὴν δὲ ὄψιν νενεκρωμένην ὅλην καὶ φρίσσουσαν. καίτοι ὁ φυσικὸς ὕπνος θερμαίνειν μὲν τὰ σώματα πέφυκε, καὶ τῶν ὑγιαινόντων τὰς ὄψεις ἀνθηρὰς ἀπεργάζεται· ὡς ἔστι καὶ ἀπ' αὐτῆς τῆς πείρας μαθεῖν· τὰς δὲ παρὰ φύσιν καὶ διαπεταμένας χάσμα ποιοῦσι, λεπτύνοντες ἑαυτοὺς, καὶ τῶν ἔνδον τοῦ στόματος ἐφαπτόμενοι. ἀλλὰ τοῦτο μὲν ἐγὼ μέχρι τῆς σήμερον οὐκ ἐνόησα, καίτοι πολλάκις αὐτὸ πεπονθώς· τοῦ δὲ ἁγίου Μακαρίου ἤκουσα τοῦτό μοι

A abripere, sumptâ sæpenumero occasione ex ipsis divinis scripturis, & in prava cogitata desinentes: interdum etiam contra morem oscitare cogunt, atque gravissimum somnum immittunt, plurimum à consueto diversum, & ut quidam fratrum imaginatione complexi sunt, juxta oppositionem naturalem ineffabilem; quod ego cùm frequenter observassem, comperi; capessunt palpebras cum toto capite, idque proprio corpore frigefactant: ad-
B modum quippe frigida sunt dæmonum corpora, & crystallo similia: unde & caput sentimus velut à cucurbita medicorum attractum cum stridore. Hoc autem faciunt, ut insitum cranio calorem ad ipsos se pertrahendo, palpebræ postea per humorem ac frigus relaxatæ, circumfluant ad pupillas oculorum. Sæpe igitur
C ubi contrectavi, palpebras nactus sum instar crystalli compactas, totamque faciem mortuæ similem & horridam; attamen somnus naturalis corpora calefacit, sanorumque vultus nitidos reddit, ut ipsâ quoque discimus experientiâ. Sed illi ex ore non naturaliter composito, at nimium distento oscitationem faciunt, attenuantes se ac interiora oris occcupantes. Verumtamen hucusque ego hoc non intellexi, licèt persæpe passus sim; ast sanctum Macarium audivi de hoc mihi

loqui, atque ad probationem A
afferebat consuetudinem oscitā-
tium, os suum muniendi signo
crucis, juxta traditionem anti-
quam arcanam. Cæterùm hæc
omnia patimur, quia lectioni
non attendimus vigilanter,
neque memores sumus sancta
Dei viventis eloquia nos legere.

LXVII. Quoniam autem
sunt & dæmonum successio-
nes, quando primus in bello
deficit, nec amicum affectum
commovere valet; his obser-
vatis reperimus ad hunc mo- B
dum; cùm alicujus affectûs per
multum tempus raræ incurre-
rint cogitationes, si subitò
contingat illum fervere ac mo-
veri, nec ullam ex negligentia
præbuerimus occasionem; tunc
cognoscimus, dæmonem priori
molestiorem successisse & ac-
cessisse ad nos, qui fugientis lo-
cum servans, suâ malitiâ sup-
plevit. Quinetiam hic summam
habet animæ nostræ notitiam,
quòd multò vehementiùs præ-
ter consuetudinem oppugne- C
tur, & à cogitationibus heri
dieque anteriori suggestis re-
pentè exciderit, nullâ tamen
ingruente exteriùs caussâ. Con-
fugiat ergo ad Dominum,
quoties hæc viderit mens,
Eph vi galeam salutis assumat, & in-
17. 14. duta lorica justitiæ, gladium
16. spiritûs educens, scutoque fi-
dei allevato, postqnam in
sinum cum lacrymis suspexe-
Ps. rit cœlum, dicat; *Domine*
cxxx.x. Christe, *virtus salutis meæ*;
8.

A λελαληκότος, καὶ εἰς ἀπόδειξιν φέροντος, τὸ σφραγίζειν τοῖς χασμωμένοις τὸ στόμα, κατὰ ἀρχαίαν παράδοσιν ἄρρητον. ταῦτα δὲ πάντα πάσχομεν, διὰ τὸ μὴ προσέχειν νηφόντως ἡμᾶς τῇ ἀναγνώσει, μὴ δὲ μεμνῆσθαι ὅτι λόγια ἅγια θεοῦ ζῶντος ἀναγινώσκομεν.

ξζ. Ἐπειδὴ δὲ γίνονται καὶ διαδοχαὶ τῶν δαιμόνων, τοῦ πρώτου κατὰ τὸν πόλεμον ἀσθενήσαντος, καὶ τὸ προσφιλὲς αὐτῷ πάθος κινῆσαι μὴ δυναμένου, ταύτας
B παρατηρήσαντες, εὑρίσκομεν οὕτως· ὅταν πάθους τινὸς ἐν χρόνῳ πολλῷ σπανίσωσι λογισμοί, καὶ γένηται αἰφνίδιος τούτου ζέσις καὶ κίνησις, ἡμῶν μηδεμίαν ἀφορμὴν δεδωκότων ἐξ ἀμελείας, τότε γινώσκομεν ὅτι χαλεπώτερος ἡμᾶς τοῦ προτέρου διεδέξατο δαίμων, καὶ τὸν τόπον τοῦ πεφευγότος οὗτος τηρῶν, οἰκείᾳ πονηρίᾳ προσανεπλήρωσεν. ἀλλὰ καὶ οὗτος τῆς ψυχῆς ἡμῶν πάνυ συνίησι, πολλῷ σφοδρότερον παρὰ τὴν συνήθειαν πολεμούμε-
C νος, καὶ τῶν χθὲς καὶ τρίτην ἡμέραν λογισμῶν ἀθρόως ἐκπεπτωκώς, μηδεμίας ἔξωθεν παρεμπεσούσης προφάσεως. φευγέτω τοίνυν ὁ νοῦς ταῦτα θεώμενος, πρὸς τὸν κύριον, τὴν περικεφαλαίαν τοῦ σωτηρίου δεξάμενος, καὶ τὸν θώρακα τῆς δικαιοσύνης ἐνδυσάμενος, καὶ τὴν μάχαιραν σπασάμενος τοῦ πνεύματος, καὶ τὸν θυρεὸν κουφίσας τῆς πίστεως, λεγέτω εἰς τὸ οἰκεῖον μετὰ δακρύων ἀναβλέψας οὐρανόν· Κύριε Χριστὲ δύναμις τῆς σωτηρίας μου,

κλῖνον πρός με τὸ οὖς σου, τάχυνον τοῦ ἐξελέσθαι με. γενοῦ μοι εἰς θεὸν ὑπερασπιστὴν, καὶ εἰς * τόπον καταφυγῆς τοῦ σῶσαί με. μάλιστα δὲ νηστείαις καὶ ἀγρυπνίαις στιλβωσάτω τὴν μάχαιραν. ἐν ἑπτὰ γὰρ ὅλαις ἡμέραις, θλιβήσεται πολεμούμενος, καὶ βαλλόμενος τοῖς πεπυρωμένοις βέλεσι τοῦ πονηροῦ, καὶ μετὰ τὴν ἑβδόμην γνώσεται αὐτὸν ὅμοιον κατ' ὀλίγον τῷ διαδεχθέντι γενόμενον, καὶ παραμένοντα λοιπὸν ἐν ὅλῳ ἐνιαυτῷ, τὰ πολλὰ τιτρωσκόμενον μᾶλλον ἤπερ τιτρώσκοντα, μέχρις ἂν καὶ ὁ τοῦτον διαδεχόμενος παραγένηται· εἴγε χρόνον, κατὰ τὸν Ἰὼβ, πίπτομεν ὑπ' αὐτοὺς, καὶ οἱ οἶκοι ἡμῶν ἐκπορθοῦνται ὑπὸ ἀνόμων.

A *inclina ad me aurem tuam, accelera ut eruas me. Esto mihi in Deum protectorem, & in locum refugii, ut salvum me facias.* Præcipuè verò jejuniis atque vigiliis gladium micare faciat. Siquidem septem integris diebus bello premetur, igneisque nequissimi telis impetetur; at post diem septimum cognoscet dæmon se paullatim similem fieri antecessori suo, manebitque deinceps anno integro, sæpiùs saucius quàm
B sauciàns; donec advenerit alius qui hunc excipiat; si nempe ad tempus, instar Jobi, in ipsos delabimur, & domus nostræ ab improbis devastantur.

Ps. xxx. 3.

* *vulgò* οἶκον.

Eph. vi, 16.

ξη. Ἀκάθαρτοι λογισμοὶ, πολλάκις εἰς αὔξησιν ὕλας προσδέχονται, καὶ πολλοῖς συμπαρεκτείνονται πράγμασι. καὶ γὰρ πελάγη κατὰ διάνοιαν περῶσι μεγάλα, καὶ μακρὰς ὁδοὺς ὁδεύειν οὐ παραιτοῦνται, διὰ πολλὴν τοῦ πάθους θερμότητα. οἱ δὲ ὁπωσοῦν κεκαθαρμένοι, στενότεροι τούτων μᾶλλόν εἰσι, πολλοῖς συμπαρεκτείνεσθαι πράγμασι μὴ δυνάμενοι, διὰ τὴν τοῦ πάθους ἀσθένειαν· ὅθεν καὶ παρὰ φύσιν μᾶλλον κινοῦνται, καὶ κατὰ τὸν σοφὸν Σολομῶντα, χρόνον τινὰ ἔξω ῥέμβονται, καὶ καλάμην συνάγουσιν εἰς τὴν παράνομον πλινθουργίαν, μηκέτι λαμβάνοντες ἄχυρα. δεῖ οὖν πάσῃ φυλακῇ τηρεῖν τὴν καρδίαν, ἵνα σώζηται

LXVIII. Impuræ cogitationes, sæpe ad incrementum materiam admittunt, multisque rebus coextenduntur. Etenim maria magna in mente transfretant, & longa itinera non recusant peragere, ob
C multum affectûs ardorem. Quæ verò aliqua ex parte purgatæ sunt, strictiores iis sunt, & multis negotiis non valent coextendere se, propter affectûs imbecillitatem: unde juxta naturam magis moventur, ac ex sapiente Salomone, per aliquod tempus extrà vagantur, & stipulam colligunt ad improbam laterum confectionem, nec ampliùs paleas accipiunt. Itaque oportet omni custodiâ servare cor, ut salve in

Nilus De diversis malignis cogitationibus cap 16. p. 540. Confer.

Cant. 1. 6.

Prov. vi. 5.

tamquam dama è laqueis, & A tamquam avis à tendicula. Facilius enim est immundam purgare animam, quàm purgatam, ac deinde vulneratam, ad sanitatem iterum revocare; quod tristitiæ dæmon id nequaquam concedat, sed semper in pupillas oculorum insiliat, necnon inter orandum exhibeat simulacrum peccati.

A ὥσπερ δορκὰς ἐκ βρόχων, καὶ ὥσπερ ὄρνεον ἐκ παγίδος. ῥᾷον γὰρ ἀκάθαρτον καθᾶραι ψυχὴν, ἢ καθαρθεῖσαν καὶ πάλιν τραυματισθεῖσαν, εἰς ὑγίειαν αὖθις ἀνακαλέσασθαι, τοῦ δαίμονος τῆς λύπης μὴ συγχωροῦντος, ἀλλ' ἀεὶ ταῖς κόραις τῶν ὀφθαλμῶν ἐμπηδῶντος, καὶ κατὰ τὸν καιρὸν τῆς προσευχῆς, τὸ τῆς ἁμαρτίας προφέροντος εἴδωλον.

In Nili Opusc. p. 531. LXIX. Naturam quidem rationalem propter vitium morte affectam suscitat Christus B per omnium sæculorum contemplationem: Pater autem ipsius, mortuam animam morte Christi, resuscitat per suam cognitionem. Atque hoc sibi vult quod dicit Apostolus; *Si commortui sumus Christo, credimus quia & convivemus ei.*

** In Nilo inser. ταύτης*

II. Tim. II. 11. Rom. VI. 8.

ξθ. Φύσιν μὲν λογικὴν ὑπὸ κακίας θανατωθεῖσαν ἐγείρει Χριστὸς B διὰ τῆς θεωρίας πάντων τῶν αἰώνων· ὁ δὲ τούτου πατὴρ τὴν ἀποθανοῦσαν * ψυχὴν τὸν θάνατον τοῦ Χριστοῦ, ἐγείρει διὰ τῆς γνώσεως τῆς ἑαυτοῦ. Καὶ τοῦτό ἐστι τὸ ὑπὸ τοῦ ἀποστόλου λεγόμενον, τὸ, εἰ συναπεθάνομεν τῷ Χριστῷ, πιστεύομεν ὅτι καὶ συζήσομεν αὐτῷ.

Nil. ibid. LXX. Quando mens, exuto veteri homine, eum qui ex gratia est superinduerit, tunc & statum suum cernet tempore orationis, sapphiro aut cœlesti colori consimilem, quem C etiam locum Dei nominat Scriptura, à senioribus visum in monte Sina.

Ex. XXIV.

** In Nilo ὑπὸ*

ο. Ὅταν ὁ νοῦς τὸν παλαιὸν ἄνθρωπον ἀποδυσάμενος, τὸν ἐκ χάριτος ἐπενδύσηται, τότε καὶ τὴν ἑαυτοῦ κατάστασιν ὄψεται κατὰ τὸν καιρὸν τῆς C προσευχῆς, σαπφείρῳ ἢ οὐρανίῳ χρώματι παρεμφερῆ, ἥν τινα καὶ τόπον θεοῦ ἡ γραφὴ ὀνομάζει ὑπὸ τῶν πρεσβυτέρων ὀφθέντα * ἐπὶ τοῦ ὄρους Σινᾶ.

LXXI. Numquam mens videbit Dei locum in seipsa, nisi cunctis ad res mundi pertinentibus cogitatis excelsior evadat, non evadet autem excelsior, si affectus non exuat, qui ipsam per cogitationes alligant ad res sensibiles: &

** Al. inser. πραγμάτων*

οα. Οὐκ ἂν ἴδῃ ὁ νοῦς τὸν τοῦ θεοῦ τόπον ἐν ἑαυτῷ, μὴ πάντων τῶν ἐν τοῖς πράγμασιν * ὑψηλότερος γεγονώς, οὐ γενήσεται δὲ ὑψηλότερος, μὴ τὰ πάθη ἀπεκδυσάμενος τὰ συνδεσμοῦντα αὐτὸν διὰ τῶν νοημάτων τοῖς πράγμασι τοῖς αἰσθητοῖς· καὶ

τὰ μὲν πάθη * ἀποθήσεται διὰ τῶν ἀρετῶν, τοὺς δὲ ψιλοὺς λογισμοὺς διὰ τῆς πνευματικῆς θεωρίας· καὶ ταύτην πάλιν, ἐπιφανέντος * αὐτῷ τοῦ φωτὸς * ἐκείνου τοῦ κατὰ τὸν καιρὸν τῆς προσευχῆς ἐκτυποῦντος τὸν τόπον τοῦ θεοῦ.

A affectus quidem deponet per virtutes, meras autem cogitationes, per spiritalem contemplationem; hancque iterum, cùm apparuerit ei id lumen, quod tempore orationis exprimit locum Dei.

* Al. ἀπωθήσεται

* Al. αὐτοῦ

* Reliqua hac absunt ab al.

ΕΥΑΓΡΙΟΥ ΜΟΝΑΧΟΥ λόγος πρακτικός. κεφάλαια ρ'.

EVAGRII MONACHI Liber Practicus. Capita centum.

α. Χριστιανισμός ἐστι &c.

1. Christianismus est &c.

κθ. Ἔλεγε δὲ ὁ ἅγιος καὶ πρακτικώτατος ἡμῶν διδάσκαλος· οὕτω δεῖ ἀεὶ παρασκευάζεσθαι τὸν μοναχόν, ὡς αὔριον τεθνηξόμενον, καὶ οὕτω πάλιν τῷ σώματι κεχρῆσθαι, ὡς ἐν πολλοῖς ἔτεσι συζησόμενον. τὸ μὲν γάρ, φησί, τοὺς τῆς ἀκηδίας λογισμοὺς περικόπτει, καὶ σπουδαιότερον παρασκευάζει τὸν μοναχόν· τὸ δὲ σῶον διαφυλάττει τὸ σῶμα, καὶ ἴσην αὐτοῦ ἀεὶ συντηρεῖ τὴν ἐγκράτειαν.

B XXIX. Dicebat autem sanctus & in actione maximus noster præceptor; Ita semper paratus esse debet Monachus, quasi sequenti die sit moriturus; rursusque ita corpore suo uti, ac si per multos annos cum eo victurus. Illud enim, inquit, acediæ cogitationes amputat, magisque studiosum reddit Monachum; hoc verò, salvum conservat corpus, & æqualem ejus semper tuetur continentiam.

Nil. inf. De acedia.

λα. Ἔγνων τὸν τῆς κενοδοξίας δαίμονα, σχεδὸν ὑπὸ πάντων διωκόμενον τῶν δαιμόνων, καὶ ἐπὶ τοῖς τῶν διωκόντων πτώμασιν ἀναιδῶς παριστάμενον, καὶ τῷ μοναχῷ μέγεθος ἀρετῶν ἐμφανίζοντα.

C XXXI. Cognovi inanis gloriæ dæmonem, ferè à cunctis dæmonibus pulsum, & in propellentium lapsibus impudenter adstantem, quique Monacho magnitudinem virtutum exhibeat.

μγ. Δεῖ δὲ καὶ τὰς διαφορὰς τῶν δαιμόνων ἐπιγινώσκειν, καὶ τοὺς καιροὺς αὐτῶν σημειοῦσθαι· εἰσόμεθα δὲ ἐκ τῶν λογισμῶν· τοὺς δὲ λογισμοὺς ἐκ τῶν πραγμάτων· τίνες τῶν δαιμόνων σπάνιοι καὶ βαρύτεροι,

XLIII. Sed & oportet diversitates dæmonum agnoscere, ac eorum tempora notare: intelligemus autem ex cogitationibus, cogitationes verò è rebus ipsis; quinam dæmonum infrequentes & graviores,

quinam assidui ac leviores, qui- A namque subitò insiliant, atque ad blasphemiam mentem abripiant. Hæc porrò scire necesse est, ut cùm cogitationes movere proprias materias cœperint, antequam longiùs à nostro statu ejiciamur, aliquid in eos proferamus, & præsentem denotemus. Sic etenim tum ipsi facile, Deo juvante proficiemus, tum eos efficiemus cum admiratione nostra & suo dolore avolare.

καὶ ποῖοι συνεχεῖς καὶ κουφότεροι, καὶ τίνες οἱ ἀθρόως εἰσπηδῶντες καὶ πρὸς βλασφημίαν τὸν νοῦν ἁρπάζοντες. ταῦτα δὲ ἀναγκαῖον εἰδέναι, ἵν' ὅταν ἄρξωνται οἱ λογισμοὶ τὰς ἰδίας ὕλας κινεῖν, πρὶν ἢ πολὺ τῆς οἰκείας ἐκβαλλώμεθα καταστάσεως, φθεγγώμεθά τι πρὸς αὐτούς, καὶ τὸν παρόντα σημαίνωμεν. οὕτως γὰρ ἂν αὐτοί τε ῥᾳδίως σὺν θεῷ προκόπτωμεν, κἀκείνους θαυμάζοντας ἡμᾶς καὶ ὀδυνωμένους ἀποπτῆναι ποιήσωμεν.

XLIV. Quoties in certamine B contra Monachos instituto non prævalent dæmones, toties paullulum recedendo, quænam virtutum interea neglecta fuerit observant, atque eâ parte subitò irruentes, miseram animam diripiunt.

μδ. Ὅτ' ἂν ἀγωνιζόμενοι πρὸς τοὺς μοναχοὺς ἀδυνατῶσιν οἱ δαίμονες, τότε μικρὸν ὑποχωρήσαντες ἐπιτηροῦσι, ποία τῶν ἀρετῶν ἐν τῷ μεταξὺ παρημέληται, κἀκείνῃ αἰφνιδίως ἐπεισελθόντες, τὴν ἀθλίαν ψυχὴν διαρπάζουσιν.

XLV. Mali dæmones, pejores se dæmonas in auxilium pertrahunt, cúmque affectibus inter se pugnent, in solo animæ interitu consentiunt.

με. Οἱ πονηροὶ δαίμονες τοὺς πονηροτέρους αὐτῶν δαίμονας εἰς βοήθειαν ἐπισπῶνται, καὶ κατὰ τὰς διαθέσεις * ἀλλήλοις ἐναντιούμενοι, συμφωνοῦσιν ἐπ' ἀπωλείᾳ μόνον C ψυχῆς.

* An ἀλλήλους

XLVI. Cæterùm nos non perturbet is dæmon qui mentem ad blasphemiam Dei abripit, atque ad vetitas illas imaginationes, quas ego sanè ne scripto quidem tradere ausus sum; nec alacritatem nostram abrumpat. Deus enim corda novit, scitque nos neque cùm in sæculo viveremus, hujusmodi umquam insania fuisse correptos. Eò autem collimat hic dæmon, ut nos ab oratione-

μς. Μὴ ταραττέτω δὲ ἡμᾶς ὁ δαίμων ὁ συναρπάζων τὸν νοῦν πρὸς βλασφημίαν θεοῦ, καὶ πρὸς τὰς ἀπειρημένας φαντασίας ἐκείνας, ἃς ἔγωγε οὐδὲ γραφῇ παραδοῦναι τετόλμηκα, μηδὲ τὴν προθυμίαν ἡμῶν ἐκκοπτέτω. καρδιογνώστης γάρ ἐστιν ὁ θεὸς, καὶ οἶδεν, ὅτι οὐδὲ ἐν τῷ κόσμῳ ὄντες ποτὲ τοιαύτην μανίαν ἐμάνημεν. σκοπὸς δὲ τούτῳ τῷ δαίμονι, παῦσαι ἡμᾶς τῆς

προσευχῆς, ἵνα μὴ στῶμεν ἐναντίον A
κυρίου τοῦ θεοῦ ἡμῶν, μηδὲ τὰς χεῖρας ἐκτεῖναι τολμήσωμεν, καθ' οὗ τοιαῦτα διενοήθημεν.

μζ. Τῶν ἐν τῇ ψυχῇ παθημάτων σύμβολον γίνεται, ἢ λόγος τις προενεχθεὶς, ἢ κίνησις τοῦ σώματος γενομένη, δι' οὗ ἐπαισθάνονται οἱ ἐχθροὶ πότερον ἔνδον ἔχομεν τοὺς λογισμοὺς αὐτῶν καὶ ὠδίνομεν, ἢ ἀποῤῥίψαντες αὐτοὺς μεριμνῶμεν περὶ τῆς σωτηρίας ἡμῶν. τοιγαροῦν μόνος ἐπίσταται ὁ ποιήσας ἡμᾶς θεὸς, καὶ οὐ δεῖται B
συμβόλων αὐτὸς πρὸς τὸ γινώσκειν τὰ ἐν τῇ καρδίᾳ κρυπτόμενα.

μη. Τοῖς μὲν κοσμικοῖς οἱ δαίμονες διὰ τῶν πραγμάτων μᾶλλον παλαίουσι, τοῖς δὲ μοναχοῖς ὡς ἐπιπλεῖστον διὰ τῶν λογισμῶν· πραγμάτων γὰρ διὰ τὴν ἐρημίαν ἐστέρηνται· καὶ ὅσον εὐκολώτερον τὸ κατὰ διάνοιαν ἁμαρτάνειν τοῦ κατ' ἐνέργειαν, τοσοῦτον χαλεπώτερος καὶ ὁ κατὰ διάνοιαν πόλεμος τοῦ διὰ τῶν πραγμάτων συνισταμένου. εὐκίνητον γάρ τι πρᾶγμα C
ὁ νοῦς, καὶ πρὸς τὰς ἀνόμους φαντασίας δυσκάθεκτον.

μθ. Ἐργάζεσθαι μὲν διαπαντὸς καὶ ἀγρυπνεῖν καὶ νηστεύειν οὐ προσετάγμεθα, προσεύχεσθαι δὲ ἡμῖν ἀδιαλείπτως νενομοθέτηται· διότι ἐκεῖνα μὲν τὸ παθητικὸν μέρος τῆς ψυχῆς θεραπεύοντα, καὶ τοῦ σώματος ἡμῶν εἰς τὴν ἐργασίαν προσδεῖται, ὅπερ δι' οἰκείαν ἀσθένειαν πρὸς τοὺς πόνους οὐκ ἐπαρκεῖ·

avertat, ne coram Domino Deo nostro stemus, neque ad eum extendere manus audeamus, in quem tales habuimus cogitationes.

XLVII. Animæ affectuum signum est, aut sermo aliquis prolatus, aut motus quidam corporis factus, unde intelligunt Inimici, an intus cogitationes eorum habeamus & parturiamus, an potiùs abjectis iis, de nostra salute curam suscipiamus. Quapropter solus qui creavit nos Deus, cognoscit, neque ipse signis indiget ut ea quæ in corde recondita sunt intelligat.

XLVIII. Adversùs sæculi homines dæmones per res magis decertant, in Monachos autem ut plurimum per cogitationes: rebus enim ob solitudinem carent: & quanto facilius est mente quàm opere peccare, tanto molestius difficiliusque est bellum juxta mentem susceptum bello quod per res ipsas geritur. Res quippe valde mobilis est animus, ægréque ab improbis phantasiis coercetur.

Mel. ff. II. 99. Theodor. Edess. c. 16.

XLIX. Semper quidem operari, vigilare, jejunare, non fuit nobis præceptum, at sine intermissione orare lex sanxit: quandoquidem illa, quæ animæ perpetientem partem curant, etiam corporis nostri ope ut fiant egent, quod corpus propriam ob imbecillitatem ad laborem continuum non sufficit:

1. Thess. v. 17.

at oratio mentem validam puramque ad certamen facit, natam ut precetur, & citra corpus istud atque pro cunctis animæ facultatibus contra dæmones pugnet.

A ἡ δὲ προσευχὴ τὸν νοῦν ἐρρωμένον καὶ καθαρὸν πρὸς τὴν πάλην παρασκευάζει, πεφυκότα προσεύχεσθαι, καὶ δίχα τούτου τοῦ σώματος καὶ ὑπὲρ πασῶν τῶν τῆς ψυχῆς δυνάμεων τοῖς δαίμοσι μάχεσθαι.

De iis quæ in somnis accidunt.

Περὶ τῶν ἐν τοῖς ὕπνοις συμβαινόντων.

LIV. Cùm in nocturnis somni visionibus, adversùs concupiscentem partem pugnantes dæmones, ipsi quidem nobis ostendunt colloquia familiarium, convivia cognatorum, mulierum choros, aliaque consimilia quæ ad voluptatem spectant, nos verò accurrimus; ea in parte ægrotamus, & affectus valet: cùm verò rursus partem irascentem conturbaverint, per præcipitia proficisci cogentes, & inducendo viros armatos, necnon venenatas carnivorasque bestias; nosque ad eas vias timore percellimur, & à feris virisque infectati fugimus; tunc partis illius curam geramus, & Christum in vigiliis invocantes, supra dictis remediis utamur.

νδ΄. Ὅταν ἐν ταῖς καθ' ὕπνον φαντασίαις, τῷ ἐπιθυμητικῷ μέρει πολεμοῦντες οἱ δαίμονες, αὐτοὶ μὲν δεικνύωσιν, ἡμεῖς δὲ προστρέχωμεν, συν-
B τυχίας γνωρίμων, καὶ συμπόσια συγγενῶν, καὶ χορὺς γυναικῶν, καὶ ὅσα ἄλλα τοιαῦτα ἡδονῶν ἀποτελεστικά, ἐν τούτῳ τῷ μέρει νοσοῦμεν, καὶ τὸ πάθος ἰσχύει. ὅταν δὲ πάλιν τὸ θυμικὸν ἐκταράσσωσιν, ὁδοὺς κρημνώδεις ὁδεύειν καταναγκάζοντες, καὶ ἐνόπλους ἄνδρας ἐπάγοντες, καὶ ἰοβόλα καὶ σαρκοβόρα θηρία, ἡμεῖς δὲ πρὸς μὲν τὰς ὁδοὺς ἐκδειματούμεθα, ὑπὸ δὲ τῶν θηρίων καὶ τῶν ἀνδρῶν διωκόμενοι φεύγομεν, τοῦ θυμικοῦ μέρους
C ποιησώμεθα πρόνοιαν, καὶ τὸν Χριστὸν ἐν ἀγρυπνίαις ἐπικαλούμενοι, τοῖς προειρημένοις φαρμάκοις χρησώμεθα.

LV. Naturales corporis in somnis motiones, si absque visis fiant, animam aliquantum sanitate frui indicant; visorum autem fixio, ægritudinis signum est; & indefinitas facies, veteris morbi, definitas, recentis plagæ symbola reputa.

νε΄. Αἱ ἀνείδωλοι ἐν τοῖς ὕπνοις τοῦ σώματος φυσικαὶ κινήσεις, ὑγιαίνειν ποσῶς μηνύουσι τὴν ψυχήν· πῆξις δὲ εἰδώλων, ἀρρωστίας γνώρισμα· καὶ τὰ μὲν ἀόριστα πρόσωπα, τοῦ παλαιοῦ πάθους, τὰ δὲ ὡρισμένα, τῆς παραυτίκα πληγῆς σύμβολα νόμιζε.

A νϛ. Τὰ τῆς ἀπαθείας τεκμήρια, μεθ' ἡμέραν μὲν διὰ τῶν λογισμῶν, νύκτωρ δὲ διὰ τῶν ἐνυπνίων ἐπιγνωσόμεθα· καὶ τὴν μὲν ἀπάθειαν, ὑγείαν ἐροῦμεν τῆς ψυχῆς, τροφὴν δὲ τὴν γνῶσιν, ἥ τις μόνη συνάπτειν ἡμᾶς ταῖς ἁγίαις δυνάμεσιν εἴωθεν· εἴπερ ἡ τῶν ἀσωμάτων συνάφεια ἐκ τῆς ὁμοίας διαθέσεως γίνεσθαι πέφυκεν.

Περὶ τῆς καταστάσεως ἐγγιζούσης τῇ ἀπαθείᾳ.

B νζ. Δύο τῆς ψυχῆς εἰρηνικαὶ καταστάσεις εἰσί, μία μὲν ἡ ἀπὸ τῶν φυσικῶν σπερμάτων ἀναδιδομένη, ἑτέρα δὲ ἡ ἐξ ὑποχωρήσεως τῶν δαιμόνων ἐπιγινομένη· καὶ τῇ μὲν προτέρᾳ ἀκολουθεῖ ταπεινοφροσύνη, μετὰ κατανύξεως, καὶ δάκρυον καὶ πόθος πρὸς τὸ θεῖον ἄπειρος, καὶ σπουδὴ περὶ τὸ ἔργον ἀμέτρητος· τῇ δὲ δευτέρᾳ, κενοδοξία μετὰ ὑπερηφανείας ἐν ἀναιρέσει τῶν λοιπῶν δαιμόνων τὸν μοναχὸν ὑποσύρουσα. ὁ τοίνυν τηρῶν τὰ ὅρια τῆς προτέρας καταστάσεως, τὰς ἐπιδρομὰς τῶν δαιμόνων ὀξύτερον ἐπιγνώσεται. C

νη. Ὁ τῆς κενοδοξίας δαίμων ἀντίκειται τῷ δαίμονι τῆς πορνείας, καὶ τούτους ἅμα προσβαλεῖν ψυχῇ τῶν οὐκ ἐνδεχομένων ἐστίν· εἴπερ ὁ μὲν τιμὰς ἐπαγγέλλεται, ὁ δὲ ἀτιμίας πρόξενος γίνεται. ὁπότερος τοίνυν τούτων ἐὰν προσεγγίσας πιέζῃ σε, σὺ τοῦ ἀντικειμένου δαίμονος πλάττε δῆθεν ἐν σεαυτῷ λογισμούς· κἂν δυνηθῇς τὸ δὴ

LVI. Vacuitatis perturbationum signa, de die per cogitationes, noctu per insomnia percipiemus; & eam quidem vacuitatem, animæ sanitatem esse dicemus, cibum verò cognitionem, quæ sola nos cum sanctis virtutibus conjungere solet; si quidem conjunctio cum incorporeis, ex simili affectu fieri amat.

De statu qui ad perpessionum vacuitatem accedit.

LVII. Duæ sunt animi pacificæ constitutiones: altera quidem quæ à naturalibus seminibus prodit; altera verò quæ recessione dæmonum fit: & priorem sequitur humilitas cum compunctione, & lacrymæ, & amor erga Deum infinitus, immensumque operandi studium; secundam vana gloria cum superbia, in reliquorum dæmonum sublatione Monachum alliciens. Qui ergo fines prioris status servat, dæmonum incursus citiùs cognoscet.

LVIII. Vanæ gloriæ dæmon fornicationis dæmoni oppositus est, neque fieri potest, ut ambo simul animam adoriantur; quoniam ille honores promittit, hic ignominiæ conciliator est. Quando igitur horum alteruter accessu suo presserit te, oppositi sanè dæmonis in te cogitationes effinge: ac si potueris, juxta id

L. inf. Nilum De vana gloria.

quod dici solet, clavo clavum extrudere, noveris te prope terminos impassibilitatis consistere. valuit enim mens tua humanis cogitationibus dæmonum suggestiones abolere. Ast per humilitatem repellere inanis gloriæ tentationem, aut per castitatem fornicationis vitium, profundissimæ signum erit imperturbationis. Atque hoc idem in omnibus invicem contrariis dæmonibus facere contende. Simul enim & cognosces, quali perturbationi magis adhæreas. Verùm pro viribus à Deo postula, ut secundo modo hostes propellas.

LIX. Quo plus anima proficit, eò majores adversarii eam excipiunt. Nam eosdem semper dæmones ei adsistere non crediderim. Idque maxime illi norunt qui acutiùs tentationibus intendunt, cernuntque vacuitatem affectuum quâ gaudent, à succedentibus dæmonibus emoveri.

LX. Perfecta impassibilitas, post partam victoriam adversùs cunctos dæmones qui vitæ activæ obsistunt, animæ obvenit: imperfecta verò dicitur, respectu virium dæmonis qui tunc illam impugnat.

LXI. Numquam mens progredietur, nec præclarâ illâ peregrinatione migrabit, eritque in regione incorporeorum, nisi interiora correxerit. Perturbatio quippe domestica, eam ad illa convertere

A λεγόμενον ἥλῳ τὸν ἧλον ἐκκρούειν, γίνωσκε σεαυτὸν πλησίον ὄντα τῶν ὅρων τῆς ἀπαθείας. ἴσχυσε γάρ σου ὁ νοῦς λογισμοῖς ἀνθρωπίνοις, λογισμοὺς ἀφανίσαι δαιμόνων. τὸ δὲ διὰ ταπεινοφροσύνης ἀπώσασθαι τὸν τῆς κενοδοξίας λογισμὸν, ἢ διὰ σωφροσύνης τὸν τῆς πορνείας, βαθυτάτης ἂν εἴη τεκμήριον ἀπαθείας. καὶ τοῦτο ἐπὶ πάντων τῶν ἀντικειμένων ἀλλήλοις δαιμόνων πράττειν πειράθητι. ἅμα
B γὰρ καὶ γνώσῃ ποίῳ πάθει μᾶλλον πεποίωσαι. πλὴν ὅση δύναμις αἴτει παρὰ θεοῦ τῷ δευτέρῳ τρόπῳ τοὺς πολεμίους ἀμύνεσθαι.

νθ. Ὅσῳ προκόπτει ψυχὴ, τοσούτῳ μείζονες αὐτὴν ἀνταγωνισταὶ διαδέχονται. τοὺς γὰρ αὐτοὺς ἀεὶ δαίμονας αὐτῇ παραμένειν οὐ πείθομαι. καὶ τοῦτο ἴσασι μάλιστα οἱ ὀξύτερον τοῖς πειρασμοῖς ἐπιβάλλοντες, καὶ τὴν προσοῦσαν αὐτοῖς ἀπάθειαν ἐκμοχλευομένην ὑπὸ τῶν διαδεξαμέ-
C νων ὁρῶντες.

ξ. Ἡ μὲν τελεία τῇ ψυχῇ ἀπάθεια, μετὰ τὴν νίκην τὴν κατὰ πάντων τῶν ἀντικειμένων τῇ πρακτικῇ δαιμόνων ἐγγίνεται· ἡ δὲ ἀτελὴς ἀπάθεια, ὡς πρὸς τὴν δύναμιν τέως τοῦ παλαίοντος αὐτῇ λέγεται δαίμονος.

ξα. Οὐκ ἂν προέλθοι ὁ νοῦς οὐδὲ ἀποδημήσει τὴν καλὴν ἐκείνην ἀποδημίαν, καὶ ἐν τῇ χώρᾳ γένοιτο τῶν ἀσωμάτων, μὴ τὰ ἔνδον διορθωσάμενος. ἡ γὰρ ταραχὴ τῶν οἰκείων, ἐπιστρέφειν αὐτὸν εἴωθε,

πρὸς τὰ ἀφ' ὧν ἐξελήλυθεν.

ξβ. Τὸν νοῦν, καὶ αἱ ἀρεταὶ, καὶ αἱ κακίαι, τυφλὸν ἀπεργάζονται· αἱ μὲν, ἵνα μὴ βλέπῃ τὰς κακίας· αἱ δὲ, ἵνα μὴ πάλιν ἴδῃ τὰς ἀρετάς.

Ῥήσεις μοναχῶν ἁγίων.

ϟα. Ἀναγκαῖον δὲ καὶ τὰς ὁδοὺς τῶν προοδευσάντων ὀρθῶς διερωτᾷν μοναχῶν, καὶ πρὸς αὐτὰς κατορθοῦσθαι. πολλὰ γάρ ἐστιν εὑρεῖν ὑπ' αὐτῶν ῥηθέντα τε καὶ πραχθέντα καλῶς· ἐν οἷς καὶ τοῦτό φησί τις αὐτῶν, τὴν ξηροτέραν καὶ μὴ ἀνώμαλον δίαιταν ἀγάπῃ συζευχθεῖσαν, θᾶττον εἰσάγειν τὸν μοναχὸν εἰς τὸν τῆς ἀπαθείας λιμένα. ὁ δ' αὐτὸς ταραττόμενόν τινα νύκτωρ τῶν ἀδελφῶν, τῶν φασμάτων ἀπήλλαξεν, ἀσθενοῦσι μετὰ νηστείας ὑπηρετῆσαι προστάξας. οὐδενὶ γὰρ οὕτως, ἐρωτηθεὶς ἔφη, ὡς ἐλέῳ τὰ τοιαῦτα κατασβέννυται πάθη.

ϟβ. Τῷ δικαίῳ Ἀντωνίῳ προσῆλθέ τις τῶν τότε σοφῶν, καὶ πῶς διακαρτερεῖς εἶπεν ὦ πάτερ, τῆς ἐκ τῶν βιβλίων παραμυθίας ἐστερημένος; ὁ δέ φησι· τὸ ἐμὸν βιβλίον, φιλόσοφε, ἡ φύσις τῶν γεγονότων ἐστὶ, καὶ πάρεστιν ὅτε βούλομαι τοὺς λόγους ἀναγινώσκειν τοὺς τοῦ θεοῦ.

ϟγ. Ἠρώτησέ με τὸ σκεῦος τῆς ἐκλογῆς ὁ Αἰγύπτιος γέρων Μακάριος· τί δήποτε μνησικακοῦντες μὲν τοῖς ἀνθρώποις, τὴν μνημονευτικὴν

A solet, è quibus egressa est.

LXII. Animum tum virtutes tum vitia cæcum efficiunt; illæ quidem, ne vitia intueatur; hæc verò, ne vicissim virtutes conspiciat. *Schol. 7 ad Clim. Grad. 4.*

Dicta sanctorum Monachorum.

XCI. Necesse etiam est vias Monachorum qui rectè præcesserunt sciscitari, atque ad eas erigi. Multa quippe ab iis præclarè dicta & facta invenire est; quæ inter hoc *Socrates IV 23. Niceph. XI 43.*
B quoque ait eorum nonnullus, Aridiorem & non inæqualem victum cum caritate conjunctum, citò Monachum inducere in portum impassibilitatis. Idem porrò quemdam fratrum noctu perturbari solitum, à spectris liberavit, cùm jussisset ut ægrotis jejunus ministraret. Nulla enim adeò re, ait interrogatus, ac misericordia tolluntur ejusmodi perpessiones. *Monum. hac T. 1. p. 439. A. Vit. Pat. V. 1. 4. Doroth. Doctr. 14.*

XCII. Accessit ad justum Antonium quidam ex iis qui
C tunc temporis sapientes habebantur, & dixit; Quo modo, pater, vitam tolerare pedes, solatio librorum destitutus? At ille respondit, Philosophe, meus liber est natura rerum creatarum, isque præsto est, quoties Dei rationes sermonesque legere cupio. *Socrat. ibid. Vita Patrum. VI. I. V. 16.*

XCIII. Me interrogavit vas electionis Ægyptius senex Macarius; Qua de caussa cùm humanæ injuriæ reminiscimur, animæ vim memoratricem *Socr. ib. V. Vit. Pat. VII. XXXVII. 4. Mon. 1. p. 546. A.*

abolemus; cùm verò dæmonicæ, tunc permanemus illæsi: & quia ego in responsione hæsitabam, rogabamque ut rationem discerem, Quoniam, inquit ille, primum est contra animi naturam, secundum verò ex ejusdem natura est.

Socr. ib. Vit. Pat. VI. IV. 17. 18.

XCIV. Ipso fervido meridie profectus sum ad sanctum patrem Macarium, & qui vehementi siti arderem, petii aquæ potum. Ille autem dixit; Umbrâ contentus esto. Multi enim nunc viatores vel navigantes hac quoque carent. Dein cùm cogitationes meas circa continentiam coram eo excuterem, Confide, inquit fili, viginti totos annos neque panis neque aquæ neque somni satietatem cepi. Nam panem meum cum pondere comedi, aquam verò in mensura bibi, atque me inclinando ad parietes, exiguam somni partem suffuratus sum.

Socr. ib. Vit. Pat v. 1. 5. Pallad. Laus. 86.

XCV. Nunciata est cuidam Monacho mors patris; Ille autem nuncianti dixit; Blasphemare desine; meus quippe pater, immortalis est.

Vit. Pat. VI. IV. 19. Infrà Palladii cap. 116.

XCVI. Quidam frater nonnullum è senibus interrogavit, an juberet ut domum profectus, una cum matre & sororibus vesceretur: qui respondit; Cum muliere noli manducare.

Socr. ib. Vit. Pat. v. VI. 5. 111. 70. 1. p. 191.

XCVII. Quidam fratrum dumtaxat Evangelium possidebat, quod cùm vendidisset,

A δύναμιν τῆς ψυχῆς ἀφανίζομεν, δαίμοσι δὲ μνησικακοῦντες, ἀβλαβεῖς διαμένομεν; κἀμοῦ πρὸς τὴν ἀπόκρισιν ἀπορήσαντος, καὶ παρακαλοῦντος τὸν λόγον μαθεῖν, διότι φησὶν ἐκεῖνος, τὸ μὲν πρῶτον παρὰ φύσιν, τὸ δὲ δεύτερον κατὰ φύσιν ἐστὶ τοῦ θυμοῦ.

ϟδ. Παρέβαλον κατ' αὐτὴν τὴν σταθερὰν μεσημβρίαν τῷ ἁγίῳ πατρὶ Μακαρίῳ, καὶ λίαν ὑπὸ τῆς δίψης φλεγόμενος ᾔτουν ὕδωρ πιεῖν. ὁ δέ
B φησιν· ἀρκέσθητι τῇ σκιᾷ. πολλοὶ γὰρ νῦν ὁδοιποροῦντες ἢ πλέοντες, καὶ ταύτης ἐστέρηνται. εἶτα λόγους μου πρὸς αὐτὸν περὶ ἐγκρατείας γυμνάζοντος, θάρσει φησὶν ὦ τέκνον, ἐν ὅλοις ἔτεσιν εἴκοσι οὔτε ἄρτου, οὔτε ὕδατος, οὔτε ὕπνου κόρον εἴληφα. τὸν μὲν γὰρ ἄρτον μου ἤσθιον σταθμῷ, τὸ δὲ ὕδωρ ἔπινον μέτρῳ, τοῖς τοίχοις δὲ ἐμαυτὸν παρακλίνων, μικρόν τι τοῦ ὕπνου μέρος ἀφήρπαζον.

ϟε. Ἐμηνύθη τινὶ τῶν μοναχῶν θά-
C νατος τοῦ πατρός, ὁ δὲ πρὸς τὸν ἀπαγγείλαντα, παῦσαι, φησί, βλασφημῶν· ὁ γὰρ ἐμὸς πατὴρ ἀθάνατός ἐστιν.

ϟϛ. Ἐπύθετό τις τῶν ἀδελφῶν ἑνὸς τῶν γερόντων, εἰ κελεύοι τῇ μητρὶ καὶ ταῖς ἀδελφαῖς συμφαγεῖν αὐτὸν παραβαλόντα τῷ οἴκῳ· ὁ δέ, μετὰ γυναικὸς εἶπεν οὐ βρώσῃ.

ϟζ. Ἐκέκτητό τις τῶν ἀδελφῶν εὐαγγέλιον μόνον, καὶ τοῦτο πωλήσας,

ἔδωκεν εἰς τροφὴν τοῖς πεινῶσιν, ἄξιον μνήμης ἐπιφθεγξάμενος ῥῆμα. αὐτὸν γὰρ, φησὶ, τὸν λόγον πεπώληκα τὸν λέγοντά μοι· πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς.

A pecuniam alendis esurientibus tradidit, memorabili addito verbo. Ipsum enim inquit librum vendidi, qui mihi dicit; *Vende quæ habes, & da pauperibus.* Matt. XIX. 21.

ϞΗ. Ἔστι δέ τις παρὰ τὴν Ἀλεξάνδρειαν νῆσος κατ' αὐτὸ τὸ βόρειον * μέρος τῆς λίμνης κειμένη τῆς καλουμένης Μαρίας, προσοικεῖ δὲ αὐτῇ μοναχὸς τῆς παρεμβολῆς τῶν γνωστικῶν ὁ δοκιμώτατος, ὅστις ἀπεφήνατο πάντα τὰ πραττόμενα ὑπὸ τῶν μοναχῶν, πράττεσθαι δι' αἰτίας πέντε, διὰ θεὸν, διὰ φύσιν, διὰ ἔθος, διὰ ἀνάγκην, διὰ τὰ ἔργα τῶν χειρῶν. ὁ δ' αὐτὸς ἔλεγε πάλιν, μίαν μὲν εἶναι τῇ φύσει τὴν ἀρετὴν, εἰδοποιεῖσθαι δὲ αὐτὴν ἐν ταῖς δυνάμεσι τῆς ψυχῆς. καὶ γὰρ τὸ φῶς τὸ ἡλιακὸν ἀσχημάτιστον μὲν ἐστι, φησὶ, ταῖς δὲ δι' ὧν εἰσβάλλει θυρίσι συσχηματίζεσθαι πέφυκεν.

XCVIII. Est porrò circa Alexandriam insula quædam ad ipsum septentrionalem tractum lacus qui dicitur Maria, sita, ubi habitat Monachus Paremboles, Gnosticorum seu cognitione præditorum probatissimus, qui asseruit, quæcumque B à Monachis gererentur, propter quinque caussas fieri, ob Deum, ob naturam, ob consuetudinem, ob necessitatem, ob opera manuum. Is idem rursus dixit, unicam quidem naturâ esse virtutem, sed eam pro animæ facultatibus varias in species dividi. Etenim inquit, solare lumen figura caret, conformatur tamen cum fenestris per quas ingreditur.

Socr. ib.
* Socr. πέρας

ϞΘ. Ἄλλος δὲ πάλιν τῶν μοναχῶν, διὰ τοῦτο περιαιρῶ τὰς ἡδονὰς, εἶπεν, ἵνα τὰς τοῦ θυμοῦ περικόψω προφάσεις. οἶδα γὰρ αὐτὸν ἀεὶ μαχόμενον ὑπὲρ τῶν ἡδονῶν, καὶ ἐκταράσσοντά μου τὸν νοῦν, καὶ τὴν γνῶσιν ἀποδιώκοντα. ἔλεγε δέ τις τῶν γερόντων, ὅτι ἡ ἀγάπη παραθήκας βρωμάτων ἢ χρημάτων τηρεῖν οὐκ ἐπίσταται. ὁ δ' αὐτὸς, οὐκ οἶδα, φησὶν, εἰς τὸ αὐτὸ δὶς ὑπὸ δαιμόνων ἀπατηθείς.

XCIX. Iterum alius Mona- C chus dixit; Ideo voluptates subtraho, ut occasiones iracundiæ abscindam. Novi namque hanc semper pro voluptatibus certare, & conturbare mentem meam, scientiamque expellere. Cæterùm senum nonnullus istam protulit sententiam; Caritas, ciborum aut pecuniæ depositum servare nescit. Idem quoque aiebat; Non recordor me bis in eadem re à dæmonibus fuisse deceptum.

Socr. ib.
Doroth. Doctr. 12.

Ρ. Πάντας μὲν ἐπ' ἴσης οὐ δυνατὸν τοὺς ἀδελφοὺς ἀγαπᾶν, πᾶσι

C. Fieri nequit ut cunctos fratres ex æquo diligas, sed

potes cum omnibus citra perpessionem versari, à recordatione injuriæ & odio liber. Sacerdotes post Dominum amandi sunt, qui per sancta mysteria & sacramenta purificant nos ac pro nobis precantur: senes verò nostri velut Angeli sunt honorandi; ipsi quippe nos ad certamina exercent, & immitium ferarum morsus curant. Atque hactenus quidem hæc mihi ad te dicta sint de vita & virtute activa, optatissime frater Anatoli, quæ per gratiam Spiritûs sancti in semente maturescentis vitis nostræ racemantes nacti sumus. Quòd si fixus nos collustraverit justitiæ sol, & uva matura fuerit, tunc & vinum

Ps. CIII. 15. ejus bibemus, quod *lætificat cor hominis*; precibus & intercessione viri justi Gregorii qui

1. Cor. III. 6. plantavit me, & sanctorum hujus temporis Patrum, qui rigant me, ac potentia illius qui incrementum mihi dat, Christi Jesu Domini nostri; cui gloria & imperium, in sæcula sæculorum. Amen.

A ἢ δυνατὸν ἀπαθῶς συντυγχάνειν, μνησικακίας ὄντα καὶ μίσους ἐλεύθερον. τοὺς ἱερέας ἀγαπητέον μετὰ τὸν κύριον, τοὺς διὰ τῶν ἁγίων μυστηρίων καθαρίζοντας ἡμᾶς καὶ προσευχομένους ὑπὲρ ἡμῶν· τοὺς δὲ γέροντας ἡμῶν τιμητέον ὡς τοὺς ἀγγέλους· αὐτοὶ γάρ εἰσιν οἱ πρὸς τοὺς ἀγῶνας ἡμᾶς ἀλείφοντες, καὶ τὰ τῶν ἀγρίων θηρίων δήγματα θεραπεύοντες. ἀλλὰ νῦν μέν μοι τοσαῦτα λε-

B λέχθω πρὸς σὲ περὶ πρακτικῆς, ποθεινότατε ἀδελφὲ Ἀνατόλιε, ὅσα χάριτι τοῦ ἁγίου πνεύματος ἐν τῷ ἄνθρῳ ὀργαζούσης ἡμῖν τῆς σταφυλῆς ἐπιρρωγολογούμενοι εὑρήκαμεν. εἰ δὲ σταθερῶς ἡμῖν ἐπιλάμψει ὁ τῆς δικαιοσύνης ὁ ἥλιος, καὶ ὁ βότρυς πέπειρος γένηται, τότε καὶ τὸν οἶνον πιόμεθα αὐτοῦ τὸν εὐφραίνοντα καρδίαν ἀνθρώπου· εὐχαῖς καὶ πρεσβείαις τοῦ δικαίου Γρηγορίου τοῦ φυτεύσαντός με, καὶ τῶν νῦν ὁσίων πατέρων τῶν ποτι-

C ζόντων με, καὶ δυνάμει τῇ τοῦ αὐξάνοντός με Χριστοῦ Ἰησοῦ τοῦ κυρίου ἡμῶν· ᾧ ἡ δόξα καὶ τὸ κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.



ΕΥΑΓΡΙΟΥ ΜΟΝΑΧΟΥ, τῶν κατὰ μοναχῶν πραγμάτων τὰ αἴτια καὶ ἡ καθ' ἡσυχίαν τούτων παράθεσις.

ἘΝ τῷ Ἱερεμίᾳ εἴρηται τό· καὶ σὺ μὴ λάβῃς σεαυτῷ γυναῖκα ἐν τῷ τόπῳ τούτῳ· ὅτι τάδε λέγει κύριος περὶ τῶν υἱῶν καὶ τῶν θυγατέρων τῶν γεννωμένων ἐν τῷ τόπῳ τούτῳ, ἐν θανάτῳ νοσερῷ ἀποθανοῦνται· τοῦτο δεικνύντος τοῦ λόγου, ὅτι κατὰ τὸν ἀπόστολον, ὁ γαμήσας ἄνθρωπος μεριμνᾷ τὰ τοῦ κόσμου, πῶς ἀρέσει τῇ γυναικὶ, καὶ μεμέρισται· καὶ ἡ γαμήσασα γυνὴ μεριμνᾷ τὰ τοῦ κόσμου, πῶς ἀρέσει τῷ ἀνδρί. καὶ δῆλον ὡς οὐ μόνον περὶ τῶν κατὰ τὸν γαμικὸν βίον ἐσομένων υἱῶν καὶ θυγατέρων ἐν τῷ προφήτῃ εἴρηται τὸ ἐν θανάτῳ νοσερῷ ἀποθανοῦνται· ἀλλὰ καὶ περὶ τῶν ἐν καρδίᾳ αὐτῶν γεννωμένων υἱῶν καὶ θυγατέρων· τουτέστι σαρκικῶν λογισμῶν καὶ ἐπιθυμιῶν, ὡς ἐν τῷ νοσερῷ καὶ ἀσθενεῖ καὶ ἐκλύτῳ φρονήματι τοῦ κόσμου τούτου ἀποθανοῦνται καὶ οὗτοι, καὶ οὐ τῆς ἐπουρανίου καὶ αἰωνίου ζωῆς τεύξονται. ὁ δὲ ἄγαμος, φησὶ, μεριμνᾷ τὰ τοῦ κυρίου πῶς ἀρέσει τῷ κυρίῳ, καὶ τοὺς ἀειθαλεῖς καὶ ἀθανάτους τῆς οὐρανίου ζωῆς ποιήσει καρπούς.

Τοιοῦτος ὁ μοναχὸς, καὶ οὕτως χρὴ εἶναι τὸν μοναχὸν,

A

EVAGRII MONACHI, *Rerum Monachalium rationes, earumque juxta quietem appositio.*

I. DIctum est in Hieremia hoc; *Et tu ne accipias tibi uxorem in loco isto; quia hæc dicit Dominus de filiis & filiabus qui generantur in loco isto; in morte morbosa morientur:* qui sermo indicat, quòd juxta Apostolum, vir *qui cum uxore est, sollicitus est quæ sunt mundi, quo modo placeat* B *uxori, & divisus est: & mulier quæ nupta est, cogitat quæ sunt mundi, quo modo placeat viro.* Atqui manifestum est, quòd non solùm de filiis & filiabus ex connubiali vita proventuris dictum sit apud Prophetam illud; *In morte morbosa morientur;* sed etiam de filiis & filiabus in corde eorum natis, hoc est, carnalibus cogitationibus & cupiditatibus, quòd in morbido & infirmo languidoque mundi hujus consilio C illi quoque morientur, nec vitam consequentur cœlestem ac perpetuam. *Qui* autem *sine uxore est*, inquit, *sollicitus est quæ Domini sunt, quo modo placeat Domino*, & semper vividos immortalesque cœlestis vitæ fructus producet.

Jer. XVI 2. 3. 4.

1. Cor. VII. 33. 34 32.

II. Talis est Monachus, & ita se habere decet Monachum,

A qui nempe abstineat à muliere, nec gignat filium aut filiam in prædicto loco; quinetiam
Theodor. Edeff. c. 48. sit Christi miles materiæ expers, curæ vacuus, extra omnem negotiosam cogitationem actionemque positus, quemadmodum & Apostolus ait;
II. Tim. II 4. *Nemo militans implicat se negotiis sæcularibus, ut ei placeat qui ipsum militem conscripsit.* In hisce progrediatur Monachus præcipuè qui universam sæculi hujus materiam dereliquit, & ad speciosa præclaraque quietis trophæa accurrit. B Quàm speciosa enim & præclara per quietem exercitatio Monastica, quàm speciosa verè ac præclara.
Matt. XI. 30. *Est* quippe *suave jugum* illius, *& onus leve;*
* Theodor. τερπνὴ dulcis vita, jucunda operatio.

III. Vis igitur, dilecte, Monasticam vitam qualis est capessere, & ad quietis trophæa recurrere, illic dimitte mundi curas, illisque præsidentes Principatus ac Potestates; C hoc est, expers sis materiæ, & affectuum, atque extra omnem cupiditatem; ut ab incommodis quæ inde exoriuntur alienus, præclarè tranquillam vitam possis ducere. Nisi enim quis se ab illis subtraxerit, in hac vitæ ratione nequaquam poterit proficere. Cibum brevem & nullius precii, non autem multum ac magna cura egentem cape. Quòd si prætextu hospitalitatis de sumptuoso in mentem venerit,

A ἀπεχόμενον ἀπὸ γυναικός, μὴ ποιοῦντα υἱὸν ἢ θυγατέρα ἐν τῷ τόπῳ τῷ προειρημένῳ· οὐ μὴν δὲ ἀλλὰ καὶ Χριστοῦ στρατιώτην ἄϋλον, ἀμέριμνον ὑπάρχειν, πάσης πραγματευτικῆς ἐννοίας τε καὶ πράξεως ἐκτὸς, ὡς καὶ ὁ ἀπόστολός φησιν· οὐδεὶς στρατευόμενος ἐμπλέκεται ταῖς τοῦ βίου πραγματείαις, ἵνα τῷ στρατολογήσαντι ἀρέσῃ. ἐν τούτοις ἴτω ὁ μοναχὸς μάλιστα ὁ πᾶσαν ὕλην τοῦ κόσμου τούτου καταλιπὼν, καὶ ἐπὶ B τὰ ὡραῖα καὶ καλὰ τῆς ἡσυχίας ἀποτρέχων τρόπαια. ὡς ὡραία γὰρ καὶ καλὴ τῇ ἡσυχίᾳ ἡ ἄσκησις, ὡς ὡραία ὄντως καὶ καλή. ἔστι γὰρ ὁ χρηστὸς ὁ ταύτης ζυγὸς, καὶ τὸ φορτίον ἐλαφρόν· ἡδὺς ὁ βίος, ἡ πρᾶξις * στερρή.

Βούλει τοιγαροῦν ἀγαπητὲ τὸν μονήρη βίον ὡς ἔστιν ἀναλαβεῖν καὶ ἐπὶ τὰ τῆς ἡσυχίας ἀποτρέχειν τρόπαια, ἄφες ἐκεῖ τοῦ κόσμου τὰς φροντίδας, τάς τε ἐπὶ τούτων C ἀρχὰς καὶ ἐξουσίας· τουτέστιν ἄϋλος ἔσο, ἀπαθὴς, πάσης ἐπιθυμίας ἐκτός· ἵνα τῆς ἐκ τούτων περιστάσεως ἀλλότριος γινόμενος, δυνηθῇς ἡσυχάσαι καλῶς. εἰ μὴ γάρ τις τούτων ἑαυτὸν ὑπεξάρῃ, οὐκ ἂν δυνηθῇ ταύτην αὐτὴν κατορθῶσαι τὴν πολιτείαν. τροφῆς βραχέων ἀντέχου καὶ εὐκαταφρονήτων, μὴ πολλῶν καὶ εὐπερισπάστων. ἐὰν δὲ καὶ ὡς φιλοξενίας χάριν περὶ τὰ πολυτελῆ λογισμὸς γίνηται, ἄφες

ἄφες τοῦτον ἐκεῖ, μὴ ὅλως προσθῇς αὐτῷ· ἐνεδρεύει γάρ σε διὰ τούτου ὁ ὑπεναντίος, ἐνεδρεύει τοῦ ἀποστῆσαί σε τῆς ἡσυχίας. ἔχεις τὸν κύριον Ἰησοῦν μεμφόμενόν πως τὴν τὰ τοιαῦτα σπουδάζουσαν ψυχὴν Μάρθαν, καὶ λέγοντα· τί περὶ πολλὰ εἶ καὶ θορυβάζῃ; ἑνὸς ἐστὶ χρεία, τοῦ τὸν θεῖον, φησὶ, λόγον ἀκούειν, καὶ μετὰ τοῦτο ἀκμὴν παντὸς τοῦ εὑρισκομένου. διὸ καὶ εὐθὺς ἐπιφέρει λέγων· Μαρία γὰρ τὴν ἀγαθὴν μερίδα ἐξελέξατο, ἥτις οὐκ ἀφαιρεθήσεται ἀπ᾽ αὐτῆς. ἔχεις δὲ καὶ τῆς ἐν Σαρεφθοῖς χήρας τὸ ὑπόδειγμα, ἐν πόσῳ αὐτὴ τὸν προφήτην ἐξένισε. κἂν ἄρτον μόνον ἔχῃς, κἂν ἅλας, κἂν ὕδωρ, δύνασαι ἐν τούτοις τῆς φιλοξενίας ποιῆσαι τὸν μισθόν· κἂν δὲ μὴ ταῦτα ἔχῃς, μόνον δὲ προθέσει ἀγαθῇ ὑποδέξῃ τὸν ξένον, καὶ λόγον εὔχρηστον αὐτῷ ἀποδῷς, ὡσαύτως δύνασαι τῆς φιλοξενίας πορίσαι τὸν μισθόν. ἀγαθὸν γὰρ εἴρηται λόγος ὑπὲρ δόμα.

Τοιαῦτα ἐπὶ τῆς ἐλεημοσύνης σε δεῖ φρονεῖν. ἄρα οὖν μὴ ἐπιθυμήσῃς πλοῦτον ἔχειν πρὸς διάδοσιν τῶν πενήτων. ἔστι γὰρ καὶ αὕτη ἀπάτη τοῦ πονηροῦ, πρὸς κενοδοξίαν πολλάκις περιερχομένη, καὶ εἰς πολυπραγμοσύνης αἰτίας ἐμβάλλουσα τὸν νοῦν. ἔχεις ἐν τῷ εὐαγγελίῳ ὑπὸ τοῦ κυρίου Ἰησοῦ μαρτυρουμένην χήραν,

eam abjice cogitationem, nec illi adhæreas. Per illam quippe insidiatur tibi Adversarius, insidiatur quò te à quiete avertat. Habes Dominum Jesum; qui Martham, animam ista consectantem arguit quodammodo, ac dicit; Quare *erga plurima* versaris & *turbaris? Unum est necessarium*, nempe, inquit, divinum audire *verbum*; post quod cætera hæc sine labore inveniuntur. Unde statim subdit, dicens; *Maria* enim *bonam partem elegit, quæ non auferetur ab ea.* Habes pariter Sarephthanæ viduæ exemplum, in quibusnam illa Prophetam hospitio susceperit. Licèt panem dumtaxat habueris, aut sal, aut aquam, potes per hæc mercedem hospitalitatis acquirere; quòd si ne illa quidem habueris, tantummodo autem bono affectu peregrinum exceperis benignoque sermone eum donaveris, consimili ratione potes hospitalitatis mercedem consequi. Dictum est enim; *Verbum melius quàm datum.*

Luc. x. 41. 42. 39.
III. Reg. XVII.
Theodor. Edess. c. 49.
Eccl. XVIII. 16.

IV. Hæc de Eleemosyna sentire debes. Ne igitur desideraveris opes habere ad distributionem erga pauperes. Nam hæc quoque Mali fraus est, quæ ad vanam gloriam sæpe vergit, mentemque in negotiationis caussas injicit. Habes in Evangelio à Domino Jesu testimonio ornatam viduam,

Theodor. Edess. c. 49.

A quæ per duo dumtaxat minuta, divitum affectum ac vires superavit. *Illi enim* inquit *ex abundanti miserunt in gazophylacium; hæc verò omnia quæ habuit.* (Marc. XII. 44.) Quòd autem spectat ad vestes, noli desiderare multorum superfluorumque vestimentorum possessionem, provide tantùm de iis quæ ad necessitatem corporis suffectura sunt. *Jacta* potiùs *super Dominum curam tuam, & ipse* tibi providebit. (Ps. LIV. 23.) *Ipsi quippe* inquit *cura est de nobis.* (I. Pet. V. 7.) Si alimentis vel vestibus indigeas, ne erubescas tibi ab aliis oblata accipere; hoc namque est superbiæ species. At si tu hisce abundaveris, ei qui caret tradito. Sic Deus vult famulis suis subveniri. Quocirca ad Corinthios scribens Apostolus, de inopibus dixit; *Vestra abundantia illorum inopiam suppleat; ut & illorum abundantia vestræ inopiæ sit supplementum; ut fiat æqualitas; sicut scriptum est; Qui multum, non abundavit; & qui modicum, non minoravit.* (II. Cor. VIII. 14. 15.) Obtinens ergo præsenti tempori necessaria, de futuro ne sis sollicitus; verbi gratiâ in diem unum, vel hebdomadem, vel annum, aut menses. Nondum enim elapso crastino, idipsum tempus necessaria suppeditabit; præsertim si regnum cœlorum justitiamque Dei quæsieris. Ait quippe Dominus; *Quærite regnum Dei, & justitiam ejus; &* (Matt. VI. 33.)

A διὰ δύο μόνων λεπτῶν τὴν τῶν πλουσίων ὑπερβεβηκυῖαν προαίρεσίν τε καὶ δύναμιν. ἐκεῖνοι μὲν γάρ φησιν, ἐκ τοῦ περισσεύματος ἔβαλον ἐν τῷ γαζοφυλακίῳ, αὕτη δὲ, ἅπασαν ἑαυτῆς τὴν ὕπαρξιν. περὶ δὲ ἱματίων, μὴ ἐπιθυμήσῃς περισσὰ ἔχειν ἱμάτια, τὰ δὲ ἀρκοῦντα τῇ ἀνάγκῃ τοῦ σώματος προνοοῦ· ἐπίρριψον μᾶλλον ἐπὶ κύριον τὴν μέριμνάν σου, καὶ αὐτός σου προνοήσει. αὐτῷ γάρ φησι μέλει περὶ B ἡμῶν. ἐὰν δέῃ τροφῶν ἢ ἱματίων, μὴ αἰσχυνθῇς τὰ παρ' ἑτέρων σοι προσφερόμενα λαβεῖν. τοῦτο γάρ ἐστιν ὑπερηφανίας εἶδος. ἐὰν δὲ καὶ αὐτὸς ἐν τούτοις περισσεύῃς, δίδου τῷ ὑστερουμένῳ. οὕτως ὁ θεὸς τοὺς ἑαυτοῦ παῖδας οἰκονομεῖσθαι βούλεται. διὰ τοῦτο καὶ ὁ ἀπόστολος πρὸς Κορινθίους γράφων, περὶ τῶν ὑστερουμένων ἔλεγε· τὸ ὑμῶν περίσσευμα εἰς τὸ ἐκείνων ὑστέρημα, ἵνα καὶ τὸ ἐκείνων περίσσευμα γένηται εἰς τὸ ὑμῶν ὑστέρημα· ὅπως C γένηται ἰσότης, καθὼς γέγραπται· ὁ τὸ πολὺ οὐκ ἐπλεόνασε, καὶ ὁ τὸ ὀλίγον οὐκ ἠλαττόνησεν. ἔχων τοίνυν τοῦ ἐνεστῶτος καιροῦ τὰ δέοντα, εἰς τὸν μέλλοντα μὴ μεριμνήσῃς καιρόν· οἷον, ἡμέρας μιᾶς, ἢ ἑβδομάδος, ἢ ἐνιαυτοῦ, ἢ μηνῶν. ἐνεστηκότος γὰρ τοῦ τῆς αὔριον καιροῦ, αὐτὸς ὁ καιρὸς ἐπιχορηγήσει τὰ δέοντα, ζητοῦντός σου μάλιστα τὴν βασιλείαν τῶν οὐρανῶν καὶ τὴν δικαιοσύνην τοῦ θεοῦ. ζητεῖτε γάρ φησιν ὁ κύριος, τὴν βασιλείαν τοῦ θεοῦ καὶ τὴν δικαιοσύνην αὐτοῦ, καὶ

ταῦτα πάντα προστεθήσεται ὑμῖν. A

Μὴ κτήσῃ παῖδα· μήποτέ σοι ὁ ὑπεναντίος διὰ τούτου κινήσῃ σκάνδαλόν τι, καὶ ἐκθορυβήσῃ σου τὸ φρόνημα τῶν πολυτελεστάτων τροφῶν φροντίζειν. οὐ γὰρ δυνήσῃ μόνος ἔτι σεαυτοῦ φροντίζειν. κἂν ὡς πρὸς σωματικὴν ἀνάπαυσιν ἐπέλθῃ ὁ λογισμὸς, ἀλλὰ τὸ κρεῖττον ἐννόει· λέγω δὴ τὴν πνευματικὴν ἀνάπαυσιν. κρείττων γάρ ἐστιν ὡς ἀληθῶς ἡ πνευματικὴ ἀνάπαυσις τῆς σωματικῆς. κἂν ὠφελείας τοῦ B παιδὸς χάριν προσβάλλῃ τῇ γνώμῃ, μὴ πεισθῇς αὐτῷ· οὐ γάρ ἐστι τοῦτο ἡμέτερον ἔργον· ἑτέρων ἐστὶ τῶν ἐν κοινοβίῳ ἁγίων πατέρων. σεαυτοῦ μόνου τῆς ὠφελείας φρόντιζε, καὶ τὸν τῆς ἡσυχίας περιποιοῦ τρόπον. μὴ ἀγαπήσῃς οἰκῆσαι μετὰ ἀνθρώπων ὑλικῶν καὶ ἐμπεριστάτων. ἢ μόνος οἴκει, ἢ μετὰ ἀδελφῶν τῶν ἀΰλων καὶ ὁμοφρόνων σου. ὁ γὰρ μετὰ ἀνθρώπων ὑλικῶν καὶ ἐμπεριστάτων οἰκῶν, C πάντως κοινωνήσει καὶ αὐτὸς τῇ τούτων περιστάσει, καὶ δουλεύσει ἀνθρωπίναις ἐπιταγαῖς, λαλιαῖς τε ματαίαις, καὶ τοῖς ἄλλοις ἅπασι δεινοῖς, ὀργῇ, λύπῃ, μανίᾳ τῶν ὑλῶν, φόβῳ, τῷ σκανδάλῳ. γονικαῖς μερίμναις ἢ συγγενικαῖς φιλίαις μὴ συναπαχθῇς· ἀλλὰ γὰρ καὶ πρὸς τούτοις αὐτοὺς συνεχεῖς συντυχίας φεῦγε, μήποτέ σε ἀποσυλήσωσι τῆς ἐν τῷ κελλίῳ ἡσυχίας, καὶ περὶ τὰς

hac omnia adjicientur vobis.

v. Ne habeas apud te puerum, ne fortè Adversarius per eum aliquod in te moveat scandalum, conturbetque animum tuum, ut de cibis maximè sumptuosis curam gerat. Neque enim ampliùs poteris solus de te esse sollicitus. Atque si ea cogitatio quasi propter corporis requiem subierit; tu tamen quod præstantius est considera; spiritalem inquam quietem. Revera enim melior est spiritalis refectio corporali. Quòd si juvandi pueri gratiâ in mentem venerit, ne credas: hoc enim non est nostri muneris: ad alios pertinet opus, sanctos videlicet cœnobiorum patres. Tui solius commodum specta, & silentii quietisque mores amplectere. Noli amare habitationem cum hominibus materiæ addictis ac negotiosis: aut solus mane, aut cum fratribus materia carentibus, tibique consentaneis. Nam qui habitat cum hominibus materialibus ac impeditis, & ipse prorsus eorum turbulenti status particeps futurus est, servietque humanis mandatis, vanis colloquiis, cæterisque omnibus vitiis, iræ, tristitiæ, insaniæ erga res materiales, timori, scandalo. Ne corripiaris curis parentalibus, aut cognatorum amicitiis: quinimo & assiduos cum iis congressus vita, ne fortè à cellæ quiete te auferant, & ad sua

Theodor. Edess. c. 50.

Matt. VIII. 22.

traducant negotia. *Dimitte* inquit Dominus *mortuos sepelire mortuos suos; tu verò veni, sequere me.* Si verò cella in qua resides impedimento sit, fugito, neque illi parcas, nec in amorem ejus resolvaris: omnia fac, omnia age, quò tranquille vivere & vacare queas, necnon contende in Dei voluntatibus ac in pugna adversùs invisibilia consistere.

VI. Si in tua regione non potes facilè vitam quietam ducere, propositum tuum ad peregrinationem tradito, atque ad illam ipsam incita animum tuum. Esto velut optimus negotiator, cuncta ad quietem probans, quæque ad eam constabiliendam conducunt omnino retinens. Cæterùm dico tibi; peregrinationem dilige; te enim ab incommoditatibus patriæ tuæ liberabit, efficietque ut solus silentii emolumento fruaris. In urbe commorari fuge, in solitudine perdura. *Ecce* enim ait sanctus vir *elongavi fugiens, & mansi in solitudine.* Si fieri potest nullatenus ad urbem proficiscaris; nihil quippe commodum, nihil utile, nihil conducibile professioni tuæ illic intueberis. Iterum ait Sanctus; *Vidi iniquitatem & contradictionem in civitate.* Loca ergo secreta & quieta sectare, neque formides illorum inopiam. Quòd si illic dæmonum spectra

Theodor. Edess. c. 80.

Ps. LIV 8.10.9

Theodor. Edess. c. 51.

** Al. πτωχεῖν ex Theod.*

A ἑαυτῶν περιστάσεις ἀγάγωσιν. ἄφες φησὶν ὁ κύριος τοὺς νεκροὺς θάψαι τοὺς ἑαυτῶν νεκρούς· σὺ δὲ δεῦρο ἀκολούθει μοι. ἐὰν δὲ καὶ τὸ κελλίον ἐν ᾧ καθέζῃ ἀπερίσπαστον ᾖ, φεῦγε, καὶ αὐτοῦ μὴ φείσῃ, μὴ ἐκλυθῇς εἰς ἀγάπην αὐτοῦ· πάντα ποίει, πάντα πρᾶττε, πῶς δυνηθῇς ἡσυχάσαι καὶ σχολάσαι, καὶ σπουδάσαι γενέσθαι ἐν τοῖς τοῦ θεοῦ θελήμασι, καὶ ἐν τῇ πάλῃ τῇ τῶν ἀοράτων.

B Εἰ μὴ δύνασαι ῥᾳδίως ἡσυχάσαι ἐν τοῖς σοῖς μέρεσι, δὸς σου ἐπὶ ξενιτείαν τὴν πρόθεσιν, καὶ ἐπὶ ταύτην αὐτὴν καταστάδιζέ σου τὸν λογισμόν. γενοῦ καθάπερ τις πραγματευτὴς ἄριστος, τὰ πάντα πρὸς ἡσυχίαν δοκιμάζων, καὶ τὰ πρὸς ταύτην ἥσυχα καὶ χρήσιμα διὰ πάντων κατέχων. πλὴν λέγω σοι, ξενιτείαν ἀγάπα· ἀπαλλάττει γάρ σε τῶν κατὰ τὴν ἰδίαν χώραν περιστάσεων, καὶ τὸ κατὰ τὴν ἡσυχίαν ὠφελείας μόνον ἀπολαύειν ποιεῖ. τὰς ἐν πόλει διατριβὰς

C φεῦγε, καὶ ταῖς ἐν ἐρημίᾳ καρτέρησον. ἰδοὺ γάρ φησιν ὁ ἅγιος ἐμάκρυνα φυγαδεύων, καὶ ηὐλίσθην ἐν τῇ ἐρήμῳ. εἰ δυνατὸν τὸ καθόλου εἰς πόλιν μὴ ἀπαντήσῃς· οὐδὲν γὰρ εὔχρηστον, οὐδὲν χρήσιμον, οὐδὲν ὠφέλιμον τῇ πολιτείᾳ σου ἐκεῖ θεάσῃ. εἶδον φησὶ πάλιν ὁ ἅγιος, ἀνομίαν καὶ ἀντιλογίαν ἐν τῇ πόλει. τοὺς οὖν ἰδίους καὶ ἀπερισπάστους δίωκε τόπους, μὴ δειλιάσῃς * εὐχὴν αὐτῶν. ἐὰν δὲ καὶ δαιμόνων φαντασίας

ἐκεῖ θεάσῃ, μὴ πτοηθῇς, μηδὲ ἀποφύγῃς τὸ στάδιον τῆς ἡμετέρας ὠφελείας· ἀφόβως ὑπομένων, καὶ ὄψει τοῦ θεοῦ τὰ μεγαλεῖα, τὴν ἀντίληψιν, τὴν κηδεμονίαν, τὴν ἄλλην ἅπασαν ἐπὶ σωτηρίᾳ πληροφορίαν· προσεδεχόμην γάρ φησιν ὁ μακάριος ἀνὴρ τὸν σώζοντά με ἀπὸ ὀλιγοψυχίας καὶ ἀπὸ καταιγίδος. μή σου νικήσῃ ῥέμβοις ἐπιθυμία τὴν προαίρεσιν. ῥεμβασμὸς γὰρ μετ' ἐπιθυμίας, μεταλλεύει νοῦν ἄκακον. πολλοὶ διὰ τοῦτο πειρασμοί. φόβου τὸ B πταῖσμα, καὶ ἐν τῷ κελλίῳ σου ἑδραῖος ἔσο.

Ἐὰν φίλους ἔχῃς, φεῦγε τούτων τὰς συνεχεῖς συντυχίας. διὰ μακροῦ γὰρ αὐτοῖς συντυγχάνων εὔχρηστος ἔσῃ. ἐὰν δὲ καὶ κατανοήσῃς διὰ τούτων αὐτῶν βλάβην σοι γινομένην, μηδὲ ὅλως ἐγγίσῃς. φίλους γὰρ ἔχειν σε χρὴ τοὺς ὠφελίμους καὶ συμβαλλομένους σου τῇ πολιτείᾳ. φεῦγε καὶ τῶν πονηρῶν ἀνδρῶν καὶ μαχίμων τὰς συντυχίας· μηδενὶ C τούτων συνοικήσῃς· ἀλλὰ γὰρ καὶ τὰς φαύλας αὐτῶν προθέσεις παραιτοῦ· οὔτε γὰρ θεῷ προσοικειοῦνται, οὔτε μὴν παραμένουσιν. ἄνδρες εἰρηνικοὶ ἔστωσαν φίλοι σοι, ἀδελφοὶ πνευματικοί, πατέρες ἅγιοι. τούτους γὰρ οὕτως καὶ ὁ κύριος ἀπεκάλει λέγων· μήτηρ μου καὶ ἀδελφοί μου καὶ πατέρες οὗτοί εἰσιν, οἱ ποιοῦντες τὸ θέλημα τοῦ πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς. μετὰ περισπωμένων μὴ

A apparuerint, noli terreri, neque à ſtadio emolumenti noſtri aufugias: interritus permane, & *magnalia* Dei conſpicies, auxilium, curam, reliquamque omnem de ſalute plenitudinem. *Exſpectabam* enim ait beatus ille vir *eum qui ſalvum me facit à puſillanimitate ſpiritûs, & à tempeſtate.* Vagationis deſiderium animi tui ſententiam non vincat. *Inconſtantia* enim *cum concupiſcentia, tranſvertit ſenſum ſine malitia.* Multæ ea de cauſſa exſiſtunt tentationes. Time caſum, & in cella tua ſtabilis firmuſque ſis. — *Sap. IV. 12.*

VII. Si amicos habueris, continuos cum illis congreſſus fuge: cùm enim longa per intervalla collocutus eos fueris, utilis eris. Sin verò ſenſeris tibi per eoſdem damnum afferri, nullatenus appropinques. Nam oportet habere te amicos utiles & ad vitæ tuæ inſtitutum aptos. Sed & fugito pravorum virorum & pugnacium congreſſus; cum horum nullo ne habites; quinimo pravas illorum intentiones repudia: non enim Deo adhærent, neque in eo permanent. Pacifici homines amici tibi ſint, fratres ſpirituales, patres ſancti: hos namque eo modo appellavit Dominus, dicens; *Mater mea & fratres mei & patres hi ſunt, qui faciunt voluntatem Patris mei qui in cælis eſt.* Cum diſtractis ſeu negotioſis noli — *Theodor. Edeſſ. c. 52.* — *Matt. XII. 50.*

commorari, neque ad convi- A vium cum ipsis pergas; ne te forsan ad suas deceptiones trahant, & à silentii tranquillitatisque disciplina abducant: hic est namque in illis affectus: ne declines aurem tuam ad eorum sermones, neque sensa cordis eorum admittas. Nam re verâ noxii sunt. Ad fideles terræ sit tibi desiderium, & labor cordis tui, in æmulationem luctus eorum.

Ps. c. 6. *Oculi enim mei ad fideles terræ, ut sedeant ipsi mecum.* Quòd si quispiam B ex iis qui secundùm caritatem Dei incedunt, ad te veniens, ad manducandum te invitaverit, ac volueris proficisci, proficiscere quidem, sed citò revertere ad cellam tuam. Si fieri potest, extra eam ne dormieris umquam; ut in te semper maneat quietis gratia; & hujus propositi cultum absque impedimento retinebis.

Theodor. Edess. c. 53. VIII. Non sis lautorum ciborum cupidus, nec illecebræ C deliciarum.

1. Tim. v. 6. *Nam quæ in deliciis est, vivens mortua est;* quemadmodum ait Apostolus. Ne cibis extraneorum satiaveris ventrem tuum, ut ne tibi eorum cupiditas obveniat, atque desiderium externarum mensarum inferat. Dictum

Prov. XXIV. 15. quippe fuit; *Ne seducaris saturitate ventris.* Quòd si te videris assiduè extra cellam tuam vocari, recusa. Noxia enim est continua extra cellam tuam commoratio; gratiam aufert,

συναυλίζου, μηδὲ συμπορευθῇς εἰς συμπόσιον μετ' αὐτῶν· μήποτέ σε περὶ τὰς ἑαυτῶν ἀπάτας ἑλκύσωσι, καὶ τῆς κατὰ τὴν ἡσυχίαν ἐπιστήμης ἀπαγάγωσιν· ἔστι γὰρ τὸ πάθος τοῦτο ἐν αὐτοῖς· μὴ ἐκκλίνῃς τὸ οὖς σου εἰς τοὺς λόγους αὐτῶν, καὶ ἐννοίας καρδίας αὐτῶν μὴ παραδέξῃ· εἰσὶ γὰρ ὄντως ἐπιζήμιοι. ἐπὶ τοὺς πιστοὺς τῆς γῆς ἔστω σοι ὁ πόθος, καὶ ὁ πόνος τῆς καρδίας σου, εἰς ζῆλον πένθους αὐτῶν. οἱ ὀφθαλμοί μου γὰρ ἐπὶ τοὺς πιστοὺς τῆς γῆς, τοῦ συγκαθῆσθαι αὐτοὺς μετ' ἐμοῦ. ἐὰν δέ τις καὶ τῶν κατὰ τὴν ἀγάπην τοῦ θεοῦ πορευομένων ἐλθὼν πρὸς σὲ ἐπὶ τὸ φαγεῖν προσκαλέσηταί σε, καὶ θέλεις ὑπάγειν, ὕπαγε μέν, τάχιον δὲ ἐν τῷ κελλίῳ σου ὑπόστρεφε. εἰ δυνατὸν ἐκτὸς τούτου μὴ καθευδήσῃς ποτέ· ἵνα διαπαντός σοι παραμείνῃ τῆς ἡσυχίας ἡ χάρις, καὶ τὴν ἐν αὐτῷ προθέσεως ἀνεμπόδιστον ἕξεις τὴν λατρείαν.

Μὴ γίνου ἐπιθυμητὴς βρωμάτων καλῶν, ἐν τῇ κατὰ τὴν σπατάλην ἀπατῶν. ἡ γὰρ σπαταλῶσα, ζῶσα, τέθνηκεν· ὡς καὶ ὁ ἀπόστολός φησι. μὴ χορτάσῃς τὴν κοιλίαν σου ἐν βρώμασιν ἀλλοτρίων, ἵνα μὴ πόθος σοι τούτων γένηται, καὶ περὶ τὰς ἔξω τραπέζας ἐμποιήσῃ σοι τὸν πόθον. εἴρηται γάρ· μὴ ἀπατᾶσθε χορτασίᾳ κοιλίας. ἐὰν δὲ καὶ συνεχῶς ἔξω τοῦ κελλίου σου θεάσῃ σεαυτὸν προσκαλούμενον, παραιτοῦ. ἔστι γὰρ ἐπιζήμιος ἡ ἔξω τοῦ κελλίου σου συνεχὴς διατριβή· ἀφαιρεῖται τὴν χάριν,

A σκοτοῖ τὸ φρόνημα, μαραίνει τὸν πόθον. ἴδε μοι κεράμιον οἴνου πλεῖστον ἐγχρονίσαν ἐν τῷ τόπῳ, καὶ κείμενον ἀσάλευτον, πῶς παρασκευάζει τὸν οἶνον λαμπρὸν, καθιστάμενον, εὐώδη· ἐὰν δὲ ὧδε κἀκεῖσε περιφέρηται, τεταραγμένον, στυγνὸν, πάσης ὁμοῦ τῆς ἐκ τῆς τρυγίας κακίας τὴν ἀηδίαν ἐπιδεικνύμενον. τοιγαροῦν τούτῳ παραπλησιάσας σεαυτὸν, πειρῶ τῆς ὠφελείας, κόπτε τῶν πολλῶν τὰς σχέσεις, μή σου ὁ νοῦς * περισπαστικὸς γένηται, καὶ τὸν τῆς ἡσυχίας ταράξῃ τρόπον. B ἐργασίας χειρῶν φρόντιζε, καὶ τοῦτο αὐτὸ εἰ δυνατὸν νυκτὸς καὶ ἡμέρας, πρὸς τὸ μὴ ἐπιβαρῆσαί τινα, μᾶλλον δὲ καὶ εἰς τὸ μεταδιδόναι, καθάπερ καὶ παραινεῖ λέγων ὁ ἱερὸς ἀπόστολος Παῦλος· ἵνα δὴ καὶ ἐν τούτῳ τὸν τῆς ἀκηδίας καταπαλαίσῃς δαίμονα, καὶ τὰς ἄλλας πάσας ἐπιθυμίας τοῦ ἐχθροῦ διάρῃς. ἐπίκειται γὰρ τῇ ἀργίᾳ ὁ τῆς ἀκηδίας δαίμων, καὶ ἐν ἐπιθυμίαις ἐστὶν ὥς φησιν. ἀποδόσεως καὶ λήψεως * οὐκ ἐκφεύξῃ ἁμαρτίαν. C εἴτε οὖν πωλεῖς εἴτε ἀγοράζεις, μικρόν τι τοῦ ἴσου ζημίωσον σεαυτόν· μὴ τοῖς κατ' ἀκρίβειαν ἢ τοῖς περὶ τὴν τιμὴν φιλοκερδείας ἐπενεχθεὶς τρόποις, ἐπὶ τὰ βλαβερὰ τῶν τῆς ψυχῆς αἰτιῶν καταπέσῃς, φιλονεικίας, ἐπιορκίας, τῆς τῶν λόγων σου ἐναλλαγαῖς, καὶ ἐν τοῖς τοιούτοις τὴν ἔντιμον τῆς ἡμετέρας προθέσεως ἀτιμάσῃς καὶ καταισχύνης ἀξίαν. οὕτως καὶ αὐτὸς ἐννοῶν ἀποδόσεώς σου καὶ λήψεώς σου φυλάττου. εἰ δὲ τὸ

obnubilat prudentiam, ardorem restinguit. Vide mihi dolium vini, quod multo tempore in eodem loco exstitit, manetque inconcussum, quo pacto vinum reddat splendidum, sedatum, odoriferum; contrà si huc illucque circumferatur, turbidum, tetricum, omnem simul ex fæcis vitio contractam injucunditatem exhibens. Cum hoc ergo teipsum conferens, quod usui est experire, abscinde multorum affectus, ne mens tua distrahatur, & quietis modum conturbet. Operari manibus cura, idque pro viribus die ac nocte, ne quem graves, quin potiùs aliis tribuas, quemadmodum hortatur ac dicit sacer Apostolus Paulus; ut in eo etiam tædii dæmonem vincas, cæterasque omnes hostis cupiditates avellas. Adjacet enim pigritiæ tædii dæmon, atque *in desideriis est*, sicut inquit. Traditionis & acceptionis peccatum effugias. Sive ergo vendis, sive emis, parum te de justo precio frauda, ne in mores nimium exactos aut erga pretium lucri cupidos inductus, ad noxias animæ caussas decidas, contentionem, perjurium, per sermonis tui permutationem; atque in iis venerandam instituti nostri dignitatem contumelia & ignominia efficias. Eo modo ipse cogitans, in traditione & acceptione tua cautionem serva. Sed si quod

* Al. περισπαστικὸς
Mon. hæc T. 1. p. 438. C
Vit. Pat. v. 11. 8.
1. Thess. 11. 9. & 111. 8.
Eph. iv. 28.
Prov. xiii. 4.
* f. vacat.

melius est elegeris, idque possis, in alium fidum hominem curam tuam rejice, quò ita factus alacer & tranquillus, spe bona jucundaque perfruaris.

IX. Hæc tibi eo pacto suadere novit commoda modus quietis. Age verò, etiam rerum quæ deinde in ea continentur sensum tibi apponam: tu verò mihi ausculta, & quæ

Mon. I. 437. 438. Vit. Pat. v. III.3. Theodor. Edess. c. 54. 55.

præcipio tibi exsequere. Cùm sedes in cella tua, collige mentem tuam; memento diei mortis: vide tunc corporis mortificationem; cogita calamitatem, laborem doloremque assume; condemna vanitatem hujus mundi; curam gere modestiæ & sedulitatis, ut possis manere semper in eodem quietæ vitæ proposito, nec in infirmitatem incidas. Memor quoque esto status præsentis in Inferno: reputa quemadmodum illic degant animæ, in quo amarissimo silentio, aut in quo acerbissimo gemitu, in quali timore, anxietate, exspectatione quanam: *reputa* nunquam desinentem dolorem, lacrymas animæ quæ fine carent. Sed & recordare diei resurrectionis ac exhibitionis coram Deo: imaginare tremendum & horribile illud judicium: profer in medium quæ peccatoribus reposita sunt, ignominiam in conspectu Dei & Christi ejus, Angelorum, Archangelorum, Potestatum,

A κρεῖττον αἱρῇ, καὶ ἔστι σοι τοῦτο δυνατὸν, ἐπὶ ἕτερόν τινα πιστὸν ἄνδρα παράρριψον σου τὴν φροντίδα, ὅπως οὕτως εὔθυμος γενόμενος, χρηστὰς καὶ ἐπιχαρεῖς ἕξεις τὰς ἐλπίδας.

Ταῦτά σοι οὕτως παραινεῖν οἶδε τὰ χρήσιμα ὁ τῆς ἡσυχίας τρόπος. φέρε δὴ καὶ τῶν ἑξῆς ἐπιφερομένων ἐν αὐτῇ πραγμάτων παραθήσομαί σοι τὸν νοῦν· σὺ δέ μοι ἄκουε, καὶ ποίει ἃ ἐντέλλομαί σοι. καθεζόμενος ἐν τῷ κελλίῳ σου, συνάγα-
B γέ σου τὸν νοῦν· μνήσθητι ἡμέρας θανάτου· ἴδε τότε τοῦ σώματος τὴν νέκρωσιν· ἐννόει τὴν συμφοράν· λάβε τὸν πόνον· κατάγνωθι τῆς ἐν τῷ κόσμῳ τούτῳ ματαιότητος· ἐπιμέλησαι τῆς τε ἐπιεικείας καὶ τῆς σπουδῆς· ἵνα δυνηθῇς διαπαντὸς μένειν τῇ αὐτῇ προθέσει τῆς ἡσυχίας, καὶ μὴ ἀσθενήσῃς. μνήσθητι δὲ καὶ τῆς ἐν τῷ ᾅδῃ νυνὶ καταστάσεως· λογίζου τὸ πῶς ἄρα εἰσὶν ἐκεῖ αἱ ψυχαί, ἐν ποίᾳ πι-
C κροτάτῃ σιωπῇ, ἢ ἐν ποίῳ δεινοτάτῳ στεναγμῷ, ἡλίκῳ φόβῳ ἢ ἀγωνίᾳ, ἢ τινι προσδοκίᾳ· τὴν ἄπαυστον ὀδύνην, τὸ ψυχικὸν καὶ ἀπέραντον δάκρυον. ἀλλὰ καὶ ἡμέρας ἀναστάσεως καὶ παραστάσεως μνήσθητι τῆς πρὸς τὸν θεόν· φαντάζου τὸ φοβερὸν καὶ φρικῶδες ἐκεῖνο κρίμα· ἄγε εἰς μέσον τὰ ἀποκείμενα τοῖς ἁμαρτάνουσιν, αἰσχύνην τὴν κατενώπιον θεοῦ καὶ Χριστοῦ αὐτοῦ, ἀγγέλων, ἀρχαγγέλων, ἐξουσιῶν,

καὶ

καὶ πάντων ἀνθρώπων, τά τε κολαστήρια πάντα, τὸ πῦρ αἰώνιον, τὸν σκώληκα τὸν ἀτελεύτητον, τὸν τάρταρον, τὸ σκότος, τὸν ἐπὶ πᾶσι τούτοις τῶν ὀδόντων βρυγμὸν, σὺν φόβοις καὶ ταῖς βασάνοις· ἄγε δὴ καὶ τὰ τοῖς δικαίοις ἀποκείμενα ἀγαθὰ, παῤῥησίαν τὴν μετὰ θεοῦ πατρὸς καὶ Χριστοῦ αὐτοῦ, ἀγγέλων, ἀρχαγγέλων, ἐξουσιῶν, καὶ παντὸς τοῦ δήμου, βασιλείαν καὶ τὰ ταύτης δωρήματα, τὴν χαρὰν καὶ τὴν ἀπόλαυσιν. ἑκατέρων τούτων τὴν μνήμην ἄγε σεαυτῷ· καὶ ἐπὶ μὲν τῇ τῶν ἁμαρτωλῶν κρίσει, στέναζε, δάκρυε, πένθους ἔνδυσαι τὴν ἰδέαν, φοβούμενος μὴ καὶ σὺ αὐτὸς ἐν τούτοις γένῃ· ἐπὶ δὲ τοῖς δικαίοις ἀποκειμένοις ἀγαθοῖς, χαῖρε καὶ ἀγαλλία καὶ εὐφραίνου· καὶ τούτων μὲν σπούδασον ἀπολαῦσαι, ἐκείνων δὲ ἀλλοτριοῦσθαι. ὅρα μὴ ἐπιλάθῃ τούτων ποτὲ, κἂν ἔνδον ἐν τῷ κελλίῳ σου τυγχάνῃς, κἂν ἔξω που, τῆς ἐκ τούτων μνήμης μὴ παραῤῥίψῃς σου τὸ φρόνημα· ὅπως κἂν διὰ τούτων, τοὺς ῥυπαροὺς καὶ βλαβεροὺς ἐκφεύξῃ λογισμούς.

Νηστεία σοι ἔστω ὅση δύναμις κατενώπιον κυρίου. αὕτη σου τὰς ἀνομίας καὶ τὰς ἁμαρτίας περικαθαίρει, σεμνοῖ τὴν ψυχὴν, ἁγιάζει τὸ φρόνημα, δαίμονας ἀπελαύνει, θεὸν ἐγγὺς ἡμῶν παρασκευάζει. ἅπαξ δὲ τῆς ἡμέρας φαγὼν, εἰς δεύτερον μὴ ἐπιποθήσῃς, ἵνα μὴ πολυδάπανος γένῃ, καὶ ἐκθορυβήσῃ σου τὸ φρόνημα. ἔνθεν εὐπορῆσαι δυνήσῃ ἐπὶ τὰ τῆς εὐποιίας ἔργα,

A cunctorumque hominum; item supplicia omnia, ignem æternum, vermem immortalem, tartarum, tenebras, & super hæc universa stridorem dentium, terrores, ac tormenta. Profer quoque ea quæ justis reposita sunt bona, fiduciam cum Deo Patre & Christo ejus, Angelis, Archangelis, Potestatibus, atque omni populo, regnum, ejusque dona, gaudium, voluptatem. Horum utrorumque memoriam adduc B in mentem tuam: ac de peccatorum quidem judicio, ingemisce, fle, indue habitum luctûs, veritus ne tu quoque in illis consistas; de bonis verò quæ justis reposita sunt, gaude & exsulta & lætare: atque tum his frui contende, tum ab illis esse alienus. Cave ne unquam horum obliviscaris, sive intrà in cella tua sis, sive extrà alicubi; mentem tuam noli ab horum recordatione avertere, C quò vel per ea sordidas noxiasque cogitationes effugias.

x. Jejunium pro virili coram Deo excole. Illud delicta & peccata tua expiabit; animam ornat, mentem sanctam efficit, pellit dæmones, Deum prope nos adducit. Porrò cùm semel in die comederis, ne iterum manducare concupiscas, ut non fias sumptuosus, animumque tuum conturbes. Hinc poteris tum ad beneficentiæ opera abundare,

Theodor. Edess. c. 56.

tum ipsius corporis affectus ex- A stinguere. Quando autem advenerint fratres, & necesse fuerit te bis terque comedere, ne ingemiscas aut mœstus sis; quin potiùs gaudeto, quòd necessitati obtemperes; atque bis vel ter manducans, gratias age Deo, eo quòd legem caritatis impleveris, quódque ipsum sanè Deum nostræ vitæ dispensatorem habiturus sis. Quandoque etiam corporis invaletudo contingit, adeò ut bis & ter sæpiusque edere o- B porteat; ad id mens tua parata sit. Non enim corporales professionis nostræ labores locum in morbis habere debent, sed quædam remittenda sunt, quò citiùs ad sanitatem quis reversus, iterum iisdem austeræ vitæ sese exerceat laboribus. Cæterùm de abstinentia à cibis, nihil divinus sermo, ne manducaremus, prohibuit, sed dixit; *Ecce dedi vobis omnia, quasi olera herba; manducate, nihil interrogantes.* Et, *Non* C *quæ intrant in os, coinquinant hominem.* Quocirca à cibis abstinere, id nostræ voluntatis & animæ labor est.

Gen. IX. 3. 1. Cor. X. 25. 27. Matth. XV. 11.

XI. Humi cubationem & vigilias cæterasque austeritates libenter tolera, respiciens ad futuram gloriam quæ revelabitur tibi cum omnibus sanctis. *Non enim* inquit *sunt condigna passiones hujus temporis ad futuram gloriam, quæ revelabitur in nobis.*

Theodor. Edess. c. 56. Rom. VIII. 18.

A καὶ αὐτοῦ δὲ τοῦ σώματος νεκρῶσαι τὰ πάθη. ἐὰν δὲ ἀπάντησις ἀδελφῶν γένηται, καὶ ἔστι χρεία, ὥστε καὶ δεύτερόν σε καὶ τρίτον φαγεῖν, μὴ συννάσῃς μηδὲ κατηφήσῃς· χαῖρε δὲ μᾶλλον, ὑπήκοος τῆς χρείας γινόμενος· καὶ τὸ δεύτερον ἢ τρίτον φαγὼν, εὐχαρίστει τῷ θεῷ, ὅτι νόμον ἀγάπης πεπλήρωκας, καὶ ὡς ὅτι δηλονότι αὐτὸν τὸν θεὸν ἕξεις τῆς ἡμετέρας ζωῆς οἰκονόμον. ἔστι δ' ὅτε καὶ ἀρρωστία σώματος συμβαίνει, καὶ δεῖ, ὥστε καὶ δεύτερον B καὶ τρίτον καὶ πολλάκις φαγεῖν, οὕτως ἔστω σοι λελυμένος ὁ λογισμός. οὐδὲ γὰρ τοὺς σωματικοὺς τῆς πολιτείας πόνους, καὶ ἐν ταῖς ἀρρωστίαις ἐπικρατεῖν χρή· ἀλλ' ὑπενδιδόναι τισὶν, ἵνα τάχιον ἐπὶ τὴν ὑγείαν ἐπανελθὼν, πάλιν τοῖς αὐτοῖς τῆς πολιτείας ἐγγυμνάζηται πόνοις. περὶ δὲ ἀποχῆς βρωμάτων, οὐκ ἐκώλυσέ τι μὴ φαγεῖν ὁ θεῖος λόγος, ἀλλ' εἶπεν· ἰδοὺ δέδωκα ὑμῖν πάντα ὡς λάχανα χόρτου, ἐσθίετε μηδὲν ἀνακρίνοντες. καὶ C οὐ τὰ εἰσερχόμενα εἰς τὸ στόμα κοινοῖ τὸν ἄνθρωπον. τὸ οὖν ἀπέχεσθαι βρωμάτων, τοῦτο τῆς ἡμετέρας προαιρέσεως ἂν εἴη καὶ ψυχῆς πόνος.

Τὴν χαμευνίαν καὶ τὴν ἀγρυπνίαν καὶ τὰς ἄλλας πάσας κακοπαθείας ἡδέως φέρε, ἀποβλέπων εἰς τὴν μέλλουσαν ἀποκαλυφθῆναί σοι δόξαν σὺν πᾶσι τοῖς ἁγίοις. οὐ γὰρ ἄξια τὰ παθήματα, φησὶ, τοῦ νῦν καιροῦ, πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς.

ἐὰν ἀθυμῇς, προσεύχου, καθὼς γέγραπται· προσεύχου δὲ ἐμφόβως, ἐντρόμως, ἐμπόνως, νηφαλίως τε καὶ ἐγρηγορότως. οὕτω προσεύχεσθαι δεῖ, μάλιστα διὰ τοὺς κακοτρόπους καὶ κακοχόλους ἐπηρεάζειν ἡμᾶς θέλοντας ἐν τούτῳ τοὺς ἀοράτους ἡμῶν ἐχθρούς. ὁπηνίκα οὗτοι ἴδωσιν ἡμᾶς προσευχῇ παρισταμένους, τότε δὴ καὶ αὐτοὶ σπουδαίως ἐφίστανται ἡμῖν, ἐκεῖνα ἡμῖν τῷ νῷ ὑποβάλλοντες, ἃ μὴ δεῖ ἐν καιρῷ τοῦ προσεύχεσθαι ἐνθυμεῖσθαι ἢ ἐννοεῖν, ἵνα αἰχμάλωτον ἡμῶν τὸν νοῦν ἀπαγάγωσι, καὶ ἀργὴν καὶ μάταιον καὶ ἀνωφελῆ τὴν ἀπὸ τῆς προσευχῆς δέησίν τε καὶ ἱκετηρίαν ποιήσωσι. μάταιος γὰρ ὄντως καὶ ἀνωφελὴς ἡ προσευχὴ καὶ ἡ δέησις καὶ ἡ ἱκετηρία τυγχάνει, ὅταν μὴ ὡς προείρηται ἐν φόβῳ καὶ ἐν τρόμῳ νηφαλίως τε καὶ ἐγρηγορότως διατελῆται. εἰ τῷ ἀνθρώπῳ μὲν βασιλεῖ προσερχόμενός τις, μετὰ φόβου καὶ τρόμου καὶ νήψεως, οὕτως τὴν δέησιν ἀποτελεῖ· οὐ πολλῷ μᾶλλον θεῷ τῷ δεσπότῃ τῶν ὅλων καὶ Χριστῷ βασιλεῖ τῶν βασιλευόντων καὶ ἄρχοντι τῶν ἀρχόντων ὁμοίως παρίστασθαι δεῖ, καὶ ὡσαύτως τὴν δέησιν καὶ ἱκετηρίαν ποιεῖσθαι; ὅτι τῷ θεῷ ἡ δόξα, εἰς τοὺς αἰῶνας. ἀμήν.

A Si animo dejecto es, ora, sicut scriptum est; ora autem cum timore, tremore, & labore, sobriè & vigilanter. Ita oportet orare, maximè propter malignos malitiæque vacantes inaspectabiles inimicos nostros, qui in hoc nobis negotium facessere volunt. Ii quoties viderint nos ad orationem stare, toties sedulò adoriuntur, eaque menti suggerunt quæ precum tempore nequaquam cogitare & considerare debemus, B quò animum nostrum captivum abducant, otiosamque, vanam & inutilem reddant precis postulationem & supplicationem. Inanis enim reverà est ac inutilis oratio, petitio, supplicatio, quando non, sicut suprà diximus, cum timore & tremore, sobriè ac vigilanter peracta fuerit. Adhæc, ad hominem quidem regem accedens quilibet, cum timore & tremore & cautione, deprecationem eo modo C exsequitur. Nonne multo magis Deo cunctorum Domino, & Christo regi regnantium, & principi principum consimiliter assistendum est, atque offerenda observatio ac supplicatio? Quoniam Deo gloria, in sæcula. Amen.

Vita Patrum V. XII. 4. fac. N. 13.

EVAGRII IN ΠΙΠΙ.

PRopter Hebraicam de Domino notationem, hæc dicenda sunt. Decem nominibus apud Hebræos Deus appellatur. Quorum unum quidem effertur, Adonai, id est, Dominus. Alterum autem, Ia, quod & ipsum in lingua nostra versum est Dominus. Aliud verò præter hæc est, Tetragrammaton seu quatuor litterarum, ineffabile apud Hebræos, quod per Catachresim seu abusionem, ipsis quidem dicitur, Adonai, nobis autem, Dominus. Porrò hoc aiunt scriptum fuisse in lamina aurea quam fronte gerebat Pontifex, juxta illud quod in Lege dictum est; *Formationem sigilli, sanctificationem Domino.* ΠΙΠΙ. Reliqua verò nomina, hæc sunt, El, Eloim, Adon, Sabaoth, Saddai, Iaie, Eserie. Et superiùs exarata tria; inter quæ est Tetragrammatum, quod hisce elementis scribunt, Ioth, Hep, Vau, Hiep. ΠΙΠΙ. Deus.

Exod. XXVIII. 36.
* *Al.* πι πι
Deest in al.
* τ̃ Ἀδωναΐ

Quod de Domino ponitur ineffabile nomen, per quatuor scribitur elementa, scilicet, Ioth, Hep, Vau, & Heth, interposito medio inter hæc, seu post duo priora, elemento quod Hebræi vocant Sen, & significat dentes. Adeò ut

A ΕΥΑΓΡΙΟΥ ΕΙΣ ΤΟ ΠΙΠΙ.

ΔΙὰ τὴν Ἑβραϊκὴν ἐπὶ τοῦ κυρίου παρασημείωσιν, ταῦτα λεκτέον. Δέκα ὀνόμασι παρ' Ἑβραίοις ὀνομάζεται ὁ θεός. ὧν ἓν μὲν Ἀδωναῒ λέγεται, ὅ ἐστιν κύριος. ἕτερον δὲ Ἰά, ὃ αὐτὸ ἐν τῇ Ἑλληνικῇ εἰς τὸ κύριος μετελήφθη. ἕτερον δέ τι παρὰ ταῦτά ἐστι, τὸ τετραγράμματον, ἀνεκφώνητον ὂν παρ' Ἑβραίοις, ὃ καταχρηστικῶς παρὰ μὲν αὐτοῖς Ἀδωναῒ καλεῖται, παρὰ B δὲ ἡμῖν κύριος. τοῦτο δέ φασιν ἐπὶ τῷ πετάλῳ τῷ χρυσῷ, τῷ ἐπὶ τοῦ μετώπου τοῦ ἀρχιερέως γεγράφθαι, κατὰ τὸ ἐν τῷ νόμῳ εἰρημένον· Ἐκτύπωμα σφραγῖδος, ἁγίασμα κυρίῳ * ΠΙΠΙ. Τὰ δὲ λοιπὰ ὀνόματά ἐστιν ταῦτα. Ἤλ. Ἐλωείμ. (*Al.* Ἐλωΐ) Ἀδών. (*Al.* * Ἀδωναΐ) Σαβαώθ. Σαδδαΐ. Ἰαϊέ. (*Al.* Ἰαώθ) Ἐσεριέ. καὶ τὰ προγεγραμμένα τρία· ὧν ἐστιν τὸ τετραγράμματον, τούτοις γραφόμενον τοῖς στοιχείοις· Ἰώθ. C Ἤπ. Οὐαύ. Ἰήπ. (*Al.* Ἤπ.) ΠΙΠΙ (*Al.* πι πι) ὁ θεός.

Τὸ ἐπὶ τοῦ κυρίου ταττόμενον ἀνεκφώνητον ὄνομα, διὰ τεσσάρων γράφεται στοιχείων· διὰ τοῦ Ἰώθ, διὰ τοῦ Ἤπ, διὰ τοῦ Οὐάβ, καὶ διὰ τοῦ Ἠθ. τούτων μέσον παρεντιθὲν μετὰ τὰ πρῶτα δύο, παρ' Ἑβραίοις στοιχεῖον καλούμενον Σὲν, ὅ ἐστιν ὀδόντες. ὡς εἶναι

τὸν εἱρμὸν τῶν πέντε γραμμάτων οὕτως· Ἀρχὴ * αὕτη, ὀδόντες ἐν αὐτῇ· ὁ ζῶν. ἑρμηνεύεται τὰ τέσσαρα στοιχεῖα· τὸ Ἡὼθ, ἀρχή· καὶ διὰ τοῦ Ἡπ, * αὕτη· καὶ διὰ τοῦ Οὐαῦ, ἐν αὐτῇ· καὶ διὰ τοῦ Ἡθ, ὁ ζῶν. A

quinque litteræ translatæ hanc seriem sive sententiam conficiant; Principium hoc, dentes in eo, is qui vivit. Quatuor quippe elementa interpretationem habent; Ioth, principium; Hep, hoc; Vau, in eo; Heth, qui vivit.

* Al. αὐτὴ

* Al. αὐτὴ

ΕΚ ΤΟΥ ΒΙΟΥ ΤΟΥ ΑΓΙΟΥ Εὐαγρίου, συγγραφέντος ὑπὸ Παλλαδίου.

Ἐπέστησαν τούτῳ τρεῖς δαίμονες ἐν σχήματι κληρικῶν, ἐν αὐτῇ τῇ μεσημβρίᾳ, τοσοῦτον δὲ εὐφυεῖς ὄντες, ὡς μόλις αὐτὸν γνῶναι ὅτι δαίμονές εἰσι. καὶ γὰρ ἡ θύρα αὐτοῦ τῆς αὐλῆς πάντοτε κλεῖθρον εἶχε. ὅθεν * εὑρὼν αὐτὸ, ὡς αὐτὸς ἔγνω ὅτι δαίμονες οἱ παραγενόμενοι. ἕκαστος οὖν ἴδιον πρόβλημα ἠρώτησεν, εἰπόντες αὐτῷ· ἐπειδὴ ἠκούσαμεν ὅτι καλῶς περὶ πίστεως διαλέγῃ, ἤλθομεν ἵνα πείσῃς ἡμᾶς. ὁ δὲ πρὸς αὐτούς· εἴπατε ὃ βούλεσθε. λέγει ὁ πρῶτος· ἐγώ εἰμι Εὐνομιανός· τοῦτο δὲ ἦλθον ἵνα μοι εἴπῃς· ὁ πατὴρ ἀγέννητος ἢ γεννητός; ὁ δὲ πρὸς αὐτόν· οὐκ ἀποκρίνομαί σοι· κακῶς γὰρ ἠρώτησας. ἐπὶ γὰρ τοῦ μὴ πεφυκότος γεννᾶσθαι, οὐδεὶς λέγει γεννητὸν ἢ ἀγέννητον. ἀπορηθεὶς οὖν ἕλκεται τὸν ἄλλον. ὁ δὲ ἐλθὼν, ἀπωθεῖται τὸν πρὸ αὐτοῦ ὡς κακῶς B C

EX VITA EVAGRII, conscriptâ à Palladio.

HUic tres dæmones adstiterunt in habitu Clericorum, meridie ipso, adeò dexterè compositi; ut vix agnoverit dæmones esse. Etenim porta aulæ ipsius planè pessulo obdita erat. Unde idipsum compererunt, quòd nempe cognovisset dæmones esse qui adventaverant. Unusquisque ergo propriam quæstionem ei proposuit; dixeruntque; Quia audivimus rectè de fide te disserere, venimus ut persuaderes nos. Tum ille ad eos; Dicite quidquid libuerit. Ait primus; Ego Eunomianus sum: accessi autem ut ad id mihi respondeas; Pater ingenitus ne est, an genitus? Evagrius illi; Tibi non respondeo; quia malè interrogâsti. Nam de eo qui gigni non habet, nemo dicit genitum vel ingenitum. Is itaque ad angustias redactus, trahit secundum. qui veniens, priorem repellit quasi qui malè

Vid. Hist. Laus. c. 86.

* An εὗρε

interrogasset. Petit igitur ab A
eo Evagrius; Tu quis es? Ego, inquit, Arianus sum. Et quid cupis? Excepit; De Spiritu sancto audire, & de corpore Christi, num revera ex Maria sumptum sit. Respondit Abbas Evagrius; Equidem Spiritus sanctus, neque est proles seu filius, neque creatura. Omnis enim creatura loco concluditur, mutationem sustinet, per participationem sanctitatem accipit: at Spiritus sanctus, à
Patre procedit, cuncta verò re- B
plet; cœlestia inquam & terrestria; nec ab ullo sanctificatur. Proinde qui incircumscriptus est, immutabilis, & substantialiter sanctus, non potest creatura aut esse aut dici. Quod spectat autem ad corpus Christi, Manichæorum est interrogatio, & Valentinianorum, & Marcionistarum; num enim Arianorum quoque? Respondet dæmon; Sanè nos dubitamus, sed non audemus publicare,
propter plebem. Adhæc Abbas C
Evagrius infit; Attamen pluribus rebus & dictis constat corpus ex Maria esse; nam accrementum, circumcisio, novem menses in utero transacti, lactatio, cibi potûsque sumptio, fatigatio, & somnus, ad corpus pertinent corruptioni obnoxium; sed præcipuè in cruce, quando lancea percussus est, & emisit sanguinem & aquam. Hoc ergo quoque nesciente quo se verteret, tertius

A ἐρωτήσαντα. ἐρωτᾷ οὖν αὐτὸν ὁ Ἀββᾶς Εὐάγριος· σὺ τίς εἶ; ἐγὼ φησὶν Ἀρειανός. καὶ τί βούλει; περὶ τοῦ ἁγίου πνεύματός φησι, καὶ τοῦ σώματος τοῦ Χριστοῦ, εἰ ἀληθῶς τοῦτο ἐκ τῆς Μαρίας. ἀποκρίνεται ὁ Ἀββᾶς Εὐάγριος· τὸ μὲν πνεῦμα τὸ ἅγιον, οὔτε γέννημα οὔτε κτίσμα. πᾶν γὰρ κτίσμα, τόπῳ περιείργεται, καὶ τροπὴν ὑφίσταται, καὶ ἐν μετοχῇ ἁγιάζεται· τὸ δὲ ἅγιον πνεῦμα, ἐκ μὲν
B τοῦ πατρὸς ἐκπορεύεται, τὰ δὲ πάντα πληροῖ· λέγω δὴ τὰ ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς· τοῦτο παρ' οὐδενὸς ἁγιαζόμενον. τὸ ἀπερίγραπτον οὖν καὶ ἄτρεπτον, καὶ κατ' οὐσίαν ἅγιον, οὐ δύναται οὔτε κτίσμα εἶναι ἢ λέγεσθαι. περὶ δὲ τοῦ σώματος, Μανιχαίων ἐστὶ τὸ ἐρώτημα καὶ Οὐαλεντίνων, καὶ Μαρκιωνιστῶν· ἢ γὰρ Ἀρειανῶν; ἀποκρίνεται ὁ δαίμων· καὶ ἡμεῖς ἀμφιβάλλομεν, ἀλλὰ δημοσιεύειν οὐ τολμῶμεν, διὰ
C τοὺς ὄχλους. ἀποκρίνεται ὁ Ἀββᾶς Εὐάγριος· πολλὰ μὲν οὖν ἐστὶ καὶ λέγεται, ὅτι ἐκ Μαρίας ἐστὶ τὸ σῶμα, ἥ τε αὔξησις, καὶ ἡ περιτομή, καὶ ὁ ἐν τῇ γαστρὶ ἐννεαμηνιαῖος χρόνος, καὶ ἡ γαλούχησις, ἥ τε βρῶσις καὶ ἡ πόσις, καὶ ὁ κόπος, καὶ ὁ ὕπνος, φθαρτοῦ ἐστὶ σώματος· ἔτι δὲ ἐξαίρετον ἐπὶ τοῦ σταυροῦ, ἡνίκα ἐνύχθη τῇ λόγχῃ, καὶ ἔρρευσεν αἷμα καὶ ὕδωρ. ἀπορηθέντος οὖν καὶ τοῦ ἄλλου, προσέρχεται ὁ τρίτος

μετὰ πολλῆς θρασύτητος, ὤσας τοὺς δύο ὡς * ἀπροκόποις, καὶ λέγει αὐτῷ· δεδόσθω ὅτι ἐκείνων περιεγένου· καὶ γὰρ ἀλήθεια συνηγορεῖ· τί ἔχεις εἰπεῖν ἐμοί; λέγει αὐτῷ ὁ Εὐάγριος· σὺ τί ἀμφιβάλλεις; ὁ δὲ ἀποκρίνεται· ἀμφιβάλλω μὲν οὐδὲν, πληροφορίαν δὲ ἔχω, ὅτι ὁ Χριστὸς νοῦν ἀνθρώπινον οὐκ εἶχεν, ἀλλ' ἀντὶ τοῦ νοῦ, αὐτὸν τὸν θεὸν, τὸ μὴ δύνασθαι ἀνθρώπινον νοῦν, ἄρχοντα δαιμόνων νικῆσαι. ὁ δὲ πρὸς αὐτόν· εἰ μὴ νοῦν εἶχεν ἀνθρώπινον, οὐδὲ σῶμα, ἐξὸν δύνασθαι μηδὲ Χριστὸν αὐτὸν λέγειν. τὸν δὲ ἀτρέπτου μὲν οὖν λόγον· ἐκ δὲ τῆς ἀνθρωπίνης ψυχῆς τε καὶ σώματος, διδάσκει Παῦλος ἐν μονάδι ἀνακεφαλαιῶν τὴν πίστιν καὶ λέγων· εἷς γὰρ θεὸς, εἷς καὶ μεσίτης θεοῦ καὶ ἀνθρώπων, ἄνθρωπος Χριστὸς Ἰησοῦς. ὡς ὁρῶ δὲ ὅτι ὑμῶν τῶν τριῶν ἡ συμφωνία, ὅλον τὸ τῆς ἁγίας τριάδος μυστήριον ἀθετεῖ. εἰ γὰρ ὁ μὲν ὑμῶν τὸν λόγον κτίσμα λέγει, ὁ δὲ τὸ πνεῦμα τὸ ἅγιον, καὶ τὸ σῶμα τοῦ Χριστοῦ ἀρνεῖται καὶ * τὴν ψυχὴν, ἐκ τούτοις δῆλοι εὑρίσκεσθε Ἰουδαίοις συντρέχοντες τοῖς τὸν Χριστὸν σταυρώσασιν. ἐκεῖνοι μὲν ἴσως καὶ συγγνωστοὶ, κατὰ σάρκα ἀνελόντες· ὑμεῖς δὲ τὸ ὅσον ἐν τῇ ἀσεβείᾳ ὑμῶν, τὸ κατὰ πνεῦμα. καὶ ταραχθέντες σφόδρα καὶ ἀπειλήσαντες αὐτὸν παραδειγματισμὸν, ἠφαντώθησαν.

A advenit plenus fiduciæ, duos priores abigens tamquam qui nihil profecissent; & ait; Concedatur à te illos devictos, quia veritas patrocinatur; quid mihi potes dicere; Tum Evagrius illi, Tu, inquit, qua de re ambigis. Respondet; Nullatenus dubito, sed certus planè sum, Christum non præditum fuisse mente humana, sed pro mente Deum ipsum habuisse; propterea quòd humana mens prin- B cipem dæmonum vincere nequit. Ille ad eum; Si neque mentem humanam habuit, neque corpus, liceat deturque ne Christum quidem illum vocare. Verùm doctrinam de immutabilitate & humanâ animâ atque corpore, tradit Paulus, in unitate recolligens fidem, his verbis; *Unus enim Deus, unus & mediator Dei & hominum, homo Christus Jesus.* Ut autem intelligo, trium vestrûm concordia, totum abnegat my- C sterium Trinitatis. Si enim alter Verbum creaturam affirmat, alter Spiritum sanctum, simulque negat corpus Christi, & alter animam, ex his manifestè invenimini Judæis Christi crucifixoribus concurrere. Illis tamen aliquatenus venia forsan concedi possit, quòd juxta carnem interfecerint: at vos quantum potest impietas vestra, juxta spiritum interimitis. Tunc illi turbati valde, ac ignominiosam pœnam comminati, disparuerunt.

* Αν ἀποκεκόποις

1. *Tim.* II 5.

* *f inser.* ἡ

Et Evagrius velut à somno excitatus, tremore correptus est. Mittens ergo ad Albinum vicinum, mitissimum hominem, cui prorsus adhærebat & confidebat, actum ei renunciavit. Qui consilium dedit, ne solus maneret, quòd multùm mente vigilaret, atque gravaretur à vita solitaria.

Hist. Lauſ. 32. 43. 91.

A ὁ δὲ ὡς ἀπὸ ὕπνου τινὸς ἀναδύσας περίφοβος γίνεται. πέμψας οὖν πρὸς Ἀλβῖνον τὸν γείτονα πραΰτατον ὄντα, ᾧ πάνυ προσέκειτο, ἀπήγγειλεν αὐτῷ τὸ δρᾶμα. ὁ δὲ συμβουλεύσας αὐτῷ μὴ μένειν μόνῳ, τὸ πολὺ νήφειν τὴν διάνοιαν, καὶ βαρεῖσθαι ὑπὸ τῆς μονότητος.



ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ἡμῶν Ἰωάννου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου, εἰς τὸ ῥητὸν τὸ λέγον, Ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς;

Ἀρχὴ σωτηρίας ἀνθρώπων, ὁ τοῦ θεοῦ φόβος, καὶ ῥίζα πάντων τῶν ἐν ἡμῖν ἀγαθῶν, ὁ τοῦ θεοῦ νόμος· οὔτε δὲ θεοῦ νόμος ἄνευ φόβου, οὔτε φόβος ἄνευ νόμου. ὁ γὰρ νόμος τῶν ἐπιταγμάτων, ὑπηρέτην ἔχει τὸν φόβον· ὁ δὲ φόβος τῶν προστεταγμένων, δικαστὴν ἔχει τὸν νόμον. ὁ μὲν οὖν φόβῳ τῷ νόμῳ προσερχόμενος, καὶ τῷ τὸν νόμον δόντι θεῷ, ἁγίοις ἐμπολιτεύεται, καὶ ὁσίοις ἀναγράφεται· ὁ δὲ κατατολμῶν τοῦ θείου φόβου, καὶ μετὰ ἀλαζονείας προσέρχεται τῷ θείῳ νόμῳ, οὔτε τῆς χάριτος ἀξιοῦται, ἀλλὰ καὶ τῆς εὐσεβείας ἐκβάλλεται. διὰ τοῦτο οἱ μὲν φόβῳ καὶ πόθῳ προσιόντες τῷ θείῳ νόμῳ, μετὰ πάσης εὐθύτητος διδάσκονται καὶ φωτίζονται, καὶ παρ' αὐτῆς τῆς ἀληθείας, αὐτὴν παιδεύονται τὴν εὐσέβειαν· ὑποπίπτουσιν γὰρ αὐτῇ τῇ πηγῇ τῆς ἀληθείας, λέγοντες· εὐλογητὸς εἶ κύριε, δίδαξόν με τὰ δικαιώματά σου. ἀλλ' οἱ μὲν ἅγιοι οὕτως εὐλαβεῖς, οὕτω φιλόθεοι, οὕτω παρ' αὐτῆς αὐτὴν μανθάνουσι τὴν ἀλήθειαν. οἱ δὲ τῆς ἀληθείας ἐχθροί, μᾶλλον δὲ τῆς ἑαυτῶν ζωῆς πολέμιοι, ἀλαζονείαν καὶ τῦφον

A *S. PATRIS NOSTRI Iohannis Archiepiscopi Constantinopolitani, Chrysostomi, In illud Scripturæ dictum;* In qua potestate hæc facis? Matt. XXI. 23.

Humanæ salutis principium est, timor Dei, & cunctorum bonorum nostrorum radix, est Dei lex; neque verò Dei lex absque timore consistit, neque timor absque lege. Nam lex mandatorum, B ministrum habet timorem; timor autem jussorum, judicem habet legem. Qui ergo cum timore accedit ad legem atque ad Deum legis datorem, is inter sanctos versatur, & cum piis conscribitur: contrà qui adversus timorem divinum audax est, & cum arrogantia accedit ad legem divinam; ille gratiâ dignus non censetur, sed à pietate depellitur. Propterea qui timore ac desiderio adeunt legem Dei, cum omni C rectitudine docentur & illuminantur, perque ipsam veritatem erudiuntur in religione. Incurrunt enim in ipsum veritatis fontem, dicentes; *Benedictus es Domine; doce me justificationes tuas.* Ps. CXVIII. 12. Atqui sancti ita religiosi, sic Dei amantes, eo modo ab ipsa ipsam ediscunt veritatem. Sed veritatis inimici, seu potiùs suæ vitæ hostes, superbiam & fastum

A dum præferunt simplicitati, tyrannico habitu veniunt ad pietatis magistrum. Quod sanè fecerunt Judæorum liberi hoc est Judæi, sicut modo ex Evangelicis eloquiis audiistis. Nempe ad Dominum nostrum Jesum, sanctorum regem, in templo versantem, accesserunt in ipso templo, non cum decenti timore, non ut famuli ad dominum, non ut homines ad Deum, sed nec ut discipuli ad doctorem. Hostes veritatis & indagatores malitiæ, B suam ostendentes nequitiam, conabantur humanis ratiocinationibus supramundanam circumvenire sapientiam. *Accesserunt* enim, inquit, *in templo ad Jesum sacerdotes, & seniores populi, dicentes; In qua potestate hæc facis? Et quis tibi dedit hanc potestatem?* O cor timore destitutum! qualia audet, quæ loquitur, quantùm extollitur ad arrogantiam. O pravorum insipientiam! O Servatoris patientiam! hæc eloquitur C lutum, ac figulus sustinet. Elevatur contra opificem creatura, & tolerat beneficus, qui nemini obnoxius est. Rationem & verbum repetunt à Deo Verbo & Ratione, de potestate perscrutantur, quæ est auctoritatis vertex. Opportunè nos Sapientis verba proferamus; O homo, *quid superbis terra & cinis?* Deum interrogas, reposcis ab illo rationem eorum quæ operatur: & audes ita compellare

Ecclesi. x. 9.

A τῆς ἁπλότητος προτιμήσαντες, τυραννικῷ σχήματι προσέρχονται τῷ τῆς εὐσεβείας διδασκάλῳ. ὃ δὴ πεποιήκασιν καὶ Ἰουδαίων παῖδες· ὡς ἀρτίως ἐκ τῶν εὐαγγελικῶν λογίων ἀκηκόατε. τῷ γὰρ κυρίῳ ἡμῶν Ἰησοῦ, τῷ βασιλεῖ τῶν ἁγίων, ἐνδιατρίβοντι ἐν τῷ ναῷ, προσέρχονται ἐν αὐτῷ τῷ ναῷ, οὐ μετὰ τοῦ πρέποντος φόβου, οὐχ ὡς οἰκέται δεσπότῃ, οὐχ ὡς ἄνθρωποι θεῷ, ἀλλ᾽ οὐδὲ ὡς μαθηταὶ διδασκάλῳ. ἐχθροὶ τῆς ἀληθείας καὶ θηρευ- B ταὶ κακίας, τὴν ἑαυτῶν ἐνδεικνύμενοι πονηρίαν, λογισμοῖς ἀνθρωπίνοις ἐπειρῶντο περιγράφειν τὴν σοφίαν τὴν ὑπερκόσμιον. προσῆλθον γὰρ, φησὶν, ἐν τῷ ἱερῷ τῷ Ἰησοῦ, οἱ ἱερεῖς καὶ οἱ πρεσβύτεροι τοῦ λαοῦ, λέγοντες· ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς; καὶ τίς σοι ἔδωκεν τὴν ἐξουσίαν ταύτην; ὢ τῆς ἀφόβου καρδίας· ὅσα τολμᾷ, ὅσα φθέγγεται, ὅσα πρὸς ἀλαζονείαν αἴρεται. ὢ τῆς τῶν πονηρῶν ἀνοίας. ὢ τῆς τοῦ σωτῆρος ἀνε- C ξικακίας. φθέγγεται τοιαῦτα πηλὸς, καὶ ἀνέχεται ὁ πλάστης· ἐπαίρεται κατὰ τοῦ δημιουργοῦ τὸ πλάσμα, καὶ ἀνεξικακεῖ ὁ εὐεργέτης, ὁ ἀνεύθυνος· ἀπαιτοῦσιν [λόγον] παρὰ τοῦ θεοῦ λόγου, καὶ τὴν ἐξουσίαν πολυπραγμονοῦσιν, τὴν κορυφὴν τῆς αὐθεντίας. εἴπωμεν εὐκαίρως καὶ ἡμεῖς τὰ τοῦ σοφοῦ· ὢ ἄνθρωπε, τί ἀλαζονεύει γῆ καὶ σποδός; θεὸν ἐρωτᾷς, καὶ λόγον ἀπαιτεῖς παρ᾽ αὐτοῦ τῶν ἰδίων ἔργων· καὶ τολμᾷς λέγειν πρὸς

τὴν ὑπερκόσμιον ἐξουσίαν, Ἐν ποίᾳ A ἐξουσίᾳ ταῦτα ποιεῖς; διατί δὲ ὅλως αὐτὸν ἐρωτᾷς, καὶ οὐκ αὐτὴν τὴν πραγμάτων τὴν δύναμιν ἐρευνᾷς; ἐξέτασον αὐτὸς ἀκριβῶς ἐν τῷ κρυπτῷ τῆς ψυχῆς βουλευτηρίῳ, τὴν τῶν πραγμάτων φύσιν ἐπισκεψάμενος, εἰ ἀνθρωπίνης ἐστὶν ἐννοίας τὰ γινόμενα, ἢ θείας αὐθεντίας τὰ τοῦ κυρίου κατορθούμενα. ἐρώτησον καὶ φύσεως νόμους, καὶ ἐξουσίας ὅρους, καὶ λογισμῶν ἀκολουθίαν, ποίᾳ ἐξουσίᾳ δύναται νεκροὺς ἐγεῖραι, ἀνθρώπων, ἢ θεοῦ· B τίς δύναται λεπροὺς καθαίρειν, καὶ νόσους ἀπελαύνειν, καὶ πᾶσαν ψυχῶν καὶ σωμάτων ἀρρωστίαν λόγῳ μόνῳ διώκειν· εἶτα, τίς δύναται ἀπὸ πηλοῦ ὀφθαλμοὺς διαπλάσαι, θεὸς, ἢ ἄνθρωπος. διατί μὴ τὴν φύσιν αὐτὴν τῶν πραγμάτων ἐρωτᾷς; ἀλλὰ μετὰ θρασύτητος τὸν ἐργάτην πολυπραγμονεῖς, λέγων· ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς; ἐπαναλαμβάνω γὰρ τὰ ῥήματα πάλιν, τῶν τὰ πάντα ῥαδίως τολμώντων,* τὸν ἀπαιτουμένων C λόγον τὸν τοῦ θεοῦ λόγον, καὶ περιγράφειν λογισμοῖς ἐπιχειρούντων τὸν δρασσόμενον τοὺς σοφοὺς ἐν τῇ πανουργίᾳ αὐτῶν. ὢ τῆς ἀνοίας. θεῷ λόγῳ προσάγουσιν πεῖραν λόγων, ᾧ πᾶσα τέχνη λόγων εὐάλωτος, καὶ πᾶσα λογισμῶν μεμελετημένη πλοκή. τί γὰρ ἀνθρώπινος ἰσχύει λόγος, πρὸς θεὸν λόγον; τί δὲ σεσοφισμένη κακία, πρὸς ὑπερκόσμιον σοφίαν; ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς;

potestatem mundo excelsiorem; *In qua potestate hæc facis?* Verùm cur illum planè interrogas, & non ipsam potiùs rimaris vim rerum? Ipsemet diligenter in occulto animæ consessu perpende, negotiorum naturam explorans, num quæ fiunt, humani consilii sint, vel divinæ auctoritatis præclara Domini facinora. Sciscitare naturæ etiam leges, ac terminos potestatis, seriemque ratiocinationum, quâ potestate suscitare mortuos potest, hominum, an Dei; quis potest leprosos mundare, morbos pellere, omnem animarum corporumque infirmitatem sermone solo abigere: deinde, quis valeat ex luto oculos formare, Deus, aut homo. Quare ipsam rerum naturam non percontaris? at cum temeritate circa opificem curiosus es, dicens; *In qua potestate hæc facis?* Iterum enim verba resumo eorum hominum qui cuncta facilè audent, verbum à Verbo Dei repetunt, & circumscribere rationibus illum conantur, *qui comprehendit sapientes in astutia eorum.* O dementiam! De Deo Verbo in verbis periculum faciunt, à quo omnis verborum ars facilè percipitur, omnisque rationum meditata complexio. Ecquid enim humanum valet verbum in Verbum Deum; quid verò captiosè apparata malitia, in sapientiam mundo superiorem? *In qua potestate hæc facis?*

* f. τῶν

1. Cor. III. 19.

A Interroga Paralyticum, per cujusmodi potestatem, in sanitate ac robore recumbat: interroga miracula, non miraculorum editoris potestatem inquire. Nequaquam vobis respondet divina gratia, indignos responsione judicat malos interrogatores. Ita solet Dei verbum; cùm viderit animam obliquam & perversam, expellit eam veluti gratiâ indignam; quique multa frequenter expetit discere, veritatem non impetrat à veritate. B Rogant Judæi sæpe, ac ne semel quidem discunt, quia malè rogant. Atque adeò ipsorum animas dolore torquebat Servatoris silentium, ut tunc diceret malignum illud concilium; *Quousque animam nostram tollis? si tu es Christus, dic nobis palam.* Verùm neque post hanc vocem illis respondet. quoniam responsione digni non erant qui prava usi fuerant interrogatione. Quid itaque ad C eos Servator? *Dixi vobis, & non audiistis; quid iterum vultis audire? Opera quæ ego facio, hæc testimonium perhibent de me.* Cernis velle eum ut opera interrogentur, non ut de potestate inquiratur? Interrogant Judæi; *Si tu es Christus, dic nobis palam: quousque animam nostram tollis?* nec dat ambiguitati solutionem. interrrogabant enim, non discendi gratiâ, sed accusandi. Porrò Caiphas princeps sacerdotum,

Joh. x. 24.
Joh. ix. 27.
Joh. x. 25.

A ἐρώτησον τὸν παραλυτικόν, διὰ ποίας ἐξουσίας εἰς ῥῶσιν ἀνακλίνεται· ἐρώτησον θαύματα, καὶ μὴ πολυπραγμόνει τοῦ θαυματοποιοῦ τὴν ἐξουσίαν. οὐκ ἀποκρίνεται ὑμῖν ἡ θεία χάρις, ἀναξίους ἀποκρίσεως κρίνουσα τοὺς κακῶς ἐρωτῶντας. τοιοῦτος γὰρ ὁ τοῦ θεοῦ λόγος· ὅταν ἴδῃ ψυχὴν σκολιὰν καὶ διεστραμμένην, ἀποσείεται αὐτὴν ὡς ἀναξίαν τῆς χάριτος· καὶ πολλὰ πολλάκις σπουδάζων μανθάνειν, ἀλήθειαν οὐ τυγχάνει B παρὰ τῆς ἀληθείας. ἐρωτῶσιν Ἰουδαῖοι πολλάκις, καὶ οὐδὲ ἅπαξ μανθάνουσιν, ἐπειδὴ κακῶς ἐρωτῶσιν. εἰς τοσοῦτον αὐτῶν τὰς ψυχὰς ἐβασάνιζεν εἰς ὀδύνην ἡ τοῦ σωτῆρος σιωπή, ὡς εἰπεῖν ποτε τὸ πονηρὸν ἐκεῖνο συνέδριον· ἕως πότε τὴν ψυχὴν ἡμῶν αἴρεις; εἰ σὺ εἶ ὁ Χριστός, εἰπὲ ἡμῖν παρρησίᾳ. ἀλλ' οὐδὲ μετὰ ταύτην αὐτοῖς τὴν φωνὴν ἀποκρίνεται. ἀνάξιοι γὰρ ἦσαν ἀποκρίσεως, οἱ κακῶς ἐρωτῶντες. τί οὖν πρὸς αὐτοὺς C ὁ σωτήρ; εἶπον ὑμῖν, καὶ οὐκ ἠκούσατε· τί πάλιν θέλετε ἀκούειν; τὰ ἔργα ἃ ἐγὼ ποιῶ, ταῦτα μαρτυρεῖ περὶ ἐμοῦ. ὁρᾷς, ὅτι βούλεται τὰ ἔργα ἐρωτᾶσθαι, καὶ μὴ τὴν ἐξουσίαν πολυπραγμονεῖσθαι; ἐρωτῶσιν οἱ Ἰουδαῖοι· εἰ σὺ εἶ ὁ Χριστός, εἰπὲ ἡμῖν παρρησίᾳ· ἕως πότε τὴν ψυχὴν ἡμῶν αἴρεις; καὶ οὐ δίδωσιν τῇ ἀμφιβολίᾳ λύσιν. ἠρώτων γὰρ οὐχ ἵνα μάθωσιν, ἀλλ' ἵνα κατηγορήσωσιν. ὁ δὲ ἀρχιερεὺς Καϊάφας ὁ τοῦ

συναγωγῆς ἐκείνης ἄξιος, εἰς τοσοῦτον ἦλθε μανίας, ὡς εἰπεῖν· ὁρκίζω σε κατὰ τοῦ θεοῦ τοῦ ζῶντος, εἰπὲ ἡμῖν εἰ σὺ εἶ ὁ υἱὸς τοῦ εὐλογητοῦ. ὁ δὲ σωτὴρ διδάσκων ἡμᾶς τοὺς λόγους μετ' εὐλαβείας δέχεσθαι, πρὸς μὲν τὸν ὅρκον ἀποκρίνεται, πρὸς δὲ τὸ ἀμφιβαλλόμενον λύσιν οὐκ ἔδωκεν. εἰπέ, φησὶν, ἡμῖν, εἰ σὺ εἶ ὁ υἱὸς τοῦ εὐλογητοῦ. λέγει πρὸς αὐτὸν ὁ κύριος· σὺ εἶπας. καὶ τὸν ὅρκον ἐτίμησεν ὁμολογήσας, καὶ τὴν κακίαν οὐκ ἐπληροφόρησεν, βδελυξάμενος τὴν πανουργίαν. ἐζήτησαν οἱ Ἰουδαῖοι κακῶς, καὶ ἀποκρίσεως οὐκ ἔτυχον· καὶ μάλα γε εἰκότως· σκολιοὶ γὰρ λογισμοὶ χωρίζουσιν ἀπὸ θεοῦ. οὐκ ἐπέτρεψεν αὐτοῦ τὴν σοφίαν, τοῖς κακῶς τὴν σοφίαν αὐτοῦ πολυπραγμονοῦσιν· εἰς κακότεχνον γὰρ ψυχὴν οὐκ εἰσελεύσεται σοφία. καὶ οἱ μὲν πολλάκις ζητήσαντες, οὐχ εὗρον τὸ ζητούμενον· γυνὴ δέ τις ἀδόλως καὶ γνησίᾳ πίστει προσελθοῦσα, οὐ πειράσασα τὴν ἀκατάληπτον δύναμιν, ἀλλὰ καὶ ἐν ἁπλότητι τῷ κυρίῳ προσελθοῦσα, καὶ ψιλῇ μὲν τῇ λέξει, γνησίᾳ δὲ τῇ πίστει φήσασα πρὸς αὐτόν· οἴδαμεν, * ὅτε ἔλθῃ Μεσίας ὁ λεγόμενος Χριστός· αὐτὸς ἡμῖν ἅπαντα ἀναγγελεῖ· εὐθέως ἤκουσε παρὰ τοῦ ἀγαπῶντος ἁπλότητα· ἐγώ εἰμι ὁ λαλῶν σοι. οὐδέπω ἠρώτησεν, καὶ εὐθέως ἔμαθεν· οὐδέπω τὸν τῆς πίστεως ἔσπειρε λόγον, καὶ εὐθέως τὸν καρπὸν τῆς εὐσεβείας ἐθέρισεν. ἅγιος γὰρ ὁ θεὸς,

A ea congregatione dignus, in tantum prorupit furoris, ut diceret; *Adjuro te per Deum vivum, dic nobis si tu es filius benedicti.* (Matt. XXVI. 63. Marc. XIV. 61.) Verùm Servator, docens nos, sermones cum cautione accipere, ad jusjurandum quidem respondit, dubio autem non dedit solutionem. Ait; *Dic nobis, si tu es filius benedicti.* Et Dominus ad illum; *Tu dixisti.* (Matt. XXVI. 64.) Simul jusjurandum honoravit, confessus; & malitiæ non satisfecit, astutiam abominatus. B Malè quæsierant Judæi; nec responsum tulerunt: meritò sanè. Namque obliquæ cogitationes à Deo separant. Non permisit sapientiam suam iis qui curiosè eam tentabant. *In malevolam enim animam non introibit sapientia.* (Sap. I. 4.) Atque illi post frequentes quæstiones, quod quæsierant nacti non sunt: mulier verò quædam, cùm sine dolo, sincerâ fide accessisset, non ut virtutem quæ capi non potest tentaret, sed & cum C simplicitate Dominum adiisset, dixissetque ad eum dictione quidem tenui, at purâ fide; *Scimus quòd cùm venerit Messias, qui dicitur Christus; ipse nobis annunciabit omnia*: (Joh. IV. 25. 26. * l. ἔτι ὅτε) statim audiit ab amatore simplicitatis; *Ego sum, qui loquor tecum.* Nondum interrogavit, & illico edocta est; nondum fidei sermonem seminavit, & confestim fructum pietatis demessuit. Sanctus quippe Deus,

in simplicibus & sanctis requiescit: quoties aspexerit simplicitatem in accedente, explicat ipse etiam sapientiæ suæ beneficentiam: quoties intuitus fuerit animam malitiâ contortam, beneficentiam continet, nec largitur doctrinam. Audi quid ipse dicat per Moysem; *Si vos ambulaveritis erga me recti, & ego erga vos rectus; si autem* vos obliqui, & ego utar *vobis furore obliquo*. Non quòd rectitudinem suam obliquet divina natura, sed quòd ad malos rectà non tendant quæ ex veritate oriuntur. *In qua potestate hæc facis? aut quis tibi dedit hanc potestatem?* Tum Servator eis. Hoc loco attende, quo pacto omnium Dominus nobis proponat sanctionem ac regulam doctrinæ. Quamnam tandem? Vult nos non cuncta respondere ad interrogationes improborum Hæreticorum, Judæorum, aut Gentilium, vel quorumlibet qui se à pietate disciderunt. Fit enim, fit sæpe, exquisitio rerum quæ responsionem nequaquam mereantur; atque oportet prorsus ad perversas quæstiones hujusmodi, opponere justam interrogationem. Quapropter ait ad eos Dominus; *Interrogabo vos & ego sermonem; quem si dixeritis mihi, & ego vobis respondebo. Johannis Baptismus* inquit *unde erat? è cœlo, an ex hominibus?* Aspice mihi fontem

* f. προΐεται

Levit. XXVI. 3 23 24.

Matt. XXI. 24. 25. 26.

A ἁπλοῖς καὶ ἁγίοις ἐπαναπαυόμενος· ὅταν ἁπλότητα εἴδῃ τοῦ προσερχομένου, ἁπλοῖ καὶ αὐτὸς τῆς ἑαυτοῦ σοφίας τὴν εὐεργεσίαν· ὅταν εἴδῃ διεστραμμένην κακίᾳ ψυχὴν, κωλύει τὴν εὐεργεσίαν, καὶ οὐ * προσίεται τὴν διδασκαλίαν. ἄκουε αὐτοῦ λέγοντος διὰ Μωϋσέως· ἐὰν ὑμεῖς πορεύησθε πρὸς μὲ ὀρθοὶ, κἀγὼ πρὸς ὑμᾶς ὀρθός· ἐὰν δὲ ὑμεῖς πλάγιοι, κἀγὼ γενήσομαι ὑμῖν θυμῷ πλαγίῳ. οὐχ ὅτι τὴν ἑαυτῆς εὐθύτητα B πλαγιάζει ἡ θεία φύσις, ἀλλ' ὅτι τοῖς πονηροῖς κατευθείαν τὰ παρὰ τῆς ἀληθείας οὐκ ἔρχεται. ἐν ποίᾳ ἐξουσίᾳ ταῦτα ποιεῖς; ἢ τίς σοι ἔδωκεν τὴν ἐξουσίαν ταύτην; ὁ δὲ σωτὴρ αὐτοῖς. ἐνταῦθα πρόσεχε, πῶς ὅρον ἡμῖν καὶ κανόνα διδασκαλίας ὑποτίθεται ὁ πάντων κύριος. τίς δὲ οὗτός ἐστιν; βούλεται ἡμᾶς, ὥστε τοῖς πονηροῖς αἱρετικοῖς, Ἰουδαίοις, ἢ Ἕλλησιν, ἢ ἑτέροις τοῖς ἀπεσχισμένοις τῆς εὐσεβείας, μὴ ἀπο- C κρίνεσθαι πάντα πρὸς τὰς ἐρωτήσεις· ἔστιν γὰρ ἔστιν πολλάκις ἐρωτῆσαι ἀποκρίσεως οὐκ ἄξια, καὶ δεῖ πάντως [πρὸς] τὰς φαύλους ταύτας τῶν ἐπερωτήσεων, ἀντερωτήσει δικαίᾳ λέγειν. διὰ τοῦτο, φησὶν πρὸς αὐτοὺς ὁ κύριος· ἐρωτήσω ὑμᾶς κἀγὼ λόγον, ὃν ἂν εἴπητέ μοι, κἀγὼ ὑμῖν ἀποκρινοῦμαι. τὸ Ἰωάννου βάπτισμα, φησὶν, πόθεν ἦν; ἐξ οὐρανοῦ, ἢ ἐξ ἀνθρώπων; ὅρα μοι τὴν πηγὴν τῆς

σοφίας, τῇ ἐπερωτήσει τὸ ψεῦδος ἐ- A
λέγχουσαν. ὅρα μοι τὸν τοῦ θεοῦ λόγον, συλλογισμοῖς τὴν κακίαν ἀνατρέποντα. σκόπησον δὲ καὶ τὴν κακίαν, πῶς τοῖς ἰδίοις ἀναλίσκεται βέλεσιν, καὶ ταῖς οἰκείαις συγκατασπᾶται κακοτεχνίαις. τὸ βάπτισμα Ἰωάννου πόθεν ἦν; ἐξ οὐρανοῦ, ἢ ἐξ ἀνθρώπων; ἐκεῖνοι παρ' ἑαυτοῖς ἐβασάνιζον τοῦ ῥήματος τὴν δύναμιν. καί φησιν· ἐὰν εἴπωμεν, ἐξ οὐρανοῦ, ἐρεῖ ἡμῖν· διατί οὖν μὴ ἐπιστεύσατε; οἶδεν ἡ κακία τὸν ἑαυτῆς ὄλεθρον· οἶδεν ὅτι οἷς περιτείνει, B
τούτοις ἀφανίζεται. ἐπειδὴ μὴ ὑπήκουσαν Ἰωάννου, ἐφοβοῦντο εἰπεῖν, ὅτι ἐκ θεοῦ, ἵνα μὴ παρὰ πόδας ἀκολουθήσῃ ὁ ἔλεγχος. ἐὰν δὲ εἴπωμεν· ἐξ ἀνθρώπων· φοβούμεθα τὸν ὄχλον, μὴ λιθασθῶμεν· καὶ γὰρ ἡ περὶ τὸν δίκαιον πρόληψις, ἀπαραίτητον καθ' ἡμῶν οἴσει τὴν δίκην· πᾶς γὰρ ὁ λαὸς εἶχεν τὸν Ἰωάννην ὡς προφήτην. οὐκ ἠβούλοντο οὖν τὸ ἀληθὲς εἰπεῖν, ὅτι ἐκ θεοῦ· ἀπεσείσαντο γὰρ τὴν θεοῦ τὴν ἀλήθειαν· καὶ τὸ ψεῦδος εἰ- C
πεῖν οὐκ ἐτόλμουν· τὸ γὰρ ἀναισχυντίας δικαστὴν εἶχον τὸν φόβον, καὶ τοῦτον οὐ θεῖον, ἀλλὰ ἀνθρώπινον. καὶ γὰρ οὕτως ἔχει· πολλοὶ πολλάκις θεοῦ φόβον οὐκ ἔχοντες, ἀνθρωπίνῳ φόβῳ δουλεύουσιν. ἐφοβοῦντο τὸν λαόν· εἴθε τὸν θεὸν, καὶ μὴ τὸν λαόν· τὸ μὲν γὰρ εὐσεβεῖν, τὸ δὲ ἀσεβεῖν. λέγουσιν αὐτῷ· οὐκ οἴδαμεν. ὅρα πῶς ἡ κακία τοῖς πονηροῖς ἐμφωλεύει. ὅρα πῶς ἑαυτῆς τὴν

sapientiæ, ut interrogatione mendacium arguat. Vide mihi verbum Dei, quod syllogismis malitiam evertit. Considera & nequitiam, quo modo propriis perimatur jaculis, unaque cum suis pravis artibus divellatur. *Baptisma Johannis unde erat; è cœlo, an ex hominibus?* Illi apud se perpendebant sermonis vim: Et aiunt; *Si dixerimus, è cœlo, dicet nobis; Quare ergo non credidistis?* Novit improbitas exitium suum. Novit per quæ protendit, per ea destrui se. Quia Johanni non obtemperaverant, verebantur dicere, è Deo fuisse, ne vestigio sequeretur reprehensio. *Si autem dixerimus, ex hominibus; timemus turbam, ne lapidemur;* Etenim anticipata de justo opinio, inexorabilem adversùs nos feret sententiam. *Omnis enim populus habebat Johannem sicut prophetam.* Noluerunt ergo verum dicere, quòd ex Deo; abjecerant quippe Dei veritatem: attamen non ausi sunt falsum prædicare; impudentiæ enim judicem sentiebant timorem: illum tamen, non divinum, sed humanum. Siquidem ita habet; multi sæpenumero Dei metu carentes, humano metui serviunt. Timebant plebem; utinam Deum, non plebem; illud namque pietatis est, hoc impietatis. *Dicunt ei; Nescimus.* Cerne uti malitia in improbis latitet. Vide quem ad modum

Luc. xx. 6.
Marc. xi. 33.

suam absurditatem prædicet A
impietas. Nam sicut vipera,
vel quæpiam alia è pessimis
* ςιτο-νομοις bestiis, in cuniculis delitescens,
sensim è specu prodit, nec vult
omni ex parte progredi; ita
Judæi, in antro pravitatis con-
viventes, suam sententiam non
proferunt in lucem. Unde &
Matt. Dominus ad illos; *Nec ego dico*
xxi. *vobis.* Vide ut silentium abso-
27. nam interrogationem castiga-
verit: ut malitiæ non fecerit
satis, sed averterit eos in me-
dio ratiocinationum. Et quod B
Num. olim contigit asinæ Balaami,
xxii. ut nec ad dexteram nec ad sini-
26. stram posset deviare, propter
Angelum qui obvius stabat;
accidit pari modo Judaicæ pra-
vitati, quæ nec ad dexteram
veritatis ausa est prospicere,
ob Servatorem abnegatum,
neque ad sinistram mendacii,
metu plebis. Oportet igitur
nos quoque, fratres, hac re-
gula à Domino accepta, non
omnia interrogationibus Hæ-
reticorum dare. Cùm pravè in- C
terrogaverit Hæreticus, aliâ
vicissim interrogatione eaque
justa solve illi importunam per-
contationem. Sæpe contatur
Hæreticus; Nosti Deum, an
non nosti? Si dixeris; Novi;
inducit statim; Nosti ergo
quod colis? Ita est, inquit pius.
Quis enim sustineat utcumque
dicere; Quod non novi colo?
Iterum subjicit; Nosti ergo
Dei essentiam? Si te scire ne-
gaveris, illicò opponit; Non

A ἀτοπίαν ἡ ἀσέβεια κηρύττει. ὥσπερ γὰρ ἔχις, ἤ τι τῶν πονηροτάτων θηρίων τοῖς * ὑπονόμοις ἐμφωλεῦον, ἠρέμα προκύπτει τῆς καταδύσεως, καὶ πλέον προελθεῖν οὐκ ἐθέλει· οὕτω καὶ οἱ Ἰουδαῖοι, τῷ φωλεῷ τῆς κακίας συζῶντες, εἰς φῶς τὴν ἑαυτῶν οὐ προσφέρουσι γνώμην. διὸ καὶ ὁ κύριος πρὸς αὐτούς· οὐδὲ ἐγὼ λέγω ὑμῖν. ὅρα πῶς ἡ σιωπὴ τὴν ἄτοπον ἐρώτησιν ἐκόλασεν· ὅρα πῶς τὴν κακίαν οὐκ ἐπληροφόρησεν, ἀλλ᾽ ἀπέστησεν
B αὐτοὺς ἐν μέσῳ τῶν συλλογισμῶν. καὶ ὅπερ ἔπαθέν ποτε ἡ ὄνος τοῦ Βαλαάμ, μὴ δυνηθεῖσα ἐκκλῖναι δεξιὰ ἢ ἀριστερὰ, διὰ τὸν ἄγγελον τὸν ἀντιστάντα ταύτῃ· οὕτως ἔπαθεν ἡ Ἰουδαϊκὴ κακία, οὔτε πρὸς τὰ δεξιὰ τῆς ἀληθείας τολμήσασα ἰδεῖν, διὰ τὴν τοῦ σωτῆρος ἄρνησιν, οὔτε πρὸς τὰ ἀριστερὰ τοῦ ψεύδους, διὰ τὸν τοῦ λαοῦ φόβον. δεῖ τοίνυν καὶ ἡμᾶς, ἀδελφοί, τοῦτον τὸν κανόνα παρὰ τοῦ κυρίου λαμβάνοντας, μὴ πάντα ταῖς
C ἐρωτήσεσι τῶν αἱρετικῶν διδόναι. ὅταν κακῶς ἐρωτήσει αἱρετικὸς, ἀντερωτήσει δικαίᾳ λῦσον αὐτῷ τὴν ἄτοπον πεῦσιν. πυνθάνεται πολλάκις αἱρετικός· οἶδας τὸν θεὸν ἢ οὐκ οἶδας; ἐὰν εἴπῃς ὅτι οἶδα, εὐθέως ἐπάγει· οἶδας οὖν ὃ εὐσεβεῖς; ναί φησιν ὁ εὐσεβής. τίς γὰρ ὅπως * ὑπομένει λέγων, ὅτι ὃ μὴ οἶδα σέβω; πάλιν ἐπάγει· οἶδας οὖν τὴν τοῦ θεοῦ τὴν οὐσίαν; ἐὰν εἴπῃς ὅτι οὐκ οἶδα, εὐθέως ἀντιλήψηται· οὐκοῦν

οὐκ

οὐκ οἶδας τί σέβεις. ὅρα μοι τὰ σκολιὰ ῥήματα, ὅρα μοι τῶν πονηρῶν ὄφεων τὰς ποικιλίας. ὁρᾷς· ἀλλ' οὐ δεῖ ταράττεσθαι. ἐκεῖνο γὰρ ἀδελφοὶ εἰδέναι χρὴ, ὅτι τοῦ εἰδέναι πολλοί τρόποι. δύναταί τις εἰδέναι ὅτι ἔστιν θεὸς, οὐ τὸ πῶς ἐστίν. ἐπεὶ καὶ ἐφ' ἡμῶν τῶν ἀνθρώπων, πολλαὶ τῆς γνώσεως ὁδοί. οἶδα τόνδε τὸν ἄνθρωπον ἐν τῇδε τῇ πόλει διάγοντα, οὐ μὴν οἶδα καὶ ποίαν μετέρχεται ἐργασίαν· οἶδα ἕτερον τήνδε μετιόντα τὴν ἐργασίαν, οὐ μὴν οἶδα καὶ πόθεν φέρει τὸ γένος· καὶ μέρει μὲν γινώσκω, μέρει δὲ ἀγνοῶ. καὶ πάντως οὔτε ἡ μερικὴ γνῶσις ὁλόκληρον εἰσάγει γνῶσιν, οὔτε τὸ μὴ κατὰ πάντα γινώσκειν, τὴν μερικὴν ἀναιρεῖ γνῶσιν. τί οὖν; οἶδα τὸν θεὸν, ὅτι ἐστίν, ὅτι ἀγαθός ἐστιν, ὅτι ἀθάνατός ἐστιν, ὅτι ἄφθαρτός ἐστιν, ὅτι ἀπερινόητός ἐστιν, ὅτι ἀκατάληπτός ἐστιν, ἀσώματός ἐστιν, ἀναλλοίωτός ἐστιν. ταῦτα πάντα οἶδα, καὶ εἰδὼς προσκυνῶ. τὸ δὲ πῶς ἐστίν, οὐκ οἶδα· οὐδὲ ἐδιδάχθην πολυπραγμονεῖν τὸ πῶς ἐστίν, ἀλλ' ὅτι ἐστίν. τοῦ γὰρ ἀποστόλου οὐδένα εὑρίσκω μείζονα διδάσκαλον, δυνάμενόν μοι κρείττονα τὴν εὐσέβειαν ὑποτίθεσθαι· ὃς λαμπρᾷ χρησάμενος τῇ φωνῇ, οὑτωσὶ διδάσκει λέγων· πιστεῦσαι γὰρ δεῖ τὸν προσερχόμενον θεῷ, ὅτι ἐστίν· οὐ τὸ πῶς ἐστίν, ἀλλ' ὅτι ἐστίν· καὶ τοῖς ἐκζητοῦσιν αὐτὸν μισθαποδότης γίνεται. ὥστε ὃ οἶδα

A itaque nosti quid colas. Aspice mihi verba contorta; aspice malorum serpentum varietates. Cernis: verùm turbari non oportet. Illud enim, fratres, sciendum est, multos esse sciendi modos. Potest quis scire Deum esse, non quo modo sit. Quandoquidem etiam in nobis hominibus multæ exstant cognitionis viæ. Novi huncce hominem in hacce urbe manere, non tamen simul novi quam artem exerceat: novi alium huic
B operæ deditum, nec unà novi unde genus ducat: & partim cognosco, partem ignoro. In summa, neque particularis cognitio integram inducit cognitionem, neque non omnia cognoscere destruit cognitionem particularem. Quid ergo? Novi Deum, quòd sit, quòd bonus, quòd immortalis, incorruptibilis, mente & cogitatione incomprehensibilis, incorporeus atque inalterabilis. Cun-
C cta hæc novi, & cognoscens adoro. Illud autem, quo modo sit, non novi; neque edoctus sum exquirere quo modo sit, sed quod sit. Neminem sanè invenio majorem magistrum Apostolo, qui mihi possit præstantiorem religionis cultum suppeditare: is clarâ usus voce, ad hunc modum docet dicens; *Credere enim oportet accedentem ad Deum, quia est:* Hebr. XI. 6.
Non, quo modo est, sed *quia est, & inquirentibus se remunerator sit.* Atque adeò quod novi

A colo. Non edoctus sum perscrutari Dei essentiam. Credere didici, fratres: credere, non scrutari. Lege ac recognosce tuam professionem, Hæretice, quam in occulto & tremendo mysterio seu sacramento pactus es: quando accessisti ut baptizareris, quid dixisti? quærensne & curiose indagans, vel credens? Aliter venisti, & cum aliis conditionibus illâ gratiâ dignus habitus es. Ac si hæc sentiens, gratiâ donatus B es, etiam fidem fœderis pactaque violasti; & inter formidabilia quidem tremendaque mysteria fidem obtulisti; extra verò sacramenta constitutus, circumscribis fidem atque affers quæstionem. Attamen vide quid dicat inimicus veritatis; Num enim frustra nobis dedit Deus rationum vim? Num temere accepimus mentis judicandi facultatem? C Oportet rationibus investigare fidem, nec inexploratam manere pietatem. Rectè. Sed disquisitionis limes & norma esse debent, divina Scripturarum oracula, quæque nobis à Numine traditæ sunt religionis regulæ. Tu verò regulas supergrediens, non inhæres divinitus inspiratis Scripturis, sed divinas res curiosè ac temere inquiris, & vim infers veritati, necnon ubique affectas, rationum magis sectari salebras, quàm fidei servire: quasi aliorum peritiam habeas,

A σέβω. οὐκ ἔμαθον οὐσίαν θεοῦ πολυπραγμονεῖν· πιστεύειν ἔμαθον ἀδελφοί· πιστεύειν, οὐ πολυπραγμονεῖν. ἀνάγνωθί σου τὴν ὁμολογίαν αἱρετικὲ, τὴν ἐν τῷ κρυπτῷ καὶ φοβερῷ μυστηρίῳ συμφωνηθεῖσαν· ὅτε προσῆλθες βαπτισθῆναι, τί εἶπες; ζητῶν, * πολυπραγμονείαν ἐρευνῶν, ἢ πιστεύων; ἄλλως ἦλθες, καὶ μετ᾽ ἄλλων συνθηκῶν κατηξιώθης τῆς χάριτος ἐκείνης. εἴ γε κατηξιώσαι τοιαῦτα B φρονῶν, καὶ παρεσπόνδησας τὰς συνθήκας· καὶ ἐπὶ μὲν τῶν φοβερῶν καὶ φρικτῶν μυστηρίων τὴν πίστιν προσήγαγες, ἔξω δὲ τῶν μυστηρίων γενόμενος περιγράφεις τὴν πίστιν καὶ προσφέρεις ζήτησιν. ἀλλ᾽ ὅρα τί φησιν ὁ ἐχθρὸς τῆς ἀληθείας· μὴ γὰρ ἀργῶς ἡμῖν ὁ θεὸς δέδωκεν λογισμούς; μὴ γὰρ ἁπλῶς εἰλήφαμεν τοῦ νοῦ τὸ κριτήριον; δεῖ καὶ λογισμοῖς ἐρευ-C νᾶν τὴν πίστιν, καὶ μὴ ἀνεξέταστον εἶναι τὴν εὐσέβειαν. καλῶς. ἀλλὰ τῆς ἐξετάσεως ὅρον εἶναι * διὰ τὰ θεῖα λόγια, καὶ τοὺς παρ᾽ αὐτοῦ ἡμῖν δοθέντας τῆς εὐσεβείας κανόνας. σὺ δὲ τοὺς κανόνας ὑπερβαίνων, οὐ στοιχεῖς ταῖς θεοπνεύστοις γραφαῖς, ἀλλὰ πολυπραγμονεῖς τὰ θεῖα, καὶ βιάζει τὴν ἀλήθειαν, καὶ πανταχοῦ σπεύδεις καὶ λογισμῶν ἀνωμαλίᾳ μᾶλλον ἀκολουθῆσαι, ἢ πίστει δουλεῦσαι· ὥσπερ τῶν ἄλλων κατειληφὼς τὴν πεῖραν,

* Ἀν πολυπραγμονῶν.

* f. διὰ

ἢ τῶν ἄλλων ἐν πείρᾳ γινόμενος τῶν A
ὁρωμένων. ἀπάγγειλόν μοι λογισμῶν ἀκολουθίᾳ χρησάμενος, πῶς ἕστηκεν ὁ οὐρανὸς, εἰς τοσοῦτον ὕψος, κοιλαινόμενος ἄπειρον, καὶ μηδὲν ἐν τοσαύτῃ περιγραφῇ τὸ ὑπερεῖδον ἔχων· πῶς ἕστηκεν, τίνι βαστάζεται, τίνες αἱ κρηπῖδες ἐφ' ὧν ἐστήρικται, πῶς ἐν τοσούτῳ χρόνῳ οὐ λύεται τὸ κάλλος, οὐκ ἀφανίζεται ἡ ἁρμονία· δεῖξον τοὺς βαστάζοντας κίονας, δεῖξον τὴν ὑποβάθραν τῷ τοσούτοις ὄγκοις ὑποκειμένην. τί δὲ ἐρῶ
B περὶ οὐρανοῦ, καὶ οὐ περὶ γῆς ἣν πατῶ; πρῶτον ἑρμήνευσόν μοι τῆς γῆς τὴν κατάστασιν. ὅτι μὲν γὰρ ἐπὶ ὑδάτων τεθεμελίωται, τοῦτο κἀγὼ παρέλαβον, καὶ αὐτὸς ὁμολογεῖς. πῶς δὲ ἐπὶ τῶν ὑδάτων ἐστήρικται, ἑρμήνευσον. μὴ ἁπλῶς ἀκολουθήσεις τῷ λόγῳ, ἀλλὰ λογισμὸν ἀπόδος τῶν ζητουμένων· πῶς ὄρη τοσαῦτα καὶ τηλικαῦτα, καὶ βουνοὶ καὶ πεδιάδες ἐπὶ ὑδάτων φέρονται. εἰπὲ πῶς ἡ θάλασσα ἀφώρισται· εἰπὲ πῶς ἡ τοσού-
C τοις μαινομένη κύμασιν καὶ εἰς ὕψος ἄπειρον κορυφουμένη, ἐπειδὰν πλησιάσῃ τῇ ψάμμῳ, λύεται, αἰδεῖται τὸν ὅρον τοῦ νομοθέτου. ἑρμήνευσον ἀδελφέ, πῶς μιᾶς γῆς οὔσης, μιᾶς μητρὸς, διάφορα τὰ βλαστήματα· πόθεν αἱ πικραὶ ῥίζαι, πόθεν αἱ γλυκεῖαι· πόθεν τῶν καρπῶν αἱ διαφοραί. μία γῆ βλαστάνουσα, εἷς ὄμβρος ὁ τρέφων, πόθεν ἡ διαφορά. ἑρμήνευσον πόθεν προΐενται αἱ πηγαὶ, καὶ ἐκ

aut aliorum, quæ nempe cernuntur, experientiâ gnarus sis. Renuncia mihi, ordine rationum usus, quo pacto cœlum stetit, in tanta altitudine, concavum in immensum, & nihil in tanto ambitu pro sustentaculo habens; quo modo constitit, quonam gestatur, quæ fundamenta sint quibus innititur; quâ ratione per tantum tempus non dissolvitur ejus pulcritudo, non perit concentus: ostende portatrices columnas, ostende basim tantæ moli subjectam. Et quid de cœlo loquor, non autem de terra quam calco? Primùm declara mihi terræ constitutionem. Quod enim super aquas fundata sit, hoc & ego accepi, & tu fateris. At quo modo super aquas firmata sit, exponе. Non simpliciter accipe sermonem, sed rationem redde quæsitorum: quo pacto tot tantique montes, colles & valles, ferantur super aquas. Dic, ut mare separatum fuerit: dic quonam modo tantis fluctibus furens, & in immensam celsitudinem elevatum, quando appropinquaverit arenæ, solvitur, veretur terminum legislatoris. Interpretare frater, cur una cùm sit terra, unius matris diversa sint germina: unde amaræ radices, unde dulces: unde fructuum varietates: una terra germinat, unus imber alit; unde differentia. Edissere, undenam prodierint fontes, ex

Ps. xxiii. 2.

quibus abyssis: qua ratione hæc A
possint comprehendi. Verùm
quando de his dubitaverimus,
unam habemus veram piam-
que dubiorum solutionem. At-
que beatus David cecinit, ita
Ps. loquens; *Quia rectum est ver-*
xxxii. *bum Domini, & omnia opera*
4. *ejus in fide.* Opera sine fine
comprehendere non datur, &
Deus sine fide inveniri poterit?
opera *non* sine fide, & Filius
in demonstratione. *Quia re-*
ctum est verbum Domini, & B
omnia opera ejus in fide. Atqui
nos relictis hostibus veritatis,
ad sanam tutamque fidei *cogni-*
tionem redeamus, ostendamus-
que regulam pii cultûs, ipsâ
veritate refulgentem. Nullus
inter veteres Moyse fide di-
gnior; nemo inter posteriores
Paulo sapientior. Quære per
totum antiquæ legis statum,
neminem reperies Mose ma-
Ex. jorem; *Novi* enim *te, & in-*
xxxiii. *venisti gratiam pre omnibus.*
12. 17. Nullus Paulo perfectior in no- C
Act. ix vo Testamento. *Vas* enim est
15. electionis, Christumque habet
II. Cor. in seipso loquentem. Noli
xiii. 3. transgredi Mosis & Pauli ter-
minos. Quid invenit Moyses,
comprehensionem essentiæ, vel
gloriam Dei? Moyses, fratres,
desiderio Dei correptus est, ut
homo Dei amans; & nescivit
quidem, se rei impossibilis de-
siderio teneri, attamen per ea
quæ petiit à Deo, quod cu-
Ex. piebat patefecit. Quid enim
xxxiii. ait? *Oro Domine, si inveni*
13.

A ποίων ἀβύσσων· πῶς ταῦτα δυνατὸν
καταλαβεῖν. ἀλλ' ὅταν περὶ ταῦτα
ἀπορήσωμεν, ἔχομεν μίαν ἀληθῆ
καὶ εὐσεβῆ τῶν ἀπορουμένων τὴν
λύσιν. καὶ ὁ μακάριος Δαβὶδ ἐμε-
λώδησεν ᾠδὴν ἔπη λέγων· ὅτι εὐθὺς ὁ
λόγος τοῦ κυρίου, καὶ πάντα τὰ
ἔργα αὐτοῦ ἐν πίστει. τὰ ἔργα ἄνευ
πίστεως οὐκ ἔστιν καταλαβεῖν, καὶ
θεὸν ἄνευ πίστεως εὑρεῖν δυνατόν;
τὰ ἔργα ἄνευ πίστεως, καὶ ὁ υἱὸς
B ἐν ἀποδείξει. ὅτι εὐθὺς ὁ λόγος τοῦ
κυρίου, καὶ πάντα τὰ ἔργα αὐτοῦ
ἐν πίστει. ἀλλὰ γὰρ τοὺς ἐχθροὺς τῆς
ἀληθείας ἀφέντες ἡμεῖς, ἐπὶ τὴν *
ὑγιῆ καὶ ἀσφαλῆ τῆς πίστεως ἐπανέλ-
θωμεν, καὶ δείξωμεν τὸν κανόνα τῆς εὐ-
σεβείας, δι' αὐτῆς τῆς ἀληθείας ἐκ-
λάμποντα. οὐδεὶς Μωϋσέως ἐν τοῖς
ἀρχαίοις ἀξιοπιστότερος· οὐδεὶς Παύ-
λου ἐν τοῖς νέοις σοφώτερος. ἐρεύνη-
σον τὴν παλαιὰν κατάστασιν, καὶ Μωϋ-
σέως οὐδένα μείζονα εὑρήσεις· ἔγνων
C γάρ σε, καὶ εὗρες χάριν παρὰ πάντας.
οὐδεὶς Παύλου ἐν τῇ νέᾳ τελειότε-
ρος· σκεῦος γάρ ἐστιν ἐκλογῆς, καὶ
λαλοῦντα ἔχων ἐν ἑαυτῷ τὸν Χρι-
στόν. μὴ ὑπερβῇς τοῦ Μωϋσέως ὅ-
ρους, καὶ τοῦ Παύλου. τί εὗρεν
Μωϋσῆς, κατάληψιν οὐσίας, ἢ δό-
ξαν θεοῦ; Μωϋσῆς, ἀδελφοί, ἦλ-
θεν εἰς ἐπιθυμίαν θεοῦ, ὡς ἄνθρω-
πος φιλόθεος· καὶ ἠγνόησεν μὲν,
ὅτι ἀδύνατον ἐπεθύμει· ὅμως δὲ δι'
ὧν ᾔτησεν τὸν θεὸν, ἔδειξεν. τί γάρ
φησιν; δέομαι κύριε, εἰ εὕρηκα

χάριν ἐνώπιόν σου, γνωστῶς ἴδω σε, A ἐμφάνισόν μοι σεαυτόν. ἀδελφὸς ἦν οὗτος τοῦ Φιλίππου τοῦ λέγοντος· δεῖξον ἡμῖν τὸν πατέρα, καὶ ἀρκεῖ ἡμῖν. κύριε, σὺ εἶπας, ὅτι εὗρες χάριν ἐνώπιόν μου, ἐμφάνισόν μοι σεαυτὸν, ὅπως γνωστῶς ἴδω σε. εἶδεν μὲν γὰρ αὐτὸν καὶ ἐπὶ τῆς βάτου, εἶδεν αὐτὸν καὶ ἐκ τοῦ ὄρους Σινᾶ, εἶδεν αὐτὸν καὶ ἐκ διαφόρων ἐπιφαινέντα τόπων, καὶ διαφόρως τὴν ἐπιφάνειαν αὐτοῦ ἐνδειξάμενον. ἀλλ' ὁ μακάριος ἐκεῖνος Μωϋσῆς, αὐτὸν ἰδεῖν ἐπόθει τῆς φύ- B σεως τὸν χαρακτῆρα. ἄνθρωπος ὢν, ἀνθρώπινα περὶ τῆς ὑπερκοσμίου δυνάμεως ἐφαντάζετο. ὁ δὲ θεὸς, τὸν μὲν πόθον τοῦ πιστοῦ θεράποντος ἐδέξατο. πείθει τὴν ἀνθρωπίνην ὄρεξιν τῶν ἀδυνάτων ἐπιθυμοῦσαν. τί γάρ φησιν πρὸς αὐτόν; οὐδεὶς ὄψεται τὸ πρόσωπόν μου καὶ ζήσεται. * οὐχ ὁρεῖ ποθούμενον ἡ τῶν ποθούντων δύναμις, οὐ φέρει θνητὴ ὄψις τὴν ἀθάνατον φύσιν. τί οὖν ὦ δέσποτα, καταλιμπάνεις τὸν πόθον ἀπαραμύθητον, καὶ C οὐδὲ σκιὰν παρέχεις τῆς ἐπιθυμίας τῷ φανταζομένῳ τοσοῦτον πόθον; ὅθεν φησίν· τίθημί σε εἰς τὴν πέτραν, καὶ σκεπάζω τῇ χειρί μου· καὶ ἐν τῷ παρέρχεσθαι τὴν δόξαν μου, ὄψῃ τὰ ὀπίσθια· τὰ δὲ ἔμπροσθια οὐκ ὄψῃ. ἐν τῷ παρέρχεσθαι, οὐκ εἶπεν ἐμὲ, ἀλλὰ τὴν δόξαν μου. οὐ γάρ ἐστιν ὑπερβάντα τὴν δόξαν, οὐσίαν εὑρεῖν. Μωϋσῆς οὐδὲν εὗρεν πλέον δόξης, καὶ ταύτην οὐκ ἴδεν εἰς ὁλόκληρον, ἀλλὰ τὰ νῶτα·

gratiam in conspectu tuo, manifestè videam te, ostende mihi temetipsum. Frater erat is Philippi, dicentis; *Ostende nobis Patrem, & sufficit nobis.* (Ioh. XIV. 8.) *Domine, tu dixisti, Invenisti gratiam in conspectu meo: Ostende mihi temetipsum, ut manifestè videam te.* Vidit quidem eum in rubo, vidit eum ex monte Sina, vidit ex diversis locis apparentem, & variis modis indicantem de apparitione sua, & adesse se. Sed beatus ille Moses, ipsam videre gestiebat naturæ formam. Homo qui erat, humana de virtute altissima imaginabatur. Deus verò ardorem fidelis famuli acceptavit. Flectit humanum affectum impossibilia cupientem. Quid enim ait ad ipsum? *Nemo videbit faciem meam, & vivet.* (Ex. XXXIII. 20.) Non capit eum qui exoptatur exoptantium potestas, (* ὑχορῶ) ferre non potest mortalis intuitus naturam immortalem. Quid ergo Domine, relinquis sine solatio amorem, nec vel umbram exhibes desiderii ei qui tantam cupidinem mente concepit? Unde ait; *Pono te in petra, & protego manu mea: & cùm transibit gloria mea, videbis posteriora; anteriora vero non videbis.* (Ex. XXXIII. 22. 23.) Non dixit, *cùm transibo*, sed *cùm transibit gloria mea.* Non enim licet, supergrediendo gloriam, essentiam reperire. Moyses nihil plus gloriâ invenit, neque eam ex integro vidit sed dorsum;

A non quòd dorso & pectore delineata sit divina natura, quæ simplex est & compositionis expers, verùm quia Deus eo modo se notum facit, nequaquam juxta decentem ipsum dignitatem, sed secundùm eorum vim qui visione fruituri sunt. Moses ad gloriam pertigit, nec gloriam est supergressus. Ac tu Hæretice, gloriam transcendis, Dei essentiam investigas? Jam veniamus ad beatum Paulum. Paulus in nova novi B Testamenti constitutione, dum incumberet in contuitum particularium quarumdam dispositionum Dei, velut profundo cogitationis vertiginem passus, in magnam illam & admiratione plenam prorupit vocem; atque hoc pacto loquitur;

Rom. xi. 33. 34. 35. 36.

O altitudo divitiarum sapientiæ & scientiæ Dei; quàm incomprehensibilia sunt judicia ejus, & investigabiles viæ ejus. Quis enim cognovit sensum Domini? aut quis consiliarius ejus fuit? Aut quis prior dedit C *illi, & retribuetur ei?* Finisque sermonis; *Quoniam ex ipso & per ipsum & in ipso sunt omnia: ipsi gloria in sæcula.* Vides quòd ad gloriam Dei cùm venisset, terminum non excessit. Quid porrò de hominibus loquor? Cogitatione ascende ad cœlestia. Interroga cœlos, & dicito; Quidnam mihi de Deo potestis annunciare? Cœli narrate mihi, qualis sit Deus? renunciate mihi

οὐχ ἐπειδὴ νώτοις καὶ στήθεσι διαγέγραπται ἡ θεία φύσις· ἁπλῆ γάρ ἐστιν καὶ ἀσύνθετος· ἀλλ' ἐπειδὴ ὁ θεὸς ἑαυτὸν οὕτως γνωρίζει· οὐ κατὰ τὴν αὐτῷ πρέπουσαν ἀξίαν, ἀλλὰ κατὰ τὴν δύναμιν τῶν μελλόντων ἀπολαύειν τῆς ὄψεως. Μωϋσῆς δόξαν ἔφθασεν, καὶ τὴν δόξαν οὐχ ὑπερέβη· σὺ δὲ αἱρετικὲ, τὴν δόξαν ὑπερβὰς, οὐσίαν θεοῦ πολυπραγμονεῖς; ἔλθωμεν καὶ ἐπὶ τὸν μακάριον Παῦλον. Παῦλος ἐν τῇ νέᾳ καταστάσει, ἐγκύψας μερικαῖς τισὶν οἰκονομίαις τοῦ θεοῦ, καὶ ὥσπερ ἰλιγγιάσας τὰ βάθη τῆς ἐννοίας, τὴν μεγάλην ἐκείνην καὶ ἐκπλήξεως γέμουσαν ἀνεβόησεν φωνὴν, ὧδέ πῃ λέγων· ὦ βάθος πλούτου σοφίας καὶ γνώσεως θεοῦ· ὡς ἀνεξερεύνητα τὸ κρίματα αὐτοῦ, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ. τίς γὰρ ἔγνω νοῦν κυρίου; ἢ τίς σύμβουλος αὐτοῦ ἐγένετο; ἢ τίς προέδωκεν αὐτῷ, καὶ ἀνταποδοθήσεται αὐτῷ; καὶ τὸ τέλος τοῦ λόγου· ὅτι ἐξ αὐτοῦ καὶ δι' αὐτοῦ καὶ εἰς αὐτὸν τὰ πάντα· αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας. ὁρᾷς ὅτι εἰς τὴν δόξαν ἐλθὼν τοῦ θεοῦ, τὸν ὅρον οὐχ ὑπερέβη. καὶ τί περὶ ἀνθρώπων λέγω; ἀνάβηθι πρὸς τὰ ὑπερκόσμια τῇ ἐννοίᾳ. ἐρώτησον τοὺς οὐρανοὺς, καὶ εἰπέ· τί μοι περὶ θεοῦ ἀναγγέλλειν δύνασθε; οὐρανοὶ διηγήσασθέ μοι ποταπὸς ὁ θεός; ἀπαγγείλατέ μοι

τί ἐστιν οὐσίᾳ ὁ θεός; ἀλλ' οὐκ ἀποκρίνονται οἱ οὐρανοί, περὶ τῶν ἀδυνάτων ἐρωτώμενοι· ἀλλὰ κἂν ταῦτα τολμηρῶς ἐπερωτήσῃς, ἀποκριθήσεται διὰ τοῦ θαυμασίου Ἱερεμίου, τὸ θεῖον ἐκεῖνο λόγιον· ἔφριξεν οὐρανὸς ἐπὶ τοῦτο. φρίττει γὰρ οὐρανὸς ἀληθῶς, ὅταν ἴδῃ τὴν θείαν πολυπραγμονουμένην φύσιν. ἀντικρούσει δὲ καὶ ὁ μακάριος Δαβίδ, τὴν ἄμετρον πολυπραγμοσύνην κολάζων, καὶ ἐρεῖ· οὐκ ἤκουσας, ὅτι οἱ οὐρανοὶ διηγοῦνται φύσιν θεοῦ, ἀλλὰ δόξαν θεοῦ. οὐκ αὐτός σοι διὰ τῆς ἁγίας κιθάρας ἀνεβόησεν, ὅτι οἱ οὐρανοὶ διηγοῦνται δόξαν θεοῦ, οὐ φύσιν θεοῦ; οὐκ οὐσίαν ἑρμηνεύουσιν, ἀλλὰ δόξαν θεοῦ ἀναγγέλλουσιν. ἀλλὰ μὴ νομίζῃς τὰς ὑπερκοσμίους δυνάμεις εἰδέναι τι πλέον. ἐρώτησον ἀγγέλους· ἐρώτησον λέγω· οὐκ ἐπειδὴ ἐπιτέτραπταί σοι προσομιλεῖν ταῖς ἄνω δυνάμεσιν, ἀλλ' ἐπειδὴ ἐκ τῆς γραφῆς ἔχεις τὰ φάρμακα, καὶ τὰ ἐπιστομίζοντά σου τὴν θρασύτητα. ἐρώτησον τοὺς ἀγγέλους· ἐρώτησον ὅταν ἴδῃς αὐτοὺς ἐπὶ γῆς χορεύοντας ἢ ἀνυμνοῦντας. εἰπὲ αὐτοῖς· τί καινὸν διδάσκετε; τί ξένον ἀπαγγέλλετε; καὶ εὐθέως ὁ θεῖος χορὸς ἀποκριθήσεταί σοι, διὰ τῶν θείων εὐαγγελίων· δόξα ἐν ὑψίστοις θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία. ἦλθον ἐπὶ γῆς ἄγγελοι, καὶ τῆς δόξης τοὺς ὅρους οὐχ ὑπερέβησαν· καὶ αἱρετικοὶ

A quid ſit eſſentiâ Deus? Verùm nequaquam reſpondent cœli, qui de impoſſibilibus interrogantur: ſed ſi hæc confidenter quæſieris, reſpondebit per admirandum Hieremiam, divinum illud oraculum; *Inhorruit cælum ſuper hoc.* Verè enim horret cœlum, ubi viderit divinam naturam indagari. Sed & contrà pulſabit beatus David, immodicam curioſitatem puniendo, dicetque; Non audiiſti, quòd *cæli enarrant* naturam B Dei, ſed, *gloriam Dei.* Nonne ipſe tibi per ſanctam citharam proclamavit; *Cæli enarrant gloriam Dei;* non naturam Dei? Non eſſentiam declarant, ſed gloriam Dei annunciant. Cæterùm nolim exiſtimes cœleſtes altiſſimaſque virtutes quidpiam magis cognoſcere. Interroga Angelos. Dico, Interroga; non quòd tibi conceſſum ſit ſupernis cum virtutibus congredi; ſed quia habes ex C Scripturis remedia, quæque audaciam tuam reprimant dum in verba prorumpit. Interroga Angelos: interroga, cùm videris eos in terra choros ducere, aut hymnos decantare, dic illis; Quid novi edocetis? quid inauditi denunciatis? Atque illico divinus cœtus reſpondebit tibi, per ſacra Evangelia; *Gloria in altiſſimis Deo, & in terra pax, in hominibus bona voluntas.* Venerunt Angeli in terram, & gloriæ fines non ſunt tranſgreſſi: ex adverſo

Ier. II. 12.

Pſ. XVIII. 1.

Luc. II. 14.

A hos transgredi Hæretici non eunctari sunt. Sed num forte supremæ virtutes, quæ super Angelos sunt? Virtutes, inquam, Archangelorum: sunt nempe naturæ illæ discretæ. Pete à Cherubinis, regiâ sede:

Ps. LXXIX. 2. *Qui sedes super Cherubim, manifestare.* Postula à Cherubinis, tamquam throno

Ezech. X. 1. & I. 26. 24 sapphirino; *Et in throno sedentem, velut similitudinem filii hominis. Et vox facta est Cherubinorum, quasi aquarum*

Ezech. III. 12. *multarum, clamans;* B *Benedicta glor a Domini de loco suo.* Vides Cherubinorum reverentiam? pervenerunt ad gloriam, & intra terminum manserunt. *Benedicta gloria Domini.* Quo modo? *De loco suo.* Ut ostenderetur tibi, quod & in cœlestibus locis commoratur, & multum supereminet excelsiorem cœlestium ac invisibilium virtutum dignitatem. Non loquuntur, quasi propè stantes, sed ut longè dissiti à divina majestate. C *Bened cta gloria Domini de loco suo.* Non quia locum habet: nam omnem locum concludit; sed locum Dei vocat, circumsistentem majestatem. Percepistin Cherubinorum vocem? *Benedicta gloria Domini.* Et nihil amplius denunciaverunt. Oportet scilicet te circùm adstantem, nosse

Is. VI. 2. Dei nuncia. *Nam Seraphim stabant in circuitu ejus.* Quid ergo à vobis discemus? Nolite prohibere. Verùm illa pariter

A τούτους ὑπερβαίνειν οὐκ ὤκνησαν. ἀλλὰ μή τι αἱ ἀνωτάτω δυνάμεις αἱ ὑπὲρ τοὺς ἀγγέλους; λέγω δὴ αἱ τῶν ἀρχαγγέλων· εἰσὶν γὰρ ἐκεῖναι φύσεις διακεκριμέναι. ἐρώτησον τὰ Χερουβὶμ, τὸν βασιλικὸν θρόνον· ὁ καθήμενος ἐπὶ τῶν Χερουβὶμ, ἐμφάνηθι. ἐρώτησον τὰ Χερουβὶμ ὡς θρόνον σαπφείρινον, καὶ ἐν τῷ θρόνῳ καθήμενον, ὡς ὁμοίωμα υἱοῦ ἀνθρώπου. καὶ φωνὴ ἐγένετο τῶν Χερουβὶμ, ὡς ὑδάτων B πολλῶν, βοῶσα· εὐλογημένη ἡ δόξα κυρίου ἐκ τοῦ τόπου αὐτῆς. ὁρᾷς καὶ τῶν Χερουβὶμ τὴν εὐλάβειαν; ἔφθασεν εἰς δόξαν, καὶ οὐχ ὑπερέβη τὸν ὅρον. εὐλογημένη ἡ δόξα κυρίου· καὶ πῶς; ἐκ τοῦ τόπου αὐτῆς. ἵνα δείξῃ σοι ὅτι καὶ ἐν τοῖς οὐρανίοις τόποις αὐλίζεται, καὶ πολὺ ὑψηλοτέραν τῶν οὐρανίων δυνάμεων καὶ ἀοράτων ὑπέρκειται τὴν ἀξίαν. οὐ φθέγγονται ὡς πλησιάζοντες, ἀλλ᾽ ὡς πόρρω ἀφεστηκότες τῆς θείας C ἀξίας. εὐλογημένη ἡ δόξα κυρίου ἐκ τοῦ τόπου αὐτῆς. οὐχ ὅτι τόπον ἔχει· πάντα γὰρ περιγράφει τόπον· ἀλλὰ τόπον θεοῦ καλεῖ τὴν περὶ αὐτὸν ἀξίαν. εἶδες τῶν Χερουβὶμ τὴν φωνήν; εὐλογημένη ἡ δόξα κυρίου. καὶ οὐδὲν πλέον ἀνήγγειλεν. δεῖ γάρ σε κύκλῳ παρεστῶτα, εἰδέναι τὰ τοῦ θεοῦ καταγγέλια. τὰ γὰρ Σεραφὶμ εἱστήκει κύκλῳ αὐτοῦ. τί τοίνυν μαθεῖν ἔστιν παρ᾽ ὑμῶν; μὴ κωλύσητε. ἀλλ᾽ ἐρεῖ

κἀκεῖνα,

A κἀκεῖνα, ὅτι κἂν ὑπερέχωμεν τὴν ἀξίαν, ἀλλ' ἐπιγινώσκομεν ἡμῶν τῆς φύσεως τοὺς ὅρους, καὶ οὐχ ὑπερπηδῶμεν τὰ μέτρα τῆς γνώσεως· οὐ πολυπραγμονοῦμεν ἡμῶν τὸν κτίσαντα· οὐ περιεργαζόμεθα τὸν τιμήσαντα· οἴδαμεν τὴν ἀκατάληπτον φύσιν, ὅτι οὐχ ὑποβάλλεται * ζήτησιν, οὐ δουλεύει λογισμῶν ἀκολουθείαις· ὑπερέχει πᾶσαν ὁμοῦ τὴν ἀγγελικὴν κατάστασιν, καὶ ὑπερκόσμιον ἔννοιαν, καὶ B πᾶσαν ὑπερουράνιον δύναμιν ἡ δόξα τοῦ προσκυνουμένου. Διὰ τοῦτο καὶ ἡμεῖς οὐχ ὑπερβαίνομεν τοὺς ὅρους. οὐχ ὑπερέβη τὰ * Χερουβίμ, ἀλλὰ μετὰ πάσης εὐλαβείας, τὸν οὐράνιον ἐκεῖνον ὕμνον ἀναμέλπει· ἅγιος, ἅγιος, ἅγιος, κύριος Σαβαώθ, πλήρης πᾶσα ἡ γῆ τῆς δόξης αὐτοῦ. οὐ δυσωπεῖ σε Παῦλος, καὶ Μωϋσῆς, δόξαν μὴ ὑπερβαίνοντες; δυσωπήσει σε ὁ οὐρανὸς, δόξαν ἀπαγγέλλων. ἀλλ' οὐ πείθει σε ὁ C οὐρανός; δυσωπήσουσιν ἄγγελοι. ἀλλ' ἀγγέλων καταφρονεῖς; φοβήθητι τὰ Χερουβίμ. ἀλλὰ καὶ ταῦτα ὑπερβαίνεις τῇ τόλμῃ; σωφρονιζέτω σε τὰ Σεραφίμ. ἀλλ' οὔτε ὑπερκοσμίοις, οὔτε ὑποδείγμασιν ἐπιγείοις πείθῃ; ἐκτὸς γενοῦ τῶν ἱερῶν χορῶν· ἐξόρισον σεαυτὸν τῶν θείων αὐλῶν· οὐ δύνῃ γὰρ θεὸν πολυπραγμονεῖν, καὶ ἐν τοῖς πιστοῖς ἀριθμεῖσθαι. καὶ τί λέγω περὶ θεοῦ; οὐκ οἶδας ὅτι φοβερὸν

dicent; quamvis antecellamus dignitate, agnoscimus tamen naturæ nostræ fines, neque transiliemus modos cognitionis: non negotiosè nimium inquirimus de creatore nostro, non curiosiùs perpendimus de exornatore: novimus incomprehensibilem naturam, quòd quæstionibus non subjiciatur, non serviat ratiocinationum consequentiis. Omnem simul Angelicum consessum, & supramundanam intelligentiam, universamque supercœlestem virtutem, illius superat gloria qui adoratur. Quapropter nos quoque non præterimus terminos. Non præterierunt Seraphimi, sed cum omni veneratione, cœlestem illum hymnum modulantur; *Sanctus, Sanctus, Sanctus, Dominus Sabaoth; Plena est omnis terra gloriâ ejus.* Non pudore te afficit Paulus, & Moyses, qui gloriam non transgrediuntur? afficiet cœlum; quod gloriam annunciat. Sed nec persuadet tibi cœlum? flectent Angeli. Ast Angelos despicis? reformida Cherubinos. Hos quoque audaciâ prætergrederis? te Seraphini refrenent. Verùm nec cœlestibus, nec terrestribus exemplis persuaderi potes? extra sis sacros choros; relega temetipsum à divinis aulis. Neque enim potes Deum perscrutari, atque inter fideles recenseri. Et quid dico de Deo? Nescis formidabile esse, audaciâ.

* f. ζητήσει

* f. Σεραφίμ

Isai. 6. 3.

uti ac scrutatione erga Dei na- A
turam? neque vel ipsa opera
Dei si volueris curiosiùs rimari,
dignum te putabit Deus
suâ familiaritate, sed longè
propellet, ut qui impossibilia
aggrediaris. Moyses talis tantusque
vir, tot miraculorum
editor, qui mediator exstitit
Dei & hominum, cui mare divisum
est, qui manna è cœlis
deduxit; hic, ubi unum ex
Dei jussis ausus fuit humanâ
ratione metiri, nec divinæ concessit
potentiæ, inexorabilem B
mulctam incurrit. Ut enim pervenit
ad petram, dixit ad po-
Num. pulum; *Popule dure & incre-*
xx 10. *dule; num de petra hac potero*
12. *vobis dare aquam?* Et quid ad
ipsum Deus? *Pro eo quod non*
glorificasti me coram Synagoga,
non ingredieris in terram quam
juravi. Hoc in loco mentem
mihi diligenter adhibe; *Pro eo*
quod non glorificasti me. Quid
erat, glorificare? Dicere; Omnia
potest Deus. Nam peccatum
est in Deum, rationibus C
examinare quæ ab eo fiunt, &
non divinæ virtuti permittere,
quæ super omnia operatur quæ
Ps. cv. sua sunt. Apologiam instituit
33. David pro Moyse, ut lapso,
non mente, sed linguâ. Siquidem
justorum delicta, in lingua
sunt; impiorum crimina,
in mente. Ac sicut impius,
mente quidem, à Deo sejungitur,
videtur tamen quodam-
Is. modo ratione labiorum pro-
xxix. ximare ei. Nam *Populus hic*,
13.

A τὸ κατατολμᾶν καὶ ἐρευνᾶν θεοῦ φύσιν; οὐδὲ αὐτὰ τὰ ἔργα τοῦ θεοῦ ἂν θέλῃς πολυπραγμονῆσαι, ἄξιόν σε ὁ θεὸς ἡγεῖται τῆς ἑαυτοῦ οἰκειότητος, ἀλλ' ἐκβάλλει μακρὰν ὡς τῶν ἀδυνάτων κατατολμῶντα. Μωϋσῆς ὁ τοιοῦτος καὶ τηλικοῦτος ἀνήρ, ὁ τῶν τοσούτων θαυμάτων ἐργάτης, ὁ γενόμενος μεσίτης θεοῦ καὶ ἀνθρώπων, ᾧ διῃρέθη θάλασσα, ὁ τὸ μάννα ἐξ οὐρανοῦ ἐπαγαγὼν οὗτος, ἕν τι τῶν ὑπὸ θεοῦ κελευσθέντων τολμήσας ἀνθρωπίνῳ B λογισμῷ μετρῆσαι, καὶ μὴ τῇ θείᾳ δυνάμει παραχωρῆσαι, ἀπαραίτητον ἔσχε τὴν δίκην. ὡς γὰρ ἔφθασεν ἐπὶ τὴν πέτραν, λέγει πρὸς τὸν λαόν· ὦ λαὸς σκληρὸς καὶ ἀπειθής, μὴ ἐκ τῆς πέτρας ταύτης δυνήσομαι ὑμῖν δοῦναι ὕδωρ; καὶ τί πρὸς αὐτὸν ὁ θεός; ἀνθ' ὧν οὐκ ἐδόξασάς με ἐνώπιον τῆς συναγωγῆς, οὐκ εἰσελεύσῃ εἰς τὴν γῆν ἣν ὤμοσα. ἐνταῦθά μοι πρόσεχε τὸν νοῦν ἀκριβῶς· ἀνθ' ὧν οὐκ ἐδόξασάς με. τί γὰρ ἦν τὸ δοξάσαι, τὸ εἰπεῖν· πάντα δύναται ὁ C θεός. ἁμαρτία γάρ ἐστιν εἰς θεόν, τὸ λογισμοῖς ἐξετάζειν τὰ παρ' αὐτοῦ γινόμενα, καὶ μὴ τῇ θείᾳ δυνάμει παραχωρεῖν, ὑπὲρ πάντα τὰ ἑαυτῆς ἐργαζομένῃ. ἀπολογεῖται Δαβὶδ ὑπὲρ Μωϋσέως σφαλέντος, οὐ διανοίᾳ, ἀλλὰ γλώττῃ. τῶν γὰρ δικαίων τὰ ἁμαρτήματα περὶ τὰ χείλη· τῶν δὲ ἀσεβῶν τὰ ἀδικήματα περὶ τὴν διάνοιαν. καὶ ὥσπερ ὁ ἀσεβής, ἀπεσχοίνισται μὲν τῇ διανοίᾳ, δοκεῖ δέ πως πλησιάζειν τῷ θεῷ περὶ τὰ χείλη. ὁ λαὸς γὰρ οὗτος,

τοῖς χείλεσίν με τιμᾷ, ἡ δὲ καρδία A αὐτοῦ πόῤῥω ἀπέχει ἀπ' ἐμοῦ. οὕτως ὁ εὐσεβὴς ἐῤῥωμένην ἔχων τὴν καρδίαν, ὀλισθαίνει πολλάκις περὶ τὴν γλῶσσαν. διὰ τοῦτο ὁ Δαβὶδ ἀπολογεῖται ὑπὲρ Μωϋσέως, προφήτης ὑπὲρ προφήτου. καὶ παρώργησαν αὐτὸν ἐφ' ὕδατος ἀντιλογίας, καὶ ἐκακώθη Μωϋσῆς δι' αὐτούς· οὐ δι' ἑαυτόν. τί δέ ἐστιν τὸ, δι' αὐτούς; οὐ παρὰ τὴν ἰδίαν γνώμην τὴν ἀπιστίαν ἔδειξεν, ἀλλὰ θολωθεὶς ὑπὸ τῆς ἀντιλογίας τοῦ λαοῦ, οὐκέτι εὗρεν τὸν λο- B γισμὸν καθαρὸν, ὡς ἐν συγχύσει. ταῦτα ἐλάλησα τὰ ὑπὸ τοῦ ἐργαστηρίου τῆς ἀδικίας προσφερόμενα. ποῦ ἤκουσας ἀγέννητον καὶ γεννητόν; ποῦ ἤκουσας τὰς ξένας ἐκείνας * τὰς * πολυμανοῦς καὶ πολυφαντάστους διαλέκτους; περιεγράφη τὰ τοῦ πνεύματος, καὶ ἀντεισήχθη τὰ τοῦ διαβόλου. εἰ ταῦτα ζητεῖς, Παῦλον διὰ τί ἐπιγράφει διδάσκαλον; εἰ ταῦτα πολυπραγμονεῖς, Πέτρον τί σεμνύνει ἔχειν; ἄρνησαι τὴν πίστιν, καὶ C προσένεγκε ζήτησιν; ἀλλ' οὐκ ἀναχωρῶ, φησὶν, τῆς γραφῆς· μὴ γένοιτο. ἐχθρὸς καὶ * * * μαθητὴς καὶ λογισμῶν εἰσηγητής; ἑρμήνευσόν μοι λογισμοῖς δουλεύσας, πῶς ὁ σωτὴρ κεκλεισμένων τῶν θυρῶν εἰσῆλθεν; τίς χρεία περὶ τὰ ἄλλα ἀσχολεῖσθαι; πολλάκις γὰρ ζημίαν καὶ τοῖς λέγουσιν καὶ τοῖς ἀκούουσιν φέρει. οὐ λέγω, περὶ τῆς ἀοράτου φύσεως ἑρμήνευσον πῶς ἐγέννησεν ὁ πατὴρ, τίς ὁ τῆς

labiis me honorat, cor autem ejus longè est à me. pari modo pius firmo corde præditus, sæpe linguâ labitur. Ideo David excusat pro Moyse, propheta pro propheta. *Et irritaverunt eum ad aquam contradictionis, & vexatus est Moyses propter eos:* non propter semetipsum. Quid autem sibi vult illud, *propter eos?* Non ex proprio animi motu incredulitatem exhibuit; sed conturbatus ex contradictione populi, non ampliùs mentem nactus est puram, quasi in confusione. Hæc prolocutus sum, quæ ab iniquitatis officina proferuntur. Ubi audivisti Genitum & Ingenitum? Ubi accepisti inauditas illas plenas insaniæ & inanitatis dictiones? Circumscripta sunt illa Spiritûs, & in locum eorum introducta hæc Diaboli. Si ista quæris, Paulum quare tibi vindicas doctorem? Ista si perscrutaris, Petrum quid gloriaris habere? Nega fidem, & profer quæstionem? Sed non recedo, à Scriptura, inquit; absit. Inimicus & * * * discipulus, & rationum inductor? Explica mihi ratiocinationi serviliter addictus, quo pacto Servator clausis janius ingressus fuerit? Quid opus circa alia occupari? Sæpe enim tum dicentibus tum audientibus detrimentum inferunt. Non dico, De invisibili natura expone; quo modo genuit Pater, quis

Ps. cv. 32.

* f. τὰς πολυμανεῖς

Desunt quinque lineæ.

Ioh. xx. 26.

divinæ cognitionis modus. A Dispensationis humanæ rationem reposco. Dic, quo modo januis clausis ingressus est Servator; quo modo corpus introiit. Inficiatur natura corporis * * * Evangelia.

Desunt 5 lineæ.

Si fidem sequar, veritas est certissima. Qua ratione ingressus est januis clausis? Non enim erat incorporea natura, quæ omnia corpora secat & penetrat; sed erat unà cum incorporea corpus; idque erat incorporeæ naturæ organum ac instrumentum. Hoc quippe corpus humanum habuit Servator. B Denique discipuli ad novitatem & magnitudinem miraculi respicientes, putaverunt spiritum esse; quia corporis naturam superabat objectum. * * * Ait ad ambigentes; *Palpate me, & cernite; quia spiritus carnem & ossa non habet, sicut me videtis habere.*

Desunt lineæ 5. Luc. XXIV. 39.

Quo modo ingressus est? Ergo asseres instar aeris dissoluti sunt? Aut potiùs corpus tenue factum est, sicque permeavit ligni crassitudinem? C Sed neque tu dicere potes, neque ego explanare valeo. Nihil horum mihi tradidit Scriptura: non mihi negotium facesso. Quæ prædicavit sequor, etiam nolens. Quòd introierit, credo; at quo modo, non perquiro. Noli existimare *** *Clausis* januis ingressus est. Non dixit; Rarefactâ aut resolutâ portâ ingressus est; sed, *januis clausis*. Rem gestam celebravit;

Desunt lin. 5.

θείας γεννήσεως τρόπος. τὸν τῆς οἰκονομίας ἀπαιτῶ. εἰπὲ πῶς θυρῶν κεκλεισμένων εἰσῆλθεν ὁ σωτήρ· πῶς εἰσῆλθεν τὸ σῶμα. ἡ τοῦ σώματος φύσις ἀρνεῖται * * * τὰ εὐαγγέλια. ἐὰν τῇ πίστει ἀκολουθήσω, ἡ ἀψευδὴς ἡ ἀλήθεια. πῶς εἰσῆλθεν κεκλεισμένων τῶν θυρῶν; οὐ γὰρ ἦν ἡ ἀσώματος φύσις, ἡ πάντων τὰ σώματα τέμνουσα· ἀλλ' ἦν μετὰ τῆς ἀσωμάτου τὸ σῶμα· καὶ τοῦτο ἦν τῆς ἀσωμάτου φύσεως ὄργανον. τοῦτο γὰρ εἶχεν τὸ σῶμα τὸ ἀνθρώπινον ὁ σωτήρ. ἀμέλει γοῦν, οἱ μὲν μαθηταὶ πρὸς τὸ ξένον τοῦ θαύματος ἀποβλέποντες, ἐνόμισαν πνεῦμά ἐστιν· ἐπειδὴ τὴν τοῦ σώματος φύσιν ἐνίκα τὸ προκείμενον. ὁ * * * μει, λέγει πρὸς ἀμφιβάλλοντας· ψηλαφήσατέ με, καὶ βλέπετε, ὅτι πνεῦμα σάρκα καὶ ὀστέα οὐκ ἔχει, καθὼς ἐμὲ θεωρεῖτε ἔχοντα. πῶς εἰσῆλθεν; ἆρα αἱ σανίδες δίκην ἀέρος διελύθησαν; ἀλλ' ἆρα τὸ σῶμα ἐλεπτιώθη, καὶ οὕτως διῆλθεν τὴν τοῦ ξύλου παχύτητα; ἀλλ' οὔτε σὺ δύνῃ εἰπεῖν, οὔτε ἐγὼ ἑρμηνεῦσαι ἰσχύω. οὐδέν μοι τούτων παρέδωκεν ἡ γραφή· οὐ πολυπραγμονῶ. οἷς ἐκήρυξεν ἀκολουθῶ, κἂν μὴ θέλω· ὅτι εἰσῆλθεν, πιστεύω· τὸ δὲ πῶς οὐ πολυπραγμονῶ. μὴ νομίσῃς * * * τῶν θυρῶν εἰσῆλθεν. οὐκ εἶπεν, ἀραιωθείσης ἢ διαλυθείσης τῆς θύρας εἰσῆλθεν, ἀλλὰ κεκλεισμένων. τὸ γεγονὸς ἐκήρυξεν·

τίς ὁ τρόπος τοῦ γεγονότος οὐκ ἔδειξεν. A ἐξῆλθεν Πέτρος ἀπὸ φυλακῆς, ἀλλ' ἠνοίχθησαν αὐτῷ αἱ πύλαι, καὶ ἡ γραφὴ ἐπεσημήνατο λέγουσα, ὅτι ἡ σιδηρᾶ πύλη αὐτομάτη ἠνοίγη αὐτοῖς. οὐκ εἶπεν, αὐτομάτη ἐδέξατο Πέτρον διερχόμενον· ἀνθρώπινον γὰρ ἦν τὸ σῶμα, καὶ ἐξ ἀνθρωπίνου φυράματος. τὸ δὲ τοῦ Χριστοῦ, ἀνθρώπινον μὲν, διὰ τὴν πρὸς ἡμᾶς συγγένειαν· θεῖον δὲ, διά τε τὴν πρὸς τὸν θεὸν λόγον ἕνωσιν, καὶ διὰ τὴν ξένην ὠδῖνα τῆς παρθένου. πῶς εἰσῆλθεν κεκλεισμένων τῶν B θυρῶν; πῶς ἀνῆλθεν κεκλεισμένων οὐρανῶν; ὢ τῆς ἀτοπίας τῶν ταῦτα τολμώντων. ὢ τῆς εὐσεβείας τῶν πάντα πιστευόντων. ἀλλὰ τί φησιν ὁ ἀντιλέγων; οὐχ εὑρίσκομεν τὴν πίστιν ἀσφαλῆ πανταχοῦ. εὕρομεν καὶ διολισθαίνουσαν· οὐ δεῖ πιστεύειν ἀνεξετάστως, ἀλλὰ μετ' ἀκριβοῦς ἐξετάσεως. πολλὰ δὲ συντρέχουσιν αὐτοῖς τῶν ἔξω· ἀδελφὰ γὰρ τὰ φρονήματα, καὶ τῶν αἱρετικῶν καὶ τῶν Ἑλλήνων· κἀκεῖνα τῶν δαιμόνων εὑρέσεις, καὶ C ταῦτα τῶν δαιμόνων διδασκαλίαι. λέγουσιν οὖν τινὲς τῶν ἀντιπιπτόντων τῇ πίστει, ὅτι τὸ ἀλόγιστον αὐτῆς βλαβερόν· κἂν μὴ ἐξητασμένος λογισμὸς συνημμένος ᾖ τῇ πίστει, οὐδαμοῦ κέρδος φέρει τῷ πιστεύοντι. πόθεν γάρ φησιν ἐξετάσαι βούλει τῆς πίστεως τὴν φύσιν; θέλεις ἄνωθεν ἐξ αὐτῆς, φησὶν, τῆς δημιουργίας; ζήτησον ὃν λέγετε πρωτόπλαστον· εὑρίσκω ἀπὸ

quis modus actæ rei, non patefecit. Exiit Petrus è carcere; sed apertæ sunt ei portæ; & Scriptura indicavit, dicens; *Porta ferrea ultro aperta est eis.* *Act.* Non dixit; Ultro suscepit Pe- XII. 10. trum transeuntem atque penetrantem: quia corpus erat humanum & ex humana massa. Corpus verò Christi, humanum est quidem, ob cognationem quam nobiscum contraxit; divinum verò, cùm propter unionem cum Deo verbo, tum propter admirabilem Virginis partum. Quonam modo ingressus est januis clausis? Quonam modo ascendit clausis cœlis? O temeritatem talia audentium? O pietatem cuncta credentium! Sed quid opponit adversarius? Non invenimus fidem ubique tutam esse; reperimus & collapsam: credere citra examen non oportet, sed cum diligenti disquisitione. Multa porrò externa iis concurrunt; sunt enim velut fraterna, sensa Hæreticorum ac Gentilium; tum illa, dæmonum inventa sunt, tum hæc dæmonum documenta. Dicunt igitur nonnulli ex iis qui fidei resistunt, noxium esse in ipsa quod rationis expers sit, ac nisi cum fide conjungatur explorata ratio, nequaquam lucrum afferre credenti. Unde enim, inquit, examinare vis naturam fidei? Visne inquit, ab alto, ex ipsa mundi creatione? Inquire de eo quem vocatis protoplastum. Invenio cecidisse

illum ob fidem. Intuere mali A dæmonis verba, nihil non audentis facilè aggredi, qualia audet, cujusmodi loquitur, quæ obtendit. Ait; vos affirmatis dixisse ei serpentem; *Quocumque die comederitis, eritis sicut Dii, scientes bonum & malum.* (Gen. III. 5.) Credidit serpenti; cùm credidisset, periit. Principium ergo malorum est fides. Hæc ad nos illi, veritatis inimici, pietatis religionisque hostes. Ignorant impii veram fidei definitionem, nesciunt quid objiciant. B Non enim nos asserimus, quemcumque qui cuilibet credit, habere fidem, ac fidelem declarari; neque eum qui obvio cuique credit, fidelem esse, sed qui verè credit Deo. Anne ostendisti, *Adamum* ubi credidit Deo, periisse? Diabolo credens, cecidit; Deo fidem non habens, lapsus est. Cur pervertis orationem? Audi Hieremiam dicentem; *Audite me qui odio habetis judicium, qui omnia recta pervertitis.* (Imò Mich. III. 9.) At C verò dicere oportuit; Principium malorum, incredulitas. Nam si credidisset Deo aienti, *Quocumque die comederitis, morte moriemini;* (Gen. II. 17.) non fuisset prolapsus; sed habuisset fidem, tutam fidem ad salutem. Noli umquam fidei nomen calumniari: non enim qui omni credit, ille fidelis, sed qui Deo credit, is solus est atque dicitur. Relinque quæstiones, amplectere fidem. Fides omnia

πίστεως πεσόντα. βλέπε τοῦ πονηροῦ δαίμονος τὰ ῥήματα, τοῦ πάντα τολμῶντος ῥᾳδίως ἐπιχειρεῖν, οἷα τολμᾷ, οἷα φθέγγεται, οἷα προτείνει. ὑμεῖς λέγετε, φησὶν, ὅτι ὁ ὄφις εἶπεν αὐτῷ· ᾗ ἂν ἡμέρᾳ φάγησθε, ἔσεσθε ὡς θεοὶ γινώσκοντες καλὸν καὶ πονηρόν. ἐπίστευσεν τῷ ὄφει, πιστεύσας ἀπώλετο. ἀρχὴ οὖν τῶν κακῶν, πίστις. ταῦτα πρὸς ἡμᾶς ἐκεῖνοι, οἱ τῆς ἀληθείας ἐχθροὶ, οἱ τῆς εὐσεβείας πολέμιοι. ἀλλ' ἠγνόησαν οἱ ἀσεβεῖς, τὸν ἀληθῆ τῆς πίστεως ὅρον· οὐκ οἴδασιν ὃ προτείνουσιν. μὴ γὰρ ἡμεῖς λέγομεν, ὅτι πᾶς ὁ παντὶ πιστεύων, ἐκεῖνος πίστιν ἔχει, καὶ πιστὸς ἀναγορεύεται· οὐχ ὅτι ὁ πιστεύων τῷ τυχόντι, πιστὸς, ἀλλ' ὁ θεῷ πιστεύων ἀληθινῶς. μὴ γὰρ ἔδειξας, ὅτι θεῷ πιστεύσας ἀπώλετο; διαβόλῳ πιστεύσας ἔπεσεν, θεῷ ἀπιστήσας ὀλίσθησεν. τί διαστρέφεις τὰ ῥήματα; ἄκουε Ἱερεμίου λέγοντος· ἀκούσατέ μου οἱ μισοῦντες κρίσιν, οἱ πάντα τὰ ὀρθὰ διαστρέφοντες. καὶ μὴν ἐχρῆν εἰπεῖν· ἀρχὴ τῶν κακῶν, ἀπιστία. εἰ γὰρ ἐπίστευσεν θεῷ λέγοντι· ᾗ ἂν ἡμέρᾳ φάγησθε, θανάτῳ ἀποθανεῖσθε, οὐκ ἂν ὀλίσθησεν· ἀλλ' εἶχεν ἂν τὴν πίστιν, πίστιν ἀσφαλῆ πρὸς σωτηρίαν. ποτὲ μὴ διάβαλε τὸ ὄνομα τῆς πίστεως· οὐ γὰρ ὁ παντὶ πιστεύων, πιστὸς, ἀλλ' ὁ θεῷ πιστεύων, οὗτος μόνος καὶ ἔστι καὶ λέγεται. κατάλειπε ζητήσεις, καὶ ἄσπασαι πίστιν. πίστις πάντα

A φωτίζει, πίστις πάντα ἁγιάζει, πίστις πνεύματος ἁγίου καταξιοῖ. Στέφανος γὰρ πλήρης πίστεως καὶ δυνάμεως. εἰ μὴ προέλαμπεν ἡ πίστις, δύναμις οὐκ ἠκολούθει τῷ ἁγίῳ. ὅπου πίστις, ἐκεῖ καὶ δύναμις· ὅπου ἀπιστία, ἐκεῖ καὶ ἀσθένεια. ἀρχὴ τῶν ἀγαθῶν, πίστις· πηγὴ τῶν ἀγαθῶν, πίστις. λάβωμεν τὸ ὅπλον τῆς σωτηρίας. τί λέξεσιν δουλεύεις, καὶ τὴν ἀλήθειαν φεύγεις; διατί προσφέρεις ἃ μὴ τολμᾷ μήτε τῶν ἀγγέλων φύσις ἐρευνῆσαι; τί λέγω ἡ τῶν ἀγγέλων φύσις;

B ἃ μήτε δαίμονες τολμῶσιν. οὐ θέλεις ἀκολουθῆσαι Πέτρῳ; οὐ θέλεις ἀκολουθῆσαι Παύλῳ; οὐ τοῖς ἀγγέλοις; οὐ τοῖς Χερουβίμ; οὐ τοῖς Σεραφίμ; γενοῦ κἂν μαθητὴς τῶν δαιμόνων. εἶδον οἱ δαίμονες τὸν σωτῆρα, καὶ λέγουσιν αὐτῷ· ἔα, τί ἡμῖν καὶ σοὶ υἱὲ τοῦ θεοῦ; οἱ δαίμονες υἱὸν ὁμολογοῦσιν, καὶ σὺ αἱρετικὲ βλασφημεῖς; δαίμονες ἴσον ποιοῦσιν, καὶ σὺ τὴν ἀνισότητα κατασκευάζεις; καὶ τί ποιήσω, φησὶν ὁ αἱρετικός, τῷ κυρίῳ λέγοντι· ἵνα γινώ-

C σκωσίν σε τὸν μόνον ἀληθινὸν θεόν. μόνον εἶπεν, μόνον ἐκήρυξεν τὸν ἀληθινὸν θεὸν τὸν πατέρα. στοιχῶ τῇ ἀληθείᾳ, τῇ παρὰ θεοῦ κατηγγελμένῃ. τῇ φωνῇ τοῦ μόνου ἀκολουθεῖς, καὶ τῇ λέξει δουλεύεις; τήρει μοι τοὺς ὅρους ἐπὶ τῶν ἐξεταζομένων. λέγει ὁ θεὸς διὰ τοῦ προφήτου· ἐγώ εἰμι πρῶτος, καὶ ἐγὼ μετὰ ταῦτα, καὶ ἕτερος πλὴν ἐμοῦ οὐκ ἔστιν δίκαιος καὶ σωτὴρ

illustrat, fides omnia sanctificat, fides Spiritu sancto dignatur. *Stephanus* enim *plenus fide* Act. vi.
& fortitudine. Nisi præluxisset 8.
fides, fortitudo & potentia secuta non fuisset in sancto. Ubi fides, ibi & vis seu fortitudo: ubi incredulitas, illic imbecillitas. Principium bonorum, fides; fons bonorum fides. Sumamus salutis armaturam. Cur dictionibus famularis, & veritatem refugis? Quare profers ea quæ ne Angelorum quidem natura audet investigare? Quid inquam, Angelorum natura? quæ neque Dæmones audent. Non vis sequi Petrum? Non vis sequi Paulum? Non Angelos? Non Cherubinos? non Seraphinos? Esto saltem dæmonum discipulus. Viderunt dæmones Salvatorem, ac dicunt
ei; *Ah, quid nobis & tibi Fili* Marc. i.
Dei? Dæmones Filium confi- 24. v.
tentur; & tu Hæretice blasphe- 7.
mas? Dæmones æqualem fa- Matt. viii.
ciunt; tu verò inæqualitatem 29.
adornas? Sed quid faciam, inquit Hæreticus, Domino pro-
nuncianti; *Ut cognoscant te so-* Joh.
lum verum Deum. Solum di- xvii. 3.
xit; solum prædicavit verum Deum, Patrem. Insisto veritati per Deum annunciatæ. Vocem Solius sectaris, & inservis dictioni? Custodi mihi terminos rebus in examen vocatis præscriptos. Dicit Deus per
prophetam; *Ego sum primus,* Is. xliv.
& ego post hac, & alius præter 6. xlv.
me non est; justus & salvator 21. 22. 23.

A *præter me non est; & convertimini ad me, & salvi eritis, ab extremis terræ. Ego sum Deus, & non est alius. Per memetipsum juro. Ego primus, & ego post hæc.* atque intulit; *Et non est alius præter me.* Aspicite quemadmodum significet solitariam naturam, quæ nihil habeat commune cum alia sejuncta natura. Dicit porrò hæc Deus; *Ego sum, & non est alius:* qui ait per prophetam; *Extendi cœlum solus.* Attende tu

Is. XLIV. 24. voci, *solus*: quandoquidem B profers, *solum verum Deum. Extendi cœlum solus.* Consimilique modo hìc, *Ego sum, & non est alius: per memetipsum juro.* Attende pariter ad auctoritatem & potentiam ejus qui loquitur, quòd dixit, *Non est alius*; & *Solus sum*; & hoc, *Per memetipsum juravi*: atque indicat neminem majorem esse se loquente. Unde ait Aposto-

Hebr. VI. 13. lus; *Quoniam neminem habuit, per quem juraret, majorem, juravit per semetipsum.* Non ha- C bet ergo majorem, qui dicit,

Is. XLV. 23 24. *Per memetipsum juro; si quidem egredietur de ore meo ju-*

* In LXX μὴ *stitia; sermones mei non avertentur.* Et quid juras? *Quia mihi curvabitur omne genu, & omnis lingua confitebitur Deum verum.* Quis hæc edisserit, Hæretice? Pater, an Filius? Apud me fidelem, cunctosque pios, Patris est majestas, & Filii auctoritas. Hoc enim observes velim, multa eorum quæ

πάρεξ ἐμοῦ οὐκ ἔστιν· καὶ ἐπιστράφητε πρός με, καὶ σωθήσεσθε, ἀπ' ἐσχάτων τῆς γῆς. ἐγώ εἰμι θεὸς, καὶ οὐκ ἔστιν ἄλλος. κατ' ἐμαυτοῦ ὀμνύω· ἐγὼ πρῶτος, καὶ ἐγὼ μετὰ ταῦτα. καὶ ἐπήγαγεν· καὶ οὐκ ἔστιν ἕτερος πλὴν ἐμοῦ. βλέπετε πῶς δεικνύει μεμονωμένην φύσιν, μηδὲν ἔχουσαν κοινὸν πρὸς ἑτέραν ἀπεσχοινισμένην φύσιν. λέγει δὲ ταῦτα ὁ θεός· ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ἄλλος· ὁ διὰ τοῦ προφήτου λέγων· ἐξέτεινα τὸν οὐρανὸν μόνος. πρόσεχε σὺ εἰς τὸ μόνος· ἐπειδὴ προφέρεις τὸν μόνον ἀληθινὸν θεόν. ἐξέτεινα τὸν οὐρανὸν μόνος. καὶ ἐνταῦθα ὁμοίως, τὸ ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ἄλλος· κατ' ἐμαυτοῦ ὀμνύω. πρόσεχε καὶ τῇ αὐθεντίᾳ καὶ τῇ δυνάμει τοῦ λέγοντος, ὅτι εἶπεν, οὐκ ἔστιν ἄλλος· καὶ τὸ, μόνος εἰμὶ, καὶ τοῦτο, καθ' ἑαυτοῦ ὤμοσα· καὶ μηνύει μὴ εἶναί τινα μείζονα αὐτοῦ λαλοῦντος. ὥστε καὶ ὁ ἀπόστολός φησιν· ἐπεὶ κατ' οὐδενὸς εἶχεν μείζονος ὀμόσαι, καθ' ἑαυτοῦ ὤμοσεν. οὐκ ἔχει οὖν μείζονα, ὁ λέγων, κατ' ἐμαυτοῦ ὀμνύω· εἰ * μὴν ἐξελεύσεται ἐκ τοῦ στόματός μου δικαιοσύνη· οἱ λόγοι μου οὐκ ἀποστραφήσονται. καὶ τί ὀμνύεις; ὅτι ἐμοὶ κάμψαι πᾶν γόνυ, καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται τὸν θεὸν τὸν ἀληθινόν. τίς ὁ ταῦτα λέγων αἱρετικέ; ὁ πατὴρ, ἢ ὁ υἱός; παρ' ἐμοὶ τῷ πιστῷ, καὶ παντὶ εὐσεβεῖ, τοῦ πατρὸς ἡ ἀξία, καὶ υἱοῦ ἡ αὐθεντία. ἐκεῖνο γὰρ ἔχε παρατετηρημένον, ὅτι πολλὰ τῶν λεγομένων

παρ'

A παρ' ἡμῖν, ἀγωνιστικῶς κηρύττεται, οὐ δογματικῶς. ἐμοὶ ἕστηκεν ἐῤῥωμένον τὸ δόγμα τῆς εὐσεβείας, καὶ παντὶ πιστῷ, ὅτι ὅπου μόνος διαλέγεται πατὴρ, συμπαρείληπται καὶ ὁ υἱὸς, καὶ τὸ πνεῦμά * σου τὸ ἅγιον. ὅπου υἱὸς διαλέγεται, πατρὸς αὐθεντία· ὅπου πατὴρ αὐθεντεῖ, υἱοῦ ἐξουσία· ὅπου τὸ πνεῦμα τὸ ἅγιον ἐνεργεῖ, τοῦ πατρὸς ἡ ἐνέργεια. οὐ τέμνεται τῆς ἁγίας τριάδος ἡ δόξα· ἐπειδὴ οὐ τέμνεται τὸ δόγμα τῆς ἀληθείας. μὴ ὁμολόγει μίαν βασιλείαν. B ἐπειδὴ τὸν ἐχθρὸν γυμνάζω, ταῦτά μοι εἴρηται· ἵνα μηδέ τινες τῶν διαβάλλειν φιλούντων εἴπωσιν· ὅρα πῶς εἶπεν. ὅτι πάντα τοῦ υἱοῦ ἐστιν· καὶ ὁ υἱὸς φθέγγεται· καὶ ἀπέδειξεν μὲν ἀλλοτρίαν τὴν προφητείαν τοῦ πατρὸς, ἰδίαν δὲ τοῦ υἱοῦ. ἕστηκέν μοι ἀσάλευτος ὁ ὅρος τῆς πίστεως· ἀγών ἐστιν τὸ γυμναζόμενον. δείκνυμι ἐνταῦθα τὸν υἱὸν φθεγγόμενον· καὶ ὅταν σε πείσω, τότε ἐμαυτὸν πείθω, πατέρα λαλοῦντα, υἱὸν κηρύττοντα, τὸ πνεῦ- C μα τὸ ἅγιον θεσπίζον· ἐγὼ πρῶτον, ἐγὼ καὶ μετὰ ταῦτα, καὶ πλὴν ἐμοῦ θεὸς οὐκ ἔστιν· κατ' ἐμοῦ ὀμνύω. τίς ἐστιν ὁ λέγων, ὅτι ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ἄλλος· καὶ ὅτι ἐκ στόματός μου ἐξελεύσεται δικαιοσύνη· καὶ οἱ λόγοι μου οὐκ ἀποστραφήσονται· ὅτι ἐμοὶ κάμψει πᾶν γόνυ, καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται τὸν θεὸν τὸν ἀληθινόν. πῶς τίθης τὸ ῥῆμα; εἰς τίνα ἐκλαμβάνεις τὸ ὄνομα; ἀλλὰ

dicimus, agonisticè prædicari, non dogmaticè, decertandi studio, non docendi. Mihi validum stat dogma pietatis, & cuilibet fideli, quòd ubi solus disserit Pater, simul comprehenditur Filius, simul & Spiritus sanctus. *f. vacat.* Quoties disserit Filius, Patris est auctoritas: quoties Pater auctoritatem exerit, Filii est potestas; quoties efficit Spiritus sanctus, Patris est efficacia. Non scinditur sanctæ Trinitatis gloria: quoniam non scinditur doctrina veritatis. Ne confitearis unum regnum. Hæc à me dicta sunt, quia hostem velut in certamine exerceo; ne fortè nonnulli eorum qui calumniis gaudent dicant; Vide quid locutus fuerit. Quoniam universa sunt Filii; & Filius loquitur; & ostendit quidem alienam esse prophetiam à Patre, propriam verò Filii. Constitit mihi inconcussa fidei meta; certamen est ista exercitatio. Demonstro hoc in loco Filium loqui; cúmque tibi persuasero, tunc mihi persuadebo, Patrem loqui, Filium prædicare, Spiritum sanctum sancire; *Ego primùm, ego & post hæc, & præter me Deus non est; per me juro.* Quis est qui dicit; *Ego sum, & non est alius; & de ore meo egredietur justitia; & sermones mei non avertentur; quia mihi curvabit omne genu, & omnis lingua confitebitur Deum verum.* Quo modo ponis dictum? In quem assumis nomen? Verùm

neque tu eloquere quæ nescis, A neque ego quod non novi edico. Sequamur magistrum spiritualem, qui nos deducere valeat ad pietatem. Ne igitur ex me audias, sed audi mecum. Ego Ecclesiasticorum decretorum Paulum novi doctorem. Cùm Paulum dixero, Christum prædico; ipse enim erat qui in Paulo loquebatur; juxta illud

II. Cor. XIII. 3. dictum; *An experimentum quæritis ejus, qui in me loquitur Christus?* Hanc itaque prophetiam Esaiæ priùs recitatam, *Ego* B *sum, & non est alius;* & *Per memetipsum juro, quia mihi curvabitur omne genu, & omnis lingua confitebitur Deum verum;* Paulus de Christo accipit. Et ubi hanc invenis demonstrationem? Scribens ad

Rom. XIV 10. 13 11. Romanos ait; *Tu autem quid judicas fratrem tuum? aut & tu quare spernis fratrem tuum? cur invicem judicatis? Omnes enim stabimus ante tribunal Christi. Scriptum est enim; Vivo ego, dicit Dominus, quo-* C *niam mihi flectetur omne genu, & omnis lingua confitebitur Deum verum.* Ille qui ait; *Ego sum, & non est alius; per memetipsum juro; quia mihi curvabitur omne genu.* Si ergo Paulus ad Christum refert prophetiam; qui autem apud prophetam loquitur Christus est; dicit verò Christus; *Ego sum solus, & non est alius;* itaque Patrem ejicit divinitate? Atqui si non ejicit;

* *f. infer. ei*

μήτε σὺ φράζε ἃ μὴ οἶδας, μήτε ἐγὼ ἐπαγγέλλομαι ἃ μὴ ἐπίσταμαι. ἀκολουθήσωμεν διδασκάλῳ πνευματικῷ, δυναμένῳ ἡμᾶς στοιχῆσαι πρὸς εὐσέβειαν. μὴ τοίνυν ἄκουε παρ' ἐμοῦ, ἀλλ' ἄκουε μετ' ἐμοῦ. ἐγὼ τῶν ἐκκλησιαστικῶν δογμάτων τὸν Παῦλον οἶδα διδάσκαλον. ὅταν Παῦλον εἴπω, Χριστὸν κηρύττω· αὐτὸς γὰρ ἦν ὁ ἐν Παύλῳ φθεγγόμενος· κατὰ τὸ εἰρημένον· εἰ δοκιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ. ταύτην τοίνυν τὴν προφητείαν Ἠσαΐου τὴν προειρημένην, τὸ Ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ἄλλος· καὶ κατ' ἐμαυτοῦ ὀμνύω· ὅτι ἐμοὶ κάμψει πᾶν γόνυ, καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται τὸν θεὸν τὸν ἀληθινόν· Παῦλος εἰς Χριστὸν ἀναλαμβάνει. καὶ ποῦ ταύτην εὑρίσκεις τὴν ἀπόδειξιν; ἐπιστέλλων Ῥωμαίοις φησίν· σὺ δὲ τί κρίνεις τὸν ἀδελφόν σου; ἢ καὶ σὺ τί ἐξουθενεῖς τὸν ἀδελφόν σου; τί ἀλλήλους κρίνετε; πάντες γὰρ παραστησόμεθα τῷ βήματι τοῦ Χριστοῦ. γέγραπ- C ται γάρ· ζῶ ἐγὼ, λέγει κύριος, ὅτι ἐμοὶ κάμψει πᾶν γόνυ, καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται τὸν θεὸν τὸν ἀληθινόν. ἐκεῖνος ὁ λέγων· ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ἄλλος· κατ' ἐμαυτοῦ ὀμνύω· ὅτι ἐμοὶ κάμψει πᾶν γόνυ. εἰ τοίνυν ὁ Παῦλος εἰς Χριστὸν ἀναφέρει τὴν προφητείαν· ὁ δὲ ἐν τῷ προφήτῃ φθεγγόμενος Χριστός ἐστιν· λέγει δὲ ὁ Χριστός· ἐγώ εἰμι μόνος, καὶ οὐκ ἔστιν ἄλλος· ἐκβάλλει τὸν πατέρα τῆς θεότητος; ἀλλ' * οὐκ ἐκβάλλει·

ὥσπερ οὖν οὐκ ἐκβάλλει· ἀμέριστος A γὰρ ἡ δόξα· οὐκοῦν ἀποδέδεικται σαφῶς, ὅτι ὥσπερ ὁ υἱὸς ὅταν λέγει, Ἐγώ εἰμι μόνος, οὐκ ἐκβάλλει τὸν πατέρα, οὕτως οὐδὲ ὅταν περὶ πατρὸς λέγει, Ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν θεὸν, ἑαυτὸν ἀφορίζει τῆς ἀληθείας. καὶ οὐ τοῦτο μόνον ἰᾶται, ἀλλὰ γὰρ καὶ τὸ εἶναι ἀληθινὸν θεὸν τὸν Χριστὸν, ἐξ αὐτῆς τῆς μαρτυρίας περιφέρεται. ἐπάγει γάρ· καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται τὸν θεὸν τὸν ἀληθινόν. οὐκοῦν ὁ λέγων ἐγὼ μόνος, καὶ B ἐγὼ ἀληθινός· ὁ υἱός ἐστιν. τί τοίνυν διαφέρει περὶ τὰ ῥήματα, συμφωνούσης τῆς ἀληθείας; διὰ τί οὖν εἶπεν· σὲ τὸν μόνον ἀληθινὸν θεόν· παιδεύου, καὶ μὴ μάχου. ὁ σωτὴρ παιδευτής ἐστιν τοῦ κόσμου, διορθωτὴς τῆς οἰκουμένης, ὁ τὰ πεπτωκότα ἐγείρων, ὁ τὰ πεπλανημένα ἐπιστρέφων, καὶ τὰ πεπαλαιωμένα ἀνακαινίζων. ἐπειδὴ ᾔδει τὸν ἑαυτοῦ λόγον περιιόντα καὶ ἰσχύσαντα εἰς πᾶσαν τὴν ὑπ' οὐρανὸν, εἰς διόρθωσιν τῆς Ἑλληνικῆς C πλάνης, καὶ εἰς ἔλεγχον τῆς Ἰουδαϊκῆς ἀπειθείας, δίστομον περιφέρει τὸν λόγον· ἵνα * διὰ μὲν τὸν ἀληθινὸν καὶ μόνον εἰπεῖν τὸν θεὸν, τοὺς πολλοὺς καὶ ψευδωνύμους στηλιτεύσῃ· διὰ δὲ τὸ ἐπαγαγεῖν· καὶ ὃν ἀπέστειλας Χριστόν· τοὺς ἠρνημένους τὴν οἰκονομίαν ἐλέγξῃ. κηρύττει μόνον ἀληθινὸν θεόν· οὐχ ἑαυτὸν ἀφορίζων, ἀλλὰ τὰ ὄργανα τῆς πλάνης ἀφανίζων. καὶ ἵνα μάθῃς ἀδελφὲ, ὅτι αὐτός

A ut re verâ non ejicit; quia individua est gloria; clarè igitur demonstratum est, quòd sicut Filius, quando dicit, *Ego sum solus*, non depellit Patrem; ita neque quando ait de Patre, *Ut cognoscant te solum verum Deum*, seipsum sejungit à veritate. Neque hoc solum salubriter docetur; sed etiam Christum verum esse Deum, ex ipso testimonio infertur. Subjungit enim; *Et omnis lingua confitebitur Deum verum*. Proinde B qui dicit, *Ego solus, & ego verus*, Filius est. Cur ergo contendis de verbis, ubi consentit veritas? Rationem igitur obquam dixit, *Te solum verum Deum*; disce, nec pugna. Servator præceptor est mundi, corrector orbis terrarum, qui lapsa erigit, oberrantia reducit, ac inveterata renovat. Quandoquidem noverat sermonem suum processurum, & invaliturum in omnes sub cœlo regiones; ad corrigendum Gen- C tilem errorem, arguendamque Judaicam incredulitatem, sermone usus est utrimque acuto; ut dum dicit, *verum & solum Deum*, plures falsóque nominatos Deos infamiâ notaret; dumque subdit, *Et quem misisti Christum*; abnegatores œconomiæ seu dispensationis in carne assumpta factæ redargueret. Prædicat solum verum Deum; non separando se, at instrumenta erroris destruendo. Atque ut discas, frater, ipsum

* f. διὰ μὲν τό

esse verum Deum, veri Dei A
Filium, Johannes Evangelista,
apud quem hæc scripta sunt;
In Evangelio quippe Johannis
habetur; *Ut cognoscant te solum verum Deum*; idem ille
inquam præco, qui hæc prædicavit, ipsemet in Epistola
sua scribit: recensetur autem
prima ipsius Epistola inter opera Scripturæ ab Ecclesiis recepta, non inter Apocrypha; cùm
secundam & tertiam Patres extra canonem posuerint; profitentibus una voce cunctis pri- B
mam Epistolam; Johannis esse.
Quid ergo sanctus ille per Epistolam suam prædicet de Deo
loquens, advertere necesse est.
1. Joh. v. 20. *Scimus* inquit *quoniam Filius Dei venit, & dedit nobis sensum, ut cognoscamus illum qui verus est, & simus in vero, in Filio ejus Jesu Christo: hic est verus Deus, & vita æterna.*
Iste, fratres, & illa elocutus
est, & hæc prædicavit. Adhuc,
si placet, de voce *Solus* philosophemur ac disputemus. Ad- C
versùs infidelem multæ sagittæ
mittantur; sagittæ, non ut corpora vulnerent, sed ut sententias corrigant. Emittantur verba quidem ad fideles, sagittæ
Ps. XLIV. 6. verò ad infideles. *Sagittæ enim potentis acutæ, populi sub te cadent, in corde inimicorum.*
Ait ergo beatus Hieremias; seu
Bar. III. 32. 33. 34. 35. 36. 37. 38. potiùs Baruch, qui discipulus
illius fuit, sicut Elisæus Heliæ;
Qui præparavit terram in æternum tempus, replevit eam

A ἐστὶ καὶ ἀληθινὸς θεὸς, καὶ ἀληθινοῦ θεοῦ υἱὸς, Ἰωάννης ὁ εὐαγγελιστὴς, ἐν ᾧ ταῦτα γέγραπται· ἐν γὰρ τῷ εὐαγγελίῳ τῷ κατὰ Ἰωάννην κεῖται· ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν θεόν· αὐτὸς ἐκεῖνος ὁ κήρυξ, ὁ ταῦτα κηρύξας, αὐτὸς ἐν τῇ ἐπιστολῇ τῇ ἑαυτοῦ γράφων· τῶν δὲ ἐκκλησιαζομένων, οὐ τῶν ἀποκρύφων μία ἡ πρώτη ἐπιστολή· τὴν γὰρ δευτέραν καὶ τρίτην οἱ πατέρες ἀποκανονίζουσιν· τὴν μέντοι πρώτην ἐπιστολὴν ἅπαντες εἶναι Ἰωάν-
B νου συμφώνως ἀπεφήναντο. τί οὖν ἐκεῖνος ὁ ἅγιος διὰ τῆς ἐπιστολῆς κηρύττει θεολογῶν, προσέχειν ἀναγκαῖον. οἴδαμεν, φησὶν, ὅτι ὁ υἱὸς τοῦ θεοῦ ἥκει, καὶ ἔδωκεν ἡμῖν διάνοιαν, ἵνα γινώσκωμεν τὸν ἀληθινὸν, καί ἐσμεν ἐν τῷ ἀληθινῷ, ἐν τῷ υἱῷ αὐτοῦ Ἰησοῦ Χριστῷ. οὗτός ἐστιν ὁ ἀληθινὸς θεὸς, καὶ ζωὴ αἰώνιος. οὗτος ἀδελφοὶ κἀκεῖνα εἶπεν, καὶ ταῦτα ἐκήρυξεν. ἐπιπλεῖον εἰ δοκεῖ εἰς τὸ Μόνος φιλοσοφήσωμεν καὶ ἀγωνισώμεθα. πρὸς τὸν
C ἄπιστον πολλὰ τὰ βέλη πεμπέσθω· βέλη· οὐχ ἵνα τρώσῃ τὰ σώματα, ἀλλ' ἵνα διορθώσῃ τὰ φρονήματα. πεμπέσθω ῥήματα μὲν πρὸς τοὺς πιστοὺς, βέλη δὲ πρὸς τοὺς ἀπίστους. τὰ βέλη γὰρ τοῦ δυνατοῦ ἠκονημένα, λαοὶ ὑποκάτω σοῦ πεσοῦνται, ἐν καρδίᾳ τῶν ἐχθρῶν. λέγει τοίνυν ὁ μακάριος Ἱερεμίας· μᾶλλον δὲ Βαρούχ ὁ μαθητὴς αὐτοῦ, ὡς ὁ Ἐλισσαῖος τοῦ Ἡλίου· ὁ κατασκευάσας τὴν γῆν εἰς τὸν αἰῶνα χρόνον, ἐνέπλησεν αὐτὴν

κτηνῶν τε καὶ τετραπόδων· ἀπέστελλεν A τὸ φῶς, καὶ πορεύεται· ἐκάλεσεν αὐτό, καὶ ὑπήκουσεν αὐτῷ τρόμῳ. οἱ δὲ ἀστέρες ἔλαμψαν ἐν ταῖς φυλακαῖς αὐτῶν, καὶ εὐφράνθησαν. ἐκάλεσεν αὐτοὺς τοὺς ἀστέρας φησίν· καὶ εἶπαν, πάρεσμεν· καὶ ἔλαμψαν ἐν εὐφροσύνῃ τῷ ποιήσαντι αὐτούς. καὶ τοσαῦτα θεολογήσας, φησίν· οὗτος ὁ θεὸς ἡμῶν, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν. πρόσεχε ἀκριβῶς πῶς ἀποκλείει τὸν ἕτερον· οὐ λογισθήσεται ἕτερος πρὸς B αὐτόν. ἐξεῦρεν πᾶσαν ὁδὸν ἐπιστήμης, καὶ ἔδωκεν αὐτὴν Ἰακὼβ τῷ παιδὶ αὐτοῦ, καὶ Ἰσραὴλ τῷ ἠγαπημένῳ ὑπ' αὐτοῦ. μετὰ ταῦτα ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη. οὗτος ὁ θεὸς ἡμῶν, πρὸς ὃν οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν, ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη, μετὰ ταῦτα. ὁρᾷς τὴν ἀλήθειαν ἠσφαλισμένην; ὅρα πῶς οὐ δίδωσιν παρείσδυσιν τῇ πλάνῃ· ἵνα μὴ Ἰουδαῖος συκοφαντήσῃ τὴν ἀλήθειαν, καὶ εἴπῃ, ὅτι ὁ C θεὸς ὤφθη τῷ Μωϋσῇ· ὤφθη γὰρ θεὸς ἐν ὄρει. παρ' αὐτὸν οὐκ ἔστιν ἄλλος· καὶ οὐκ ἐκβάλλει τὸν πατέρα τῆς θεϊκῆς ἀξίας. πατὴρ ἐὰν κληθῇ μόνος, ἐξοβελίζει τὸν υἱὸν τοῦ ἐν τῷ ἀξιώματι κοινωνίας; ὅταν λέγει ὁ θεός, αὐτὸν εἶναι καὶ μόνον ἕνα, ὁ πατὴρ ἢ ὁ υἱός, οὐ τὴν ἰδίαν ἀρνεῖται τῆς φύσεως οἰκειότητα· οὐχ ὁ πατὴρ τὸν υἱὸν ἐκβάλλει, οὐχ ὁ υἱὸς ἀθετεῖ τὸν πατέρα· ἀλλ' ὅταν τὰ τοιαῦτα λέγηται, πρὸς τὴν πλάνην τὴν τῶν εἰδώλων ὁ λόγος.

jumentis & quadrupedibus: emisit lumen, & vadit; vocavit illud, & obedivit illi in tremore. Stellæ autem fulserunt in custodiis suis, & lætatæ sunt; vocavit ipsas stellas, inquit, *& dixerunt; Adsumus; & fulserunt cum jucunditate ei qui fecit illas.* Et post tantam Theologiam ait; *Hic est Deus noster, non æstimabitur alius ad eum.* Animadverte diligenter, quo pacto alterum excludat; B *Non æstimabitur alius ad eum. Adinvenit omnem viam scientiæ, & dedit eam Jacob puero suo, & Israel dilecto suo. Post hæc in terra visus est, & cum hominibus conversatus est.* Hic Deus noster, ad quem nempe non æstimabitur alius, in terra visus est, & cum hominibus conversatus est, postea. Cernis veritatem in tuto collocatam? vide ut errori aditum non tradat; ne Judæus calumnietur veritatem, dicatque; Deus vi- C sus est à Moyse: apparuit enim Deus in monte. Præter eum non est alius: & non dejicit Patrem à divina majestate. Pater autem si solus nominatus fuerit, exterminabit Filium à communi dignitate? Quando dicit Deus, sive Pater, sive Filius, se esse & solum unum, non negat naturæ suæ consortium; Pater non ejicit Filium, Filius non inficiatur Patrem; sed quoties hujusmodi dicta proferuntur, adversùs Idolorum errorem sermo habetur,

A Quare contra Unigenitum blasphemiam apparas? Idolis Deus non dat gloriam suam: num ideo ei quem genuit denegat quoque? Profectò dat, non ex gratia, sed per naturæ communicationem. Unde verò argumentum & probatio, quòd Christus gloriam à Patre accipiat? Dixit enim; Is. XLII. 8. *Alteri gloriam meam non dabo.* Audi quid ipse Servator cum Apostolis disserens dicat; Marc. VIII. 38. *Cùm venerit Filius hominis in gloria Patris sui*: postquam ille priùs B dixisset, *Gloriam meam alteri non dabo.* Scrutare dictum, & invenies sensum. Gloriam meam, non dixit, non dabo Filio meo; sed alteri non dabo. Alterum autem est quod alienum est à consortio, & à natura disjunctum. Filius autem alter non est; Ioh. X. 30. *Ego enim & Pater unum sumus.* Clarè ergo demonstratum est, illud, *Ut cognoscant te solum verum Deum*, non auferre à Filio, esse Deum verum. Noli repudiare C sermonem cum calumnia, quasi sensus suspensus relictus sit. Id quod passi sunt feceruntque quidam è fratribus, circa calicem. Velut enim sententia solutionem non accepisset, sic accusationem induxerunt, dixeruntque, Pendentem sublimemque in medio reliquit disquisitionem. Quid porrò licebat, fratres, plus dicere? Quid priùs dictis deerat ad demonstrationem? Primò

τί κατὰ τοῦ μονογενοῦς βλασφημίαν κατασκευάζεις; εἰδώλοις οὐ δίδωσιν ὁ θεὸς τὴν δόξαν αὐτοῦ· ἦ οὐδὲ τῷ ἐξ αὐτοῦ γεννηθέντι δίδωσιν; καὶ δίδωσιν οὐ κατὰ χάριν, ἀλλὰ κατὰ τὴν τῆς φύσεως κοινωνίαν. καὶ πόθεν ἡ ἀπόδειξις ὅτι λαμβάνει δόξαν πατρὸς ὁ Χριστός; εἶπεν γάρ· ἑτέρῳ τὴν δόξαν μου οὐ δώσω. ἄκουε πῶς αὐτὸς ὁ σωτὴρ διαλεγόμενος τοῖς ἀποστόλοις φησίν· ὅταν ἔλθῃ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ δόξῃ τοῦ πατρὸς αὐτοῦ· ἐκείνου προειρηκότος, ὅτι τὴν δόξαν μου ἑτέρῳ οὐ δώσω. ἐρεύνησον τὸ ῥῆμα, καὶ εὑρήσεις τὸ νόημα. τὴν δόξαν μου, οὐκ εἶπεν, τῷ υἱῷ μου οὐ δώσω· ἀλλ' ἑτέρῳ οὐ δώσω. τὸ δὲ ἕτερόν ἐστιν τὸ τῆς οἰκειότητος ἀλλότριον, καὶ τῆς φύσεως ἀπεσχοινισμένον· ὁ δὲ υἱὸς οὐκ ἔστιν ἕτερος· ἐγὼ γὰρ καὶ ὁ πατὴρ ἕν ἐσμεν. ἀποδέδεικται τοίνυν σαφῶς, τὸ, ἵνα γινώσκωσίν σε τὸν μόνον ἀληθινὸν θεὸν, οὐκ ἀναιρεῖν τὸ εἶναι τὸν υἱὸν θεὸν ἀληθινόν. μὴ συνεκβάλῃς τὸν λόγον εἰς διαβολὴν, ὡς τοῦ νοήματος μετεώρου καταλειφθέντος. ὅπερ πεπόνθασίν τινες τῶν ἀδελφῶν περὶ τοῦ ποτηρίου. ὡς γὰρ λύσιν μὴ λαβόντος τοῦ νοήματος, οὕτως ἐπήγαγον τὰ ἐγκλήματα. ἐκκρεμῆ γάρ φησιν καὶ μετέωρον κατέλιπεν τὴν ἐξέτασιν. τί δὲ ἦν, ἀδελφοί, πλέον εἰπεῖν; τί πρὸς ἀπόδειξιν ἔδει τοῖς προειρημένοις; πρῶτον·

μὲν γὰρ, εἰ δυνατὸν παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον· καὶ πρὸς τὸ ὑπὸ τῆς λέξεως ὑποβαλλόμενον· δοκεῖ γάρ πως ἡ λέξις ὑφ' ἑτέραν ἐξουσίαν τάττειν τὸν ἱκετεύοντα· παρεθέμεθα τὴν φωνὴν ἐκείνην τὴν τοῦ κυρίου, πάσης ὡς ἀληθῶς θεϊκῆς αὐθεντίας γέμουσαν, καὶ τὴν τοῦ λέγοντος ἀξίαν παριστῶσαν· ἐξουσίαν ἔχω θεῖναι τὴν ψυχήν μου, καὶ ἐξουσίαν ἔχω λαβεῖν αὐτήν· καὶ ὅτι τὸ μὲν, ἔχω, τῆς θεότητος ἴδιον, τὸ δὲ, εἰ δυνατὸν παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο, ἐκ προσώπου τῆς σαρκὸς ἐλέγετο, καὶ οὐκ ἐκ προσώπου τῆς θεότητος. καὶ ἐπὶ τούτων αὐτὴν πάλιν τὴν δεσποτικὴν ἐστήσαμεν μαρτυρίαν ἐπισφραγίζουσαν· διὸ ἔλεγεν, τὸ πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής. καὶ ἐπεσημηνάμεθα, ὅτι δὴ τῶν ἀτοπωτάτων ἐστὶν, αὐτοῦ τοῦ κυρίου τῆς σαρκὸς ἐπιγράφοντος, ἡμᾶς τῇ αὐθεντίᾳ τῆς θεότητος ἐπιρρίπτειν τοῦ ῥήματος τὴν εὐτέλειαν. ἀλλ' ὥστε καὶ τὸν σκοπὸν τοῦ κυρίου παραστήσωμεν, τίνος ἕνεκεν ἔλεγεν, Παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον· ὡς οὐ φεύγων τοῦ σταυροῦ τὴν οἰκονομίαν παρῃτεῖτο τὸν θάνατον, ἀλλὰ διὰ τοὺς ἀπείρους τῇ οἰκονομίᾳ μέλλειν ἐπὶ τῷ σταυρῷ σκανδαλίζεσθαι, ταύτῃ κέχρηται τῇ φωνῇ. καὶ πάλιν ἠκολούθησεν ταύτῃ τῇ ἐννοίᾳ ἡ μαρτυρία· προσεύχεσθε, ἵνα μὴ εἰσέλθητε εἰς πειρασμόν· ἕτεροι δὲ ἐσυκοφάντησαν· ὡς ἡμῶν εἰρηκότων· εἰ ἐνδέχεται ἑτέρῳ τρόπῳ θανάτου τὴν οἰκονομίαν

A quidem, *Si possibile est, transeat à me calix* : & ad id quod per eam orationem suggeritur; (videtur enim quodammodo dictio sub aliam potestatem redigere eum qui supplicat) apposuimus vocem illam Domini, quæ omni certè divina auctoritate abundat, dicentisque dignitatem exhibet; *Potestatem habeo ponendi animam meam, & potestatem habeo sumendi eam*; diximusque quòd *habeo*, divinitatis sit pro-
(Matt. XXVI. 39.) (Ioh. X. 18.)

B prium, illud verò, *Si possibile est, transeat à me calix iste*, ratione carnis dictum fuerit, non ratione divinitatis. Atque insuper, ipsum rursus Domini testimonium adduximus in confirmationem; quamobrem dixit; *Spiritus promptus est, caro autem infirma*, & annotavimus, rem esse absurdissimam, cùm ipse Dominus carni adscribat, nos in divinam majestatem conjicere dicti vilita-
(Matt. XXVI. 41.)

C tem. Sed, ut propositum Domini exhibeamus, qua de caussa, dixerit, *Transeat à me calix* : non, quasi refugeret Crucis dispensationem, mortem deprecabatur & recusabat; sed quia imperiti ob œconomiam, in cruce scandalum passuri erant, ea usus est voce. Iterumque hanc notionem subsecutum est testimonium; *Orate, ut non intretis in tentationem.* Alii verò calumniati sunt, ac si dixissemus; Si fieri posset, ut alio genere mortis, œconomiam

seu dispensationem adimpleret. A Quod sanè nec dictum fuit, nec dicetur umquam. Non dixi; Aliâ morte; sed dixi; Alio modo œconomiam adimpleri; hoc est, citra mortem. Nam calicem interpretatus sum: illud autem, Aliter, tamquam, Citra mortem. Atque hoc fuit; non quòd Dominus verè deprecatus sit mori pro mundo, sed quòd fidem facere voluerit infirmitati carnis, carnem nempe verè fuisse id quod formidabat & turbabatur. *Spiritus* enim *promptus, caro autem infirma.* Carni verba imbecillitatis assignavit, divinitatis majestatem non læsit. Cur criminaris quæ non dico? Cur calumniosè objicis quæ non prædico? Alium modum dixi; non mortis, sed dispensationis. Neque enim dictum est; *Si possibile est, mutetur calix iste.* Carnis est infirmitas, Incarnationis est passio. Profert imbecillitatis verba, ut ostendat hac indutum se esse natura, quæ mortem reformidat. Porrò ut ne iterum dictioni servias, ex abundanti illud quoque adduxi; Quæ est ratio, Apostolos quidem fortiter mortem conculcasse, Apostolorum verò dominum metuisse atque horruisse mortis accessum? Addam hæc nunc, fratres; Paulus *non solùm alligari, sed & mori propter nomen* Christi, paratum se strenuè ac juveniliter jactat; Pauli verò dominus mori recusat?

* f. περιπτόμενον

* f. παρήγαγον

Act. XXI. 13.

A ἐκπληρῶσαι. τοῦτο δὲ οὔτε εἴρηται, οὔτε λεχθήσεται. οὐκ εἶπον· ἑτέρῳ θανάτῳ· ἀλλ' εἶπον· ἑτέρῳ τρόπῳ τῆς οἰκονομίας πληρωθῆναι· τουτέστιν ἐκτὸς θανάτου. τὸ γὰρ ποτήριον ἑρμήνευσα· τὸ δὲ ἑτέρως, ὡς τὸ ἐκτὸς θανάτου. καὶ τοῦτο ἐγένετο, οὐχ ὡς ἀληθῶς παραιτουμένου τοῦ κυρίου τὸν θάνατον ὑπὲρ τοῦ κόσμου, ἀλλὰ τῆς τῆς σαρκὸς ἀσθένειαν πιστουμένου, ὅτι σάρξ ἦν ἀληθῶς, τὸ δειλιοῦν, τὸ * ταραττόμενον. τὸ γὰρ πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενής. τῇ σαρκὶ B τὰ ῥήματα τῆς ἀσθενείας ἐπέγραψεν, οὐ τῆς θεότητος τὴν αὐθεντίαν ἔτρωσεν. τί διαβάλλεις ἃ μὴ λέγω; τί συκοφαντεῖς ἃ μὴ κηρύττω; ἕτερον τρόπον εἶπον· οὐ θανάτου, ἀλλ' οἰκονομίας. οὐ γὰρ εἴρηται· εἰ δυνατὸν, ἀμειφθήτω τὸ ποτήριον τοῦτο. τῆς σαρκὸς ἡ ἀσθένεια, τῆς ἐνανθρωπήσεως τὸ πάθος. φθέγγεται τὰ τῆς ἀσθενείας ῥήματα, ἵνα δείξῃ ὅτι ταύτην ἐνδέδυται τὴν φύσιν, τὴν δειλιῶσαν C τὸν θάνατον. ἵνα δὲ μὴ πάλιν τῇ λέξει δουλεύσῃς, ἐκ περιουσίας κἀκεῖνο * παρήγαγον· ὅτι ποῖος λόγος, τοὺς μὲν ἀποστόλους γενναίως τὸν θάνατον καταπατεῖν, τὸν δὲ τῶν ἀποστόλων κύριον δεδιέναι καὶ τρέμειν τὴν τοῦ θανάτου πεῖραν; ἐρῶ δὲ καὶ ταῦτα νῦν ἀδελφοί· Παῦλος οὐ μόνον δεθῆναι, ἀλλὰ καὶ ἀποθανεῖν ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ νεανιεύεται· καὶ ὁ Παύλου κύριος παραιτεῖται τὸν θάνατον;

καὶ Παύλου μὲν οὐ συνθρύπτεται ἡ καρδία· ἡ δὲ τοῦ Χριστοῦ ψυχὴ ταράττεται; νῦν γάρ φησιν, ἡ ψυχή μου τετάρακται. ταῦτα πάντα ὑπὸ μάρτυσιν ἡμῖν ἐφθεγξάμην. ἀλλ' οὐ πείθει σε ταῦτα; ἀλλὰ τὸ, εἰ δυνατὸν, ἔτι σκανδαλίζει σε; ναί φησιν. συνέλθωμεν ἀδελφοὶ τῷ φιλονείκῳ· φιλονεικήσωμεν τῇ δυνάμει τῆς ἀληθείας, ἐγεῖραι τοὺς πεσόντας τῇ ἀσθενείᾳ τῆς ἀπιστίας. εἰ εἶχεν ἐξουσίαν ὁ Χριστὸς, οὐκ ἂν εἶπεν τὸ, εἰ δυνατὸν, παρελθέτω. οὐκοῦν καὶ τὸν θεὸν B αἰτίασαι, διὰ τοῦ νόμου κεχρημένον τινὶ λέξει, πολὺ τῆς αὐτοῦ ἐξουσίας κεχωρισμένῃ. λέγει γὰρ πρὸς τὸν Μωϋσῆν ὁ θεὸς, ὅτε ἐλάλει ἐκ τοῦ ὄρους Σινᾶ, διὰ τῆς μεγάλης ἐκείνης καὶ φοβερᾶς ἐπιφανείας· ὅτε πᾶς ὁ λαὸς ἔτρεμεν ἀκούων φωνὴν θεοῦ ζῶντος. ὁ πάντων ἔχων τὴν ἐξουσίαν, καὶ πάντα διέπων τοῖς πᾶσιν, λέγει τῷ Μωϋσῇ, ὁ θεὸς ὁ τὰ πάντα διδούς· τίς δώσει οὕτως εἶναι τὴν καρδίαν αὐτῶν C ἐν αὐτοῖς, ὥστε φοβεῖσθαί με καὶ φυλάξασθαι πάσας τὰς ἡμέρας, ἵνα εὖ ᾖ αὐτοῖς, καὶ τοῖς τέκνοις αὐτῶν; λέγει ὁ θεός· τίς δώσει τῷ λαῷ τούτῳ καρδίαν; καὶ τίς, ὦ δέσποτα, ὑπὲρ σὲ ἰσχυρὸς, ἵνα δῷ; οὐ σὺ εἶ ὁ διδοὺς πάντα, καὶ μάλιστα τὰ εἰς εὐσέβειαν συντείνοντα; εἰ μὴ σὺ ἦσθα ὁ διδοὺς καρδίαν ἀγαθὴν τοῖς ἀγαπῶσίν σε, εἰ μὴ σὺ εἶ ὁ διδοὺς, πῶς σοι Δαβὶδ προσεύχεται· καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ θεός; καρδίαν

A Et Pauli quidem non affligitur cor; anima autem Christi turbatur? *Nunc enim* inquit *anima mea turbata est.* Ioh. XII. 27. Hæc omnia coram vobis testibus locutus sum. Verùm his non persuaderis? sed, *Si possibile est*, adhuc scandalizat te? Profectò, inquit. Congrediamur, fratres, cum contentioso: contendamus connitamurque vi veritatis erigere eos qui infirmitate incredulitatis lapsi sunt. Si Christus potestate præditus B fuisset, non dixisset, *Si possibile est, transeat.* Accusa ergo etiam Deum, qui in Lege usus est quodam sermone multum dissito ab ipsius potestate. Dicit enim Deus ad Moysem, cùm loqueretur è monte Sina, inter magnam illam terribilemque apparitionem; quando omnis populus tremebat, audiens vocem Dei vivi. Qui cunctorum obtinet potestatem, & universa dispensat universis, dicit Moysi, Deus omnium lar- C gitor; *Quis dabit sic esse cor eorum in eis, ut timeant me, & custodiant omnibus diebus, ut bene sit eis, & filiis eorum?* Deut. V. 29. Dicit Deus; *Quis dabit populo huic cor?* Et quisnam, ô Domine, te validior, ut det? Nonne tu es qui cuncta das, præsertim quæ ad pietatem spectant? Nisi tu sis qui cor bonum das diligentibus te, si tu non es qui largiris, quare David orans petit à te; *Cor mundum crea in me Deus?* Pſ. 51. 12. Cor

A mundum à te postulant prophetæ, aliaque bona dona, atque cordis puritatem; & ais humanâ utens voce; *Quis dabit populo huic cor?* Et quis te plus donat? Verumtamen licèt tu præ bonitate sic locutus fueris, beatus Moyses non adhæsit sermoni tuo, sed publicavit majestatem tuam, ostendit auctoritatem, patefecit potentiam. Dicit populo

Deut. xxix. 4. in Deuteronomio; *Dedit vobis Dominus Deus cor ad sciendum, & oculos ad videndum,* B *& aures ad audiendum, usque in diem hunc.* (* vulg. οὐκ ἔδωκε) Audis illum dare cor, oculos, aures, omnia? Quo pacto igitur qui universa præbet, dixit; *Quis dabit populo huic cor tale?* Et quo rursus pacto, nisi ipse esset cordis largitor, diceret per Ezechielem;

Ezech. xi. 19. Jer. xxxi. 33. *Et extraham ex eis cor lapideum, & dabo eis cor carneum, & scribam legem meam in cordibus eorum?* C Sicut ergo illic ipse Deus, qui tradere potest cor bonum, dicit; *Quis dabit?* ita & Patris unigenitus, qui potestate sua replet orbem terrarum, dicitque cum auctoritate;

Joh. x. 18. *Potestatem habeo ponendi animam meam, & potestatem habeo sumendi eam;* adhuc respondet ex humana forma, & nomine carneæ infirmitatis, dicens;

Matt. xxvi. 39. *Si possibile est, transeat à me calix.* Ne igitur calumniemini de iis quæ dicta non fuerunt; sed inhærete iis quæ

A καθαρὰν παρὰ σοῦ αἰτοῦσιν οἱ προφῆται, καὶ τὰ ἄλλα δῶρα τὰ ἀγαθὰ καὶ τῆς καρδίας καθαρότητα· καὶ λέγεις ἀνθρωπίνῃ κεχρημένος φωνῇ· τίς δώσει τῷ λαῷ τούτῳ καρδίαν; καὶ τίς ὁ πλεῖόν σου διδούς; πλὴν εἰ καὶ σὺ ὡς ἀγαθὸς οὕτως ἐφθέγξω, ἀλλ' ὁ μακάριος Μωϋσῆς οὐκ ἠκολούθησέ σου τῇ λέξει, ἀλλ' ἐκήρυξέ σου τὴν ἀξίαν, ἔδειξε τὴν αὐθεντίαν, ἐγνώρισέ σου τὴν δυναστείαν. λέγει τῷ λαῷ ἐν τῷ Δευτερονομίῳ· * ἔδωκεν ὑμῖν κύριος ὁ θεὸς B καρδίαν εἰδέναι, καὶ ὀφθαλμοὺς βλέπειν, καὶ ὦτα ἀκούειν, ἕως τῆς ἡμέρας ταύτης. ὁρᾷς ὅτι καρδίαν καὶ ὀφθαλμοὺς καὶ ὦτα, καὶ τὰ πάντα ὁ αὐτὸς δίδωσιν; πῶς οὖν ὁ τὰ πάντα διδοὺς ἔλεγε· τίς δώσει τῷ λαῷ τούτῳ καρδίαν τοιαύτην; πῶς δὲ πάλιν εἰ μὴ αὐτὸς ἦν ὁ διδοὺς καρδίαν, ἔλεγε διὰ τοῦ Ἰεζεκιήλ· καὶ ἐκσπάσω ἐξ αὐτῶν τὴν καρδίαν τὴν λιθίνην, καὶ δώσω αὐτοῖς καρδίαν σαρκίνην, καὶ γράψω τὸν νόμον C μου ἐν ταῖς καρδίαις αὐτῶν; ὥσπερ οὖν ἐκεῖ αὐτὸς ὁ θεὸς, ὁ δυνάμενος δοῦναι καρδίαν ἀγαθὴν, λέγει· τίς δώσει; οὕτως καὶ ὁ μονογενὴς τοῦ πατρὸς, ἐν ἐξουσίᾳ πληρῶν τὴν οἰκουμένην, καὶ λέγων μετ' αὐθεντίας· ἐξουσίαν ἔχω θεῖναι τὴν ψυχήν μου, καὶ ἐξουσίαν ἔχω λαβεῖν αὐτήν· ἀποκρίνεται πάλιν τῷ ἀνθρωπίνῳ σχήματι, ἐκ προσώπου τῆς κατὰ σάρκα ἀσθενείας λέγων· εἰ δυνατὸν, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον. μὴ τοίνυν συκοφαντεῖτε τὰ μὴ λεγόμενα, ἀλλὰ στοιχεῖτε τοῖς

κηρυττομένοις· μὴ διαβάλλετε τὴν δι- A
δασκαλίαν, μὴ καταλαμβάνοντες τὴν
ἔννοιαν. οἶδα πόθεν εἰς διαβολὴν ἐξο-
λισθαίνεις· οἶδα ταῦτα πόθεν πάσχεις.
ἀνθρώπινον τὸ πάθος, βασκανία ἡ νό-
σος. ὥσπερ γὰρ ὁ ὀφθαλμὸς ἐὰν ᾖ κα-
θαρὸς, πάντα ὀρθῶς βλέπει καὶ διακρί-
νει, ἐὰν δὲ καπνὸς ἐπεισέλθῃ καὶ λυμή-
νηται τὰ κάλλη τῆς ὄψεως, ἢ κονιορτὸς
ἐμπέσῃ, ἀμβλύνει τὴν ὄψιν, καὶ οὐ βλέ-
πει καλῶς, ὡς πρὸ τούτου ἔβλεπεν
ὀρθῶς· οὕτως καὶ νῦν τῶν ἀκροατῶν ἕκα-
στος, ἕως καθαρὸν ἔχει πίστεως ὄμμα, B
καθαρὸν ἀγάπης βλέφαρον, ὀρθῶς καὶ
καθαρῶς ὁρᾷ, ἐὰν δὲ καπνὸς βλασ-
φημίας ἐπεισέλθῃ τοῖς λεγομένοις, ἢ
κονιορτὸς βασκανίας τὴν ψυχὴν ὑπο-
δράμοι, θολοῖ τὴν ὄψιν, καὶ ἀφανίζει τὸ
καθαρὸν τῆς διανοίας, καὶ ἃ μὴ ἤκουσεν,
ἤκουσεν, καὶ ἃ ἤκουσεν, οὐ καλῶς
ἐνόησεν. ὅθεν προειδυῖα ἡ θεία γρα-
φὴ τὰ προσκόμματα τῶν μελλόντων
τῇ διανοίᾳ προσκόπτειν τοῖς ἱεροῖς
γράμμασιν, καί που τις τῶν προφητῶν
ἐβόα, μετὰ τὸ πληρῶσαι τὸ θεῖον κή- C
ρυγμα· τίς σοφὸς, καὶ συνήσει ταῦτα;
καὶ ἀνὴρ φρόνιμος, καὶ γνώσεται ταῦτα;
ὅτι εὐθεῖαι αἱ ὁδοὶ κυρίου, δίκαιοι πο-
ρεύσονται ἐν αὐταῖς. μὴ τοίνυν ἀδελ-
φὲ μεθάρπαζε ῥήματα εἰς προσκόμ-
ματα· γυμνὸς ὁ λόγος, γυμνὴ ἡ ἀλή-
θεια. οὐχ εἷς, οὐ δεύτερος, οὐ δέκατος,
οὐχ ἑκατοστὸς ὁ ἀκούσας, πλῆθός
ἐστιν ἄπειρον, πλῆθος ἀναρίθμητον·
πέλαγός ἐστιν εὐσεβείας ἡ ἐκκλησία,
οὐ κυμάτων πεπληρωμένον, ἀλλὰ

prædicata sunt: ne criminemini doctrinam, qui sensum non percipitis. Scio unde in calumniam delapsus sis: scio unde ista patiaris. Humanus affectus est, invidiæ morbus. Nam ut oculus si purus sit, cuncta rectè videt ac discernit; sin fumus invaserit & labefactarit præclaram visûs vim, aut pulvis inciderit, obtundit obtutum, nec bene cernit sicut antea recte aspiciebat: sic nunc unusquisque auditorum, quamdiu purum habet fidei oculum, puram caritatis palpebram, rectè puréque videt; at si fumus blasphemiæ inter dicta invaserit, vel invidiæ pulvis animum subierit, obturbat intuitum, ac mentis puritatem delet; & quæ non audivit, audivit; quæque audivit, non bene cepit. Quocirca prævidit divina Scriptura offendicula eorum qui cogitatione impacturi erant circa sacra eloquia, necnon unus ex prophetis alicubi exclamat, post impletam divinam prædicationem; *Quis sapiens, & intelliget ista? & vir prudens, & cognoscet hæc? quia recta viæ Domini, justi ambulabunt in eis.* Noli itaque, frater, verba corripere in offendicula. Nudus sermo, nuda veritas. Non unus, non duo, non decem, non centum audierunt, multitudo est immensa, innumerus numerus: pelagus pietatis est Ecclesia, non refertum fluctibus, sed

Os. xiv. 10.

plenum fidei. Apud nos non
patitur naufragium ratis do-
ctrinæ, non pulsatur, non tur-
batur, non tempestatibus ve-
xatur, sed ad tranquillum por-
tum, in animas diligentium
Dominum, appellit. Atque hæc
hactenus. Cæterùm illud con-
siderare oportet, sanctos Dei
in calumnias incurrere. Quid
mirum, si nos viles ac humi-
les, qui nihil, ut ita dicatur,
sumus, calumniis appetimur?
An non audiisti verba Davidis;
Psal. *Eripe me à calumniis hominum:*
cxviii. Calumniam passi sunt etiam
134. sancti illi Servatoris Apostoli;
Rom. juxta sermonem beati Pauli; *Et*
iii. 8. *non, sicut blasphemamur, &*
sicut aiunt quidam nos dicere,
faciamus mala, ut veniant bo-
na: Non mæreo, cum sanctis
calumnia affectus; etsi indignus
sim sanctorum consortio. Judi-
ces vos omnes habeo, atque
ante omnes vos, communem
nostrum patrem, qui non per
anticipationem judicat, sed in-
telligenter decernit. Novit sen-
sus nostros, cognoscit & ver-
ba, quòd ex ipso ista edocti
* An fuerimus. Postulamus à vobis,
ἐπιλαν- num reprehenderit dicta, ea-
πτο que correxerit: verùm nihil
suspicatus est. Certè si emen-
* f. οὗ dasset, non odio, sed caritate
Prov id fecisset. Quem enim diligit
iii. 12. pater, arguit; quem verò non
corrigit, aversatur. Atqui ad-
mirandus iste pater, tum rectè
dicta comprobat, tum errori-
bus inducit correctionem. Hoc

A πίστεως γέμον· οὐ ναυαγεῖ παρ' ἡμῖν τὸ τῆς διδασκαλίας σκάφος, οὐ τύπτεται, οὐ ταράττεται, οὐ χειμάζεται· ἀλλ' ὡς εὔδιον λιμένα εἰς τὰς ψυχὰς τῶν τὸν κύριον ἀγαπώντων ὁρμίζεται. ἀλλὰ ταῦτα μὲν εἰς τοσοῦτον. ἐκεῖνο δὲ δεῖ σκοπεῖν, ὅτι οἱ ἅγιοι τοῦ θεοῦ, ὑποπίπτουσι συκοφαντίαις. τί τὸ θαυμαστὸν, εἰ ἡμεῖς οἱ εὐτελεῖς, καὶ ταπεινοὶ, καὶ τὸ μηδὲν, ὡς εἰπεῖν, ὄντες, συκοφαντούμεθα; ἢ οὐκ ἤκουσας πῶς ὁ Δαβὶδ φησιν· B ῥῦσαί με ἀπὸ συκοφαντίας ἀνθρώπων. ἐσυκοφαντήθησαν καὶ οἱ ἅγιοι τοῦ σωτῆρος ἀπόστολοι· ὡς ἔλεγεν καὶ ὁ μακάριος Παῦλος· καὶ μὴ, καθὼς βλασφημούμεθα, καὶ καθώς φασίν τινες ἡμᾶς λέγειν, ὅτι ποιήσωμεν τὰ κακὰ, ἵνα ἔλθῃ τὰ ἀγαθά. οὐ λυποῦμαι μετὰ τῶν ἁγίων συκοφαντούμενος, εἰ καὶ ἀνάξιός εἰμι τῶν ἁγίων. ἔχω πάντας ὑμᾶς κριτὰς, καὶ πρὸ πάντων ὑμῶν, τὸν κοινὸν ἡμῶν πατέρα, οὐ προλήψει κρίνοντα, ἀλλ' ἐννοίᾳ δικάζοντα. C οἶδεν ἡμῶν τὰ νοήματα, γνωρίζει καὶ τὰ ῥήματα, ὅτι ἐξ αὐτοῦ ἐπαιδεύθημεν ταῦτα. ἀντιβαλλόμεθα πρὸς ὑμᾶς, εἰ * ἐπέλειπτο τῶν εἰρημένων, διορθῶσαι τὰ εἰρημένα· ἀλλ' οὐχ ὑπελάβετο. εἰ γὰρ * οὐ διορθώσατο, οὐ μισῶν, ἀλλὰ ἀγαπῶν· ὃν γὰρ ἀγαπᾷ πατὴρ, ἐλέγχει· ὃν δὲ οὐ διορθοῦται, ἀποστρέφεται. ὁ δὲ θαυμάσιος οὗτος πατὴρ, καὶ τὰ καλῶς λεγόμενα ἀποδέχεται, καὶ τοῖς ἐσφαλμένοις ἐπάγει τὴν διόρθωσιν. τοῦτο

γὰρ πατρὸς ἴδιον, βραβεύειν τοῖς καλῶς λεγομένοις, καὶ μετὰ πίστεως κηρυττομένοις. ἀρκεῖ τοίνυν ἀντὶ πάντων ἡ ψῆφος ἡ παρ' αὐτοῦ καὶ παρ' αὐτοῦ πάλιν, ἡ τοῦ παναγίου θεοῦ. ἐχώμεθα δὲ τῆς εὐσεβείας· φυλάξωμεν τὴν πίστιν ἀσάλευτον. πιστεύετε τῇ ἀληθείᾳ, καὶ μὴ ἀντιλέγετε τῇ ἀληθείᾳ. μὴ παραγράφου τὴν πίστιν, μὴ πολυπραγμόνει τὴν θείαν φύσιν, μὴ ὑποβάλλῃς λογισμοῖς θνητοῖς τὴν ἀθάνατον ἀξίαν. ἐπισφαλὴς ἡ τῶν λογισμῶν ὁδός· ἀσφαλὴς καὶ βεβαία ἡ ἔννοια τῆς κατὰ πίστιν ὁμολογίας. ἡ ἀληθὴς σοφία ἡ πίστις ἐστίν. ἄκουε τί φησιν τὸ θεῖον λόγιον· κἂν γὰρ ᾖ τις τέλειος ἐν υἱοῖς ἀνθρώπων, τῆς παρὰ σοῦ σοφίας ἀπούσης, εἰς οὐδὲν λογισθήσεται. φεῦγε τὰ ζητήματα, καὶ μὴ προτίμα τῆς πίστεως τὰ ῥήματα. Παῦλον ἔχε διδάσκαλον, Πέτρον ἐπιγράφου καθηγητήν· τῇ πίστει ἐκείνων ἐξακολούθησον. ἄκουε Πέτρου λέγοντος· σὺ εἶ ὁ Χριστός, ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος. ἀκολούθει τῷ Παύλῳ, σαφῶς τὸν τοῦ θεοῦ υἱὸν ὑμνοῦντι καὶ ποτὲ μὲν λέγοντι, ὅτι ἐλάλησεν ἡμῖν ὁ θεὸς ἐν υἱῷ, δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησεν· ὃς ὢν ἀπαύγασμα τῆς δόξης, καὶ χαρακτὴρ τῆς ὑποστάσεως, φέρων τε τὰ πάντα τῷ λόγῳ τῆς δυνάμεως αὐτοῦ· ποτὲ δὲ πάλιν κηρύττοντι, ἐν τῷ περὶ Ἰουδαίων· ὧν οἱ πατέρες ἡμῶν, ἐξ ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα, ὁ ὢν ἐπὶ πάντων θεὸς εὐλογητὸς εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

A enim patris proprium est, laudes rependere rectè dictis, atque cum fide prædicatis. Quapropter sufficit vice omnium ipsius suffragium; adhucque præ ipso, sanctissimi Dei decretum. De reliquo adhæreamus pietati; fidem immotam servemus. Credite veritati, & non contradicite veritati. Fidei ne præscribas, divinam naturam ne scruteris, ne mortalium rationum momentis subjicias immortale decus. Periculosa est ratiocinationum via; B tuta & firma intelligentia confessionis fidei. Vera sapientia fides est. Audi quid pronunciet divinum oraculum; *Nam etsi quis erit consummatus inter filios hominum, si ab illo abfuerit sapientia tua, in nihilum computabitur.* Sap. IX. 6. Fuge quæstiones; neque verba, præferto fidei. Paulum habe pro magistro, Petrum tibi vindica præceptorem; illorum fidem consectare. Audi Petrum qui dicit; *Tu es Christus, filius Dei vivi.* Matt. XVI. 16. C Obsequere Paulo, apertè Filium Dei celebranti; & modò quidem dicenti; *Locutus est nobis Deus in Filio, per quem fecit & secula: qui cùm sit splendor gloriæ, & figura substantiæ, portansque omnia verbo virtutis suæ.* Hebr. I. 2. 3. modò autem iterum prædicanti, ubi de Judæis agit; *Quorum patres nostri, ex quibus est Christus secundùm carnem, qui est super omnia Deus benedictus in secula seculorum. Amen.* Rom. IX. 5.

EX HISTORIA LAUSIACA. A

Vita sancti Amun & ejus conjugis.

cap. 8. CUm is igitur solus in Nitriis esset, ad eum ferunt puerum rabie exagitatum, vinctum catenis: canis enim rabiosus morsu rabiem illi communicaverat. Seipsum ergo totum laniabat, ut qui morbum ferre non posset. Postquam igitur vidit ejus parentes ad supplicandum procedentes, Quid B mihi, inquit, laborem exhibetis, ô homines, ea requirendo quæ mea merita superant; cùm porrò in manibus præsto sit auxilium? Reddite enim viduæ bovem quem clanculum occidistis, & sanus reddetur vobis puer. Illi verò ut convicti fuerunt, læti fecerunt quæ jussa fuerant, puerque ejus precibus sanus evasit. Alii autem accesserunt ad eum visendi gratiâ; ad quos vir, ut qui tentare vellet animum eorum, dixit; Af- C ferte ad me dolium unum, ut habeam satis aquæ ad eos qui veniunt excipiendos. Ii autem promiserunt seipsos allaturos. Verùm alter ex ipsis pœnitentiâ ductus, ubi in vicum venisset, dicit alteri; Non occidam camelum meam, neque ei impono dolium, ne moriatur. His auditis alius, suis junctis asinis, dolium magno labore

* Paradisus MS. ἀφόρητοι

ΤΟΥ ΛΑΥΣΙΑΚΟΥ.

Βίος τοῦ ἁγίου Ἀμοῦν καὶ τῆς τούτου συζύγου.

ΜΟνου οὖν αὐτοῦ ἐν τῇ Νιτρίᾳ ὑπάρχοντος, φέρουσιν παῖδα λυσσῶντα πρὸς αὐτὸν, ἁλύσεσι δεδεμένον· λυσσῶν γὰρ δήξας κύων, ἐκείνῳ τὴν λύσσαν μετέδωκεν. ἐσπάραξεν οὖν ἑαυτὸν ὅλον, * ἀφορήτως ἔχων τὸ πάθος. ὡς γοῦν ἴδεν αὐτοῦ τοὺς γονεῖς πρὸς τὴν ἱκεσίαν χωροῦντας, τί μοι κόπους παρέχετέ φησιν ὦ ἄνθρωποι, τὰ ὑπὲρ τὴν ἐμὴν ἀξίαν ἐπιζητοῦντες· ἔχοντες οὖν ἐν χερσὶ τὸ βοήθημα; ἀπόδοτε γὰρ τῇ χήρᾳ τὸν βοῦν ὃν λαθραίως ἀποκτείνατε, καὶ ὑγιὴς ὑμῖν ὁ παῖς ἀποδοθήσεται. οἱ δὲ ὡς ἠλέγχθησαν, χαίροντες ἐποίουν τὰ προσταχθέντα, τοῦ παιδὸς ὑγιάναντος δεξαμένου αὐτοῦ. ἄλλοι δὲ παρῆσαν πρὸς αὐτὸν ἐπισκέψεως ἕνεκα· πρὸς οὓς δοκιμάζων τὴν γνώμην αὐτῶν ὁ ἀνὴρ ἔλεγε· πίθον μοι ἕνα κομίσατε, ἵνα ἔχω ὕδωρ ἱκανὸν πρὸς ὑποδοχὴν τῶν ἐρχομένων. οἱ δὲ ὑπέσχοντο δι' αὐτῶν ἐνεγκεῖν. μεταμεληθεὶς δὲ ὁ ἕτερος παραγενόμενος εἰς τὴν κώμην, λέγει τῷ ἑτέρῳ· οὐκ ἀποκτενῶ μου τὴν κάμηλον, οὐδὲ ἐπιτίθημι τὸν πίθον ἐπ' αὐτὴν, ἵνα μὴ ἀποθάνῃ. ἀκούσας δὲ ταῦτα ὁ ἄλλος, τὰς οἰκείας ὑποζεύξας ὄνους, πολλῷ καμάτῳ τὸν πίθον.

ἀπήνεγκεν. προλαβὼν δὲ αὐτὸν ὁ A * Ἀμοῦν εἶπεν· τί ὅτι ἡ κάμηλος τοῦ ἑταίρου σου τέθνηκεν, ἕως ὅτου σὺ ἐνταῦθα παραγέγονας; ὁ δὲ ὑποστρέψας, εὗρεν αὐτὴν ὑπὸ λύκων βεβρωμένην. πολλά τε καὶ ἄλλα ὁ ἀνὴρ διεπράξατο.

asportavit. Præveniens autem eum Amun dixit; Quid quòd socii tui camelus interiit, interim dum tu huc venisti? Is verò reversus, invenit eam à lupis devoratam. Multa quoque alia hic vir fecit. * Al. Ἀμμωῦ

Ὅτε πέρ ποτε μοναχῶν ἀποσταλέντων παρὰ Ἀντωνίου πρὸς αὐτὸν, καὶ φωνούντων αὐτόν· ἦν γὰρ ἐν τῇ ἐσωτέρᾳ ἐρήμῳ ὁ Ἀντώνιος. ὡς δὲ ἀπίεσαν πρὸς αὐτὸν, ἀναστὰς ὁ γέ- B ρων συνεπορεύετο αὐτοῖς.

Quòd cùm aliquando Monachi ad ipsum missi essent ab Antonio, & vocabant eum: erat enim in solitudine interiori Antonius. Ut autem ad ipsum perrexerunt, surgens senex ambulabat cum eis.

Οἱ δὲ ἀδελφοὶ κολύμβῳ διεπόρθμευσαν. ὡς δὲ παρεγένετο πρὸς Ἀντώνιον, πρῶτος ὁ Ἀντώνιος εἶπεν πρὸς αὐτόν· τοῦ θεοῦ ἀποκαλύψαντός μοι πολλὰ περὶ σοῦ, καὶ τὴν μετάθεσίν σου δηλώσαντός μοι, ἀναγκαίως σε πρὸς ἐμαυτὸν προσεκαλεσάμην, ἵνα ἀλλήλων ἀπολαύσαντες, ὑπὲρ ἀλλήλων πρεσβεύσωμεν. τάξας δὲ αὐτὸν ἐν τόπῳ τινὶ κεχωρισμένῳ μακρὰν, μὴ ἀναχωρεῖν ἐκεῖθεν μέχρι τῆς C μεταθέσεως προετρέψατο. τελειωθέντος δὲ αὐτοῦ κατὰ μόνας, ἴδεν αὐτοῦ τὴν ψυχὴν ὁ Ἀντώνιος ἀναλαμβανομένην εἰς τὸν οὐρανὸν ὑπὸ ἀγγέλων. οὗτός ἐστιν ὁ Ἀμοῦν, ὁ οὕτως βιώσας, καὶ οὕτως τελευτήσας.

Fratres autem natatu trajecerunt. Postquam verò accessit ad Antonium, primus ei dixit Antonius; Cùm Deus mihi multa de te revelasset, & translationem tuam mihi significasset, te ad me arcessivi necessariò, ut alter altero fruiti, pro nobis invicem intercederemus. Cùm autem eum collocasset in quodam loco longè separato, hortatus est ne illinc recederet ad mortem usque. Eo igitur seorsum consummato, vidit Antonius ipsius animam in cœlum assumptam ab Angelis. Hic est Amun, qui sic vixit, & sic obiit.

Βίος τοῦ Ἀββᾶ Ὤρ.

Vita Abbatis Or.

Ἐν τῷ ὄρει τούτῳ τῆς Νιτρίας γέγονεν ἀνὴρ θαυμάσιος, Ἀββᾶ Ὢρ ὄνομα αὐτῷ, πατὴρ μονῆς ἔχων ἀδελφῶν χιλίων, σχῆμα ἔχοντας ἀγγελικὸν,

In hoc monte Nitriæ fuit cap. 9. vir admirabilis; cui nomen Abbas Or, pater Monasteria habens mille fratrum, habitu Angelico præditorum;

A qui cùm nonaginta circiter annos natus esset, nihil amiserat è plenitudine corporis, facie admodum splendida & alacri, adeò ut vel solùm conspectus, reverendus vir esset. Is ubi multum se antea exercuisset in ulteriore solitudine, postea in propiori eremo Monasteria instituit, palude propriis plantata manibus, cùm ligna non essent in eo loco, adeò ut esset densa sylva in solitudine. Dicebant enim nobis qui cum eo erant patres, ne germen quidem omnino illic exstitisse, antequam vir ex solitudine advenisset. Ipsam autem plantavit, ne ob necessitatem, qui ad ipsum conveniebant fratres, cogerentur circuire: sed eorum omnem gerebat curam, orans Deum, ac pro salute eorum decertans, ut nihil eis deesset necessarium, nec esset ullus socordiæ prætextus. Is in eremo primùm degens, vescebatur quidem herbis & dulcibus quibusdam radicibus; aquam verò bibebat, quando invenerat, in precibus & hymnis toto tempore perseverans. Postquam porrò attigit plenam ætatem senectutis, Angelus ei in somnis apparuit in deserto, dixitque; Eris in gentem magnam, ingensque populus tuæ fidei committetur; erunt autem qui per te salvi fient, decies mille; quos utique si hìc lucrifeceris, totidem imperaturus es in futuro sæculo. Neque quidquam

* Parad. MS. ἀχίων Vit. Pat. 11 2.

* Parad. MS. μυριάδες.

A ἐνενήκοντα ἔτη που ὑπάρχων, οὐκ ἀπεβάλετο ἐκ τοῦ πλήθους τοῦ σώματος, λαμπρὸς ἄγαν καὶ φαιδρὸς τῷ προσώπῳ, ὡς καὶ ὁρώμενον μόνον, δυσωπήσιμον εἶναι τὸν ἄνδρα. οὗτος πολλὰ πρότερον καθ᾽ ἑαυτὸν ἀσκήσας ἐν τῇ ἐρήμῳ τῇ πορρωτέρᾳ, ὕστερον ἐν τῇ πλησίον ἐρήμῳ τὰ μοναστήρια συνεκρότησεν, ἕλος φυτεύσας χερσὶν οἰκείαις, ξύλων * οὐκ * ὄντων ἐν τῷ τόπῳ, ὡς ὕλην εἶναί τινα ἐν τῇ ἐρήμῳ πυκνήν. ἔλεγον γὰρ ἡμῖν οἱ

B περὶ αὐτὸν πατέρες, ὅτι οὐδὲ βλαστὸς ἦν οὐδέποτε, ὅτε παρῆν ὁ ἀνὴρ ἐκ τῆς ἐρήμου παρεγένετο. ἐφύτευσεν δὲ αὐτό, ἵνα μὴ διά τινα χρείαν οἱ συνερχόμενοι πρὸς αὐτὸν ἀδελφοὶ ἀναγκασθῶσιν περιάγειν· ἀλλὰ πᾶσαν πρόνοιαν αὐτῶν ἐποιεῖτο, εὐχόμενος τῷ θεῷ, καὶ ὑπὲρ τῆς σωτηρίας αὐτῶν ἀγωνιζόμενος, ἵνα ἐν μηδενὶ λείπωνται τῶν ἀναγκαίων, καὶ μὴ πρόφασις αὐτοῖς ῥαθυμίας γένηταί τις. οὗτος ἐν τῇ ἐρήμῳ πρῶτον διάγων,

C ἤσθιεν μὲν βοτάνας καὶ ῥίζας γλυκείας· ἔπινεν δὲ καὶ ὕδωρ ὅτε ηὕρισκεν, ἐν εὐχαῖς καὶ ὕμνοις διατελῶν πάντα τὸν χρόνον. ὡς δὲ λοιπὸν τῆς τελείας τοῦ γήρως ἔφθασεν ἡλικίας, ἄγγελος αὐτῷ φαίνεται κατ᾽ ὄναρ ἐν τῇ ἐρήμῳ, λέγων, ὅτι ἔσῃ εἰς ἔθνος μέγα, καὶ πολὺν λαὸν πιστωθήσῃ, ἔσονται δὲ οἱ σωζόμενοι διὰ σοῦ, * χιλιάδες δέκα· οὕσπερ ἐὰν ἐνταῦθα κερδήσῃς, τοσούτων ἄρξῃς ἐν τῷ αἰῶνι τῷ μέλλοντι. καὶ μηδὲν

διστάσῃς,

A διστάσεις, φησὶν ὁ ἄγγελος πρὸς αὐτόν· οὐδέποτε γάρ σοι λείψει * τῶν πρὸς τὴν χρείαν, ἄχρι τῆς τελευτῆς σου, ὁσάκις ἂν ἐπικαλέσῃ τὸν θεόν. ταῦτα ἀκούσας, ἐπὶ τὴν πλησίον ἔρημον ὥρμησεν, κατὰ μόνας τὸ πρῶτον διάγων· καλύβιον γὰρ μικρόν τι ἑαυτῷ κατασκευάσας, λαχάνοις συνθέτοις μόνον ἀρκούμενος, πολλάκις δὲ καὶ δι' ἑβδομάδος μόνης μεταλαμβάνων· ἀγράμματος μὲν οὖν τὸ πρῶτον· ἐπειδὴ δὲ ἐκ τῆς ἐρήμου εἰς τὴν οἰκουμένην ἤρχετο, χάρις B αὐτῷ θεόθεν δίδοται, καὶ τὰς γραφὰς ἔξωθεν ἀπεστήθιζεν. ἐπιδοθέντος γὰρ αὐτῷ βιβλίου παρὰ τῶν ἀδελφῶν, ὡς ἔμπειρος τῶν γραμμάτων, οὕτως λοιπὸν ἀνεγίνωσκεν. εἰλήφει δὲ καὶ ἑτέραν χάριν, τὴν κατὰ δαιμόνων ἐλασίαν· ὡς πολλοὺς τῶν πασχόντων καὶ μὴ * βουλομένους * αὐτοὺς παριστᾶν βοῶντας αὐτοῦ τὴν πολιτείαν· ἰάσεις τε τὰς ἄλλας ἐπιτελῶν οὐκ ἐπαύετο· ὡς συναχθῆναι πρὸς αὐτὸν μοναχοὺς τρεῖς χιλιάδας. C ἰδὼν δὲ ἡμᾶς ὁ ἀνήρ, καὶ περιχαρὴς γενόμενος, ἠσπάσατο καὶ περιεπλέξατο· νίψας δὲ τοὺς πόδας ἡμῶν χερσὶν οἰκείαις, πρὸς διδασκαλίαν ἐτρέπετο. ἔμπειρος γὰρ ἦν λίαν τῶν γραφῶν, θεόθεν τὴν χάριν ταύτην * δεξάμενος. πολλὰ δὲ τῶν γραφῶν λύσας ἡμῖν κεφάλαια, καὶ τὴν ὀρθόδοξον πίστιν παραδοὺς, ἐπὶ τὰς εὐχὰς προετρέπετο. ἔθος γὰρ τοῖς

dubitaveris, ait ei Angelus: Nihil enim tibi deficiet eorum quæ sunt ad usum necessaria, usque ad mortem tuam, quoties Deum invocaveris. Hæc ubi audivit, ad propinquam solitudinem profectus est, seorsum primò degens, sibi parvo constructo tuguriolo, dumtaxat compositis contentus oleribus, sæpe etiam per hebdomadam semel tantùm comedens. Atque erat quidem initio illitteratus: postquam verò ex solitudine venit in terram habitatam, ipsi gratia divinitus data fuit, & Scripturas expromebat memoriter. Ei enim tradito libro à fratribus, quasi peritus litterarum, ita deinceps legebat. Aliam quoque acceperat gratiam, vim nempe expellendi dæmones; adeò ut multi ex iis qui vexabantur, etiam inviti seipsos exhiberent, clamarentque ejus vivendi normam. Alias quoque curationes non cessabat peragere; qua de caussa ad eum convenerunt Monachorum tria millia. Videns autem nos vir ille, ac lætitia affectus salutavit & complexus est; cúmque pedes nostros propriis lavisset manibus, ad doctrinam conversus est. Erat enim valde peritus Scripturarum, divinitus hanc gratiam consecutus. Et postquam nobis multa solvisset Scripturarum capitula, fidemque orthodoxam tradidisset, adhortatus est ad preces. Viris quippe magnis

* Ib. τὸ

* Inst. βουλομένου αὐτοῦ

* ἐπι- σάμενος.

* Al. προσίεσθαι
* Parad. μεταλαβόντας
* Ib. εὐχαριστήσαντας

A mos est, nihil carnis elargiri aut admittere, priusquam spiritale alimentum animæ tradiderint: hoc autem est Christi communic. Participes ergo ejus factos, cúmque gratias egissemus, ad mensam nos postea hortatus est; ipse semper de bonis & honestis admonens, sedens ac ea nobis dicens quæ pertinent ad salutem. Fuit ergo hic clarus inter multos patres; adeò ut quoties multi ad eum venirent Monachi, cunctos præsentes fratres convocans, in B uno die eis cellas faceret; uno quidem subministrante lutum, altero verò laterem, alio autem hauriente aquam, & alio ligna cædente; cúmque fuissent illis cellæ constructæ, ipse iis qui venerant suppeditabat quæ erant necessaria. Idem falsum fratrem, qui ad eum aliquando accesserat, & vestes suas occultaverat, coram omnibus redarguit, ac in medium species *occultatas* protulit; quo fa- C ctum est ut non auderet ampliùs quispiam apud eum mentiri, quòd tanta virtutis gratia præditus esset, quàm per multa bona opera sibi collegerat. Licebat autem videre multitudinem ipsius Monachorum in Ecclesia, veluti Angelorum choros Deum laudantium.

A μεγάλοις, μὴ * προσίεσθαί τι τῆς σαρκὸς, πρὶν τὴν πνευματικὴν τροφὴν τῇ ψυχῇ παραδοῦναι· αὕτη δὲ ἐστὶν ἡ Χριστοῦ κοινωνία. * μεταλαβόντες οὖν ταύτης καὶ * εὐχαριστήσαντες, ἐπὶ τὴν τράπεζαν προετρέπετο αὖθις ἡμᾶς, αὐτὸς ἀεὶ τῶν σπουδαίων ὑπομιμνήσκων, καθήμενος καὶ λέγων ἡμῖν τὰ πρὸς σωτηρίαν. ἦν οὖν τοιοῦτος ὁ ἀνὴρ ἐπίδοξος ἐν πολλοῖς πατράσιν· ὡς πολλῶν μοναχῶν πρὸς αὐτὸν ἐρχομένων, πάντας τοὺς πα- B ρόντας ἀδελφοὺς συγκαλούμενον, ἐν μιᾷ ἡμέρᾳ τὰ κελλία αὐτοῖς ποιεῖν, τοῦ μὲν πηλὸν ἐπιδιδόντος, τοῦ δὲ πλίνθον, ἄλλου δὲ ὕδωρ ἀντλοῦντος, ἄλλου δὲ ξύλα κόπτοντος· καὶ ἀποτελεσθέντων αὐτοῖς τῶν κελλίων, αὐτὸς τὰς χρείας ἐπήρκει τοῖς ἐρχομένοις. οὗτος ψευδάδελφόν ποτε ἐλθόντα πρὸς αὐτὸν, καὶ τὰ ἱμάτια αὐτοῦ ἀποκρυψάμενον, ἐλέγξας αὐτὸν ἐπὶ πάντων, εἰς μέσον τὰ εἴδη προσήνεγκεν· ὥστε μηκέτι τολμᾶν τινὰ C ἐπὶ αὐτοῦ ψεύδεσθαι, τοσαύτην χάριν ἀρετῆς ἔχοντος, ἣν διὰ τῆς πολλῆς καὶ καλῆς πολιτείας αὐτοῦ συνελέξατο. ἦν δὲ ἰδεῖν τὸ πλῆθος τῶν σὺν αὐτῷ μοναχῶν ἐν τῇ ἐκκλησίᾳ, ὡς ἀγγέλων χοροὺς ὑμνούντων τὸν θεόν.

cap. 10. Chiffletius Paulini Illustrati 11.31.

Vita Abbatis Macarii urbici.

Die autem sequenti pellem magnæ ovis attulit ad sanctum Macarium;

Βίος τοῦ Ἀββᾶ Μακαρίου τοῦ πολιτικοῦ.

Καὶ τῇ ἑξῆς ἡμέρᾳ κώδιον μεγάλου προβάτου ἤνεγκεν τῷ ἁγίῳ Μακαρίῳ.

καὶ θεασάμενος ὁ ἅγιος τὸ κώδιον, A ταῦτα ἔλεγεν τῇ ὑαίνῃ· πόθεν σοι τοῦτο, εἰ μὴ βεβρώκεις πρόβατόν τινος; τὸ οὖν ἐξ ἀδικίας ὄν, ἐγὼ οὐ δέχομαι παρὰ σοῦ. ἡ δὲ ὕαινα κλίνασα τὴν κεφαλὴν εἰς τὸ ἔδαφος, ἐγονυπέτει πρὸς τοῖς ποσὶν τοῦ ἁγίου, καὶ ἐτίθει τὸ κώδιον. αὐτὸς δὲ ἔλεγεν αὐτῇ· εἴρηκά σοι ὅτι οὐ λαμβάνω, ἐὰν μή μοι ὀμόσεις μηκέτι λυπεῖν πένητας κατεσθίουσα αὐτῶν τὰ πρόβατα. ἡ δὲ καὶ ἐπὶ τοῦτο διένευσεν τῇ κεφαλῇ αὐτῆς, ὡς συντιθεμένη τῷ B ἁγίῳ Μακαρίῳ. τότε ἐδέξατο τὸ κώδιον παρὰ τῆς ὑαίνης. ὡς δὲ ἡ μακαρία

& cùm sanctus vidisset pellem, sic dixit hyænæ; Undenam hæc tibi esset, nisi ovem alicujus devorasses? Quod ergo proficiscitur ab injuria, ego à te non accipio. Hyæna autem humi inclinato capite, genu flectebat ad pedes sancti & ponebat pellem. Ipse verò ei inquit; Dixi tibi me non accepturum, nisi juraveris te non ampliùs offensuram pauperes, comedendo eorum oves. Illa verò ad hoc etiam capite suo annuit, ut quæ sancto Macario assentiretur. Tunc accepit pellem ab hyæna. Ut autem beata &c.

Διήγησις τοῦ Ἀββᾶ Ἰωάννου, περὶ ἐκπεσόντος καὶ μετανοήσαντος.

Οἶδα γὰρ ἐγὼ ἄνθρωπον ἐν τῇ ἐρήμῳ, μηδὲ γήϊνον βρῶμα ἐπὶ δέκα ἔτη γευσάμενον· ἀλλ' ἄγγελος αὐτῷ κατὰ τρεῖς ἡμέρας οὐράνιον βρῶμα ἐκόμιζεν, καὶ ἔβαλλεν αὐτοῦ εἰς τὸ στό- C μα, καὶ τοῦτο αὐτῷ ἀντὶ τροφῆς καὶ πότου ἐγένετο. καὶ οἶδα τὸν τοιοῦτον ἄνθρωπον, ὅτι ἦλθον πρὸς αὐτὸν ἐν φαντασίαις οἱ δαίμονες, ἀγγελικὰς στρατιὰς ἐπιδεικνύντες, καὶ ἅρματα πυρός, καὶ * δορυφορίαν * πολλήν, οἷά τινι βασιλέως προσεπιδημοῦντος, καὶ * λέγοντες αὐτῷ· κατόρθωσας πάντα, ἄνθρωπε, λοιπὸν προσκύνησόν με, καὶ ὡς Ἡλίαν σε ἀναλήψομαι. ἔλεγε δὲ ὁ μοναχὸς ἐν τῇ αὐτοῦ διανοίᾳ· καθημέραν

Narratio Abbatis Johannis, de eo qui post lapsum ductus est pœnitentia. *cap. 46.*

Novi enim ego hominem in *Vitæ Patrum* solitudine, qui decem annos *11. 2.* cibi terreni nihil gustavit; sed ei Angelus tertio quoque die cœlestem cibum afferebat, & in os ejus injiciebat; isque erat ei instar cibi & potus. Scio quoque de illo homine, quòd venerint ad eum in phantasia Dæmones, ostenderintque Angelicos exercitus, & currus ignis, cum satellitio multo, tamquam alicujus regis advenientis, ac ei dicentis; Omnia quæ præclara sunt peregisti, ô homo; de cætero me adora, & tamquam Eliam te assumam. Dicebat autem Monachus intra se; Quotidie

** Al. δορυφορεία πολλή*
** Al. λέγοντος*

adoro regem meum, servatorem, & si hic esset ille, non istud à me peteret. Ubi verò solùm apud se dixit quæ habebat in animo, nempe, Ego habeo meum regem Deum, quem semper adoro, tu autem non es rex meus, ille protinus evanuit. Hæc porrò tamquam de alio differens, præclarè à se gesta celare volebat: qui autem una cum eo erant patres ipsum aiebant hæc vidisse.

* Al. καὶ

* Al. inser. ἐκεῖνος

A προσκυνῶ τῷ ἐμῷ βασιλεῖ τῷ σωτῆρι, καὶ εἰ ἦν οὗτος ἐκεῖνος, οὐκ ἂν παρ' ἐμοῦ τοῦτο ᾔτει. ὡς δὲ μόνον εἶπεν ἐν ἑαυτῷ τὰ τῆς διανοίας, ὅτι ἔχω ἐγὼ τὸν ἐμὸν βασιλέα * τὸν θεὸν, ὃν ἀεὶ προσκυνῶ, σὺ δὲ οὐκ εἶ ἐμὸς βασιλεὺς, εὐθὺς * ἄφαντος γέγονεν. ταῦτα δὲ ὡς περὶ ἄλλου διαλεγόμενος, τὰς ἑαυτοῦ πολιτείας κρύπτειν ἠβούλετο· οἱ δὲ συνόντες αὐτῷ πατέρες, αὐτὸν ἔλεγον ταῦτα ἑωρακέναι.

Ib. Cæterùm licebat cernere multitudinem eorum qui cum ipso erant Monachorum, in Ecclesia, veluti quosdam choros justorum, lucidis vestibus indutos, ac hymnis assiduis Deum glorificantes.

Ἦν δὲ ἰδεῖν τὸ πλῆθος τῶν συνόντων B αὐτῷ μοναχῶν ἐν τῇ ἐκκλησίᾳ, οἱονεὶ χορούς τινας δικαίων λαμπροφοροῦντας, καὶ ἀπαύστοις ὕμνοις τὸν θεὸν δοξάζοντας.

cap. 70. *De Abbate Ammonio & iis qui erant cum ipso.*

Et multi ex ipsis neque panem comedebant, nec fructus, sed solùm intyba sylvestria: quidam autem eorum tota nocte nequaquam dormiebant, sed sedentes vel stantes usque ad mane perseverabant in oratione.

* Al. δὲ τῶν ἐκεῖσε πατέρων οὐκ

Περὶ τοῦ Ἀββᾶ Ἀμμωνίου καὶ τῶν σὺν αὐτῷ.

Πολλοὶ * τε * αὐτῶν * οὔτε ἄρτον ἤσθιον, οὔτε ὀπώρας, ἀλλὰ πικρίδας μόνον· τινὲς δὲ αὐτῶν οὐδὲ ἐκάθευδον ὅλην τὴν νύκτα, ἀλλὰ καθήμενοι ἢ ἑστῶτες ἄχρι πρωῒ C ἐκαρτέρουν προσευχόμενοι.

cap. 116. *Vita Abbatis Besarionis.*

Fuit quidam senex possessionibus carens & misericors, Abbas Besario nomine. Is cùm venisset in quemdam vicum, vidit mendicum nudum in foro & mortuum: ipse quidem unam ferens tunicam, convenienter Evangelicæ traditioni, & parvum maphorium sive

* Deest in al.

Matt. x. 10.

Βίος τοῦ Ἀββᾶ Βησαρίωνος.

Ἐγένετό τις γέρων ἀκτήμων καὶ ἐλεήμων, * Ἀββᾶ Βησαρίων ὀνόματι. οὗτος κατελθὼν εἰς κώμην τινὰ, ἴδεν γυμνὸν πτωχὸν ἐν τῇ ἀγορᾷ τεθνηκότα· αὐτὸς δὲ ἕνα χιτῶνα φορῶν, κατὰ τὴν εὐαγγελικὴν παράδοσιν, καὶ μικρὸν μαφόριον;

οὐδὲ γὰρ ἐκέκτητο πλὴν τούτου τοῦ A ἀναγκαίου σκεπάσματος· εἶχε δὲ καὶ μικρὸν εὐαγγέλιον ὑπὸ τὴν μάλην ἀεὶ, πρὸς ἔλεγχον ἑαυτοῦ τοῦ διαπαντὸς ὑπακούειν τῇ δεσποτικῇ φωνῇ, ἢ μᾶλλον ἔργῳ κατορθωθέντα τὸν λόγον ἐπιφερόμενος. τοιαύτῃ γὰρ ὁ ἀνὴρ ὑπερβολῇ βίου χρησάμενος, ἀνεπαισχύντως ὡς ἐπίγειος ἄγγελος τὴν ἐπουράνιον * ἐν * νόμῳ διήνυσεν πορείαν. οὗτος οὖν ἑωρακὼς τὸ λείψανον, εὐφυῶς τὸ μαφόριον ἀποφορτωσάμενος, ἐνεπέθετο τῷ τεθνηκότι· καὶ πάλιν ὀλίγον B βαδίσας, δεομένῳ γυμνῷ συνήντησεν· καὶ διακρινόμενος ἔστη καθ' ἑαυτὸν λογιζόμενος οὕτως· πῶς ἐγὼ μὲν, ὁ δῆθεν ἀποταξάμενος τῷ κόσμῳ, ἱμάτιον περίκειμαι, ὁ δὲ ἐμὸς ἀδελφὸς ψύχει καταπήγνυται; εἰ τοίνυν ἐάσω τοῦτον λειποψυχῆσαι, θανάτου πάντως αἴτιος τοῦ πλησίον γενήσομαι. τί οὖν; ἀποδυσάμενος μερίσω, τὸν χιτῶνα κόψας, ἢ τὸ πᾶν τῷ κατ' εἰκόνα θεοῦ δώσω; ἀλλὰ τί χρήσιμον ἐμοί C τε κἀκείνῳ τὸ σχιζόμενον μέρος; καὶ * διακριθεὶς ἔφη μὴ βλάβη τις ἡμῖν, εἰ πλέον ποιήσωμεν τῆς ἐντολῆς; τοιγαροῦν ὁ γενναῖος οὗτος ἀθλήσας, προθύμως καλεῖ τὸν πτωχὸν εἰς τὸν πυλῶνα, καὶ τοῦτον ἐνδεδυμένον ἀπολύσας, ἔστη γυμνὸς, ἑαυτὸν ταῖς χερσὶ περισκεπῶν, ὀκλάσας καὶ ὑποκαθήμενος, μόνον ἔχων τὸν * πλουσιοποιὸν

superhumerale: nihil enim possidebat præter hoc necessarium tegumentum: habebat autem semper quoque parvum Evangelium sub axilla, ad sui faciendum periculum num perpetuò Dominicæ voci obediret; aut potiùs gestans sermonem quem erat opere exsecutus. Adeò enim eximia vivendi ratione hic vir usus, citra ullum dedecus, ut Angelus terrestris cœleste iter legitimè peregit. Hic ergo intuitus cadaver, protinus præclarè superhumerali deposito, illud mortuo injecit: rursusque postquam parum processisset, nudo egenti occurrit; ac stetit apud se disceptans, & ratiocinans in hunc modum; Quo pacto ego quidem, qui mundo utique renunciavi, veste amicior, frater autem meus algore concrescit? Si ergo eum sivero exanimari, ero planè caussa mortis proximo. Quid ergo? exuensne partiar, tunicam scindendo, aut totum dabo ei qui ad imaginem Dei factus est? Sed quid mihi & illi utilis erit pars scissa? Tum disceptatione factâ dixit; Damnine aliquid patiemur, si plus quàm sit præceptum faciamus? Itaque generosus hic athleta, prompto & alacri animo vocat pauperem in vestibulum; cùmque eum dimisisset indutum, stetit nudus, se operiens manibus, procumbens ac subsidens, solum habens sub axilla verbum

* Al. νομίμως

Lege Vitas Patrum p. 191.

* Al. διαχείρας

* Al. πλουτοποιὸν

* Al. παριὼν ἦν παριόντι quod facit divites. Ejus autem A consilio & providentia transiit quidam Irenarcha, agnovit senem, & dixit proximo suo socio; Respice illuc: Non est hic * Al. ὁ Ἀββᾶς senex Abbas Besarion? Cùm is autem respondisset; Maximè; descendens de equo velociter, interrogavit sanctum, Quis te exuit? Ille verò dexterâ protendendo Evangelium, Hoc, inquit, me exuit. Statim autem se sua veste exuens pacis præpositus, perfectum militem induit; qui sedato animo ge- B stans veluti parvam vestem Monachorum, à mundo latenter recessit, ut declinaret hominis * Al. τοῦ illius laudem qui suum vidisset * Al. inser. αὐτοῦ vitæ institutum, honorem qui est ab occulto occultus exspectans. Hic ipse postquam omne præceptum Evangelium rectè peregisset, cùm nihil hujus mundi ampliùs haberet in animo, ad divinæ sententiæ perfectiorem executionem, ubi * Al. δρομαῖος Sic in Evagrii cap. 97. pauperem in transitu vidit, cursu in forum contendit; illic C cùm paullisper constitisset, tomum Evangelii vendidit. Paucis ego pòst diebus qui cum eo * Al. ὁ Ἀββᾶς erat discipulus, Abbas Dulas vocatus, rogavit senem, dicendo; Quid parvo libello factum est, ô Abba? Cui senex * Abest ab al. placidè præclarum verbum & valde scitum est locutus, ita; Ne tristitiâ afficiatis, frater: nam ut illic habeamus fiduciam, propter obedientiam vendidi librum ipsum qui mihi

A λόγον ὑπὸ τῆς μάλλον. κατ᾽ εἰκονομίαν δὲ τούτου * παριόντος ὁ ἐπὶ τῆς εἰρήνης, ἐπέγνω τὸν γέροντα, καὶ πρὸς τὸν ἐχόμενον σύμμαχον εἶπε· Βλέπε ἐκεῖ, οὐχ ἔστιν ὁ γέρων * Ἀββᾶ Βησαρίων; τοῦ δὲ φήσαντος· ναί· καταβὰς ἐκ τοῦ ζώου ταχέως, ἠρώτησεν τὸν ἅγιον, ὅτι τίς σε ἐξέδυσεν; ὁ δὲ τῇ δεξιᾷ προστείνας τὸ εὐαγγέλιον, τοῦτο, φησὶν, ἐξέδυσέν με. παραχρῆμα δὲ τὸ ἑαυτοῦ ἱμάτιον ὁ ἐπὶ τῆς εἰρήνης ἀποδυσάμενος, τὸν τέ- B λειον στρατιώτην ἐνέδυσεν· καὶ ἀπαθῶς φορέσας τὴν ὡς μικρὴν ἐσθῆτα τῶν μοναχῶν, τοῦ κόσμου ἀνεχώρησεν ἀφανής, * τούτου τὴν πολιτείαν * ἑωρακότος, ἐκκλίνων τὸν ἔπαινον, τὴν παρὰ τοῦ κρυπτοῦ τιμὴν ὁ κρυπτόμενος ἀναμένων. ὁ αὐτὸς οὗτος μετὰ τὸ κατωρθωκέναι πᾶσαν εὐαγγελικὴν ἐντολὴν, μηδὲ ἔχων τοῦ κόσμου τούτου ἔτι κατὰ διάνοιαν, πρὸς ἐντελεστέραν τῆς θείας ἀποφάσεως ἐργασίαν, ἐν παρόδῳ πτωχὸν ἑωρακώς, * δρομαίως εἰς C τὴν ἀγορὰν ἀπῆλθεν, ἔνθα στὰς ὀλίγον, τόμον εὐαγγελίου διαπέπρακεν. μεθ᾽ ἡμέρας οὖν ὁ σὺν αὐτῷ μαθητής, * Ἀββᾶ Δουλᾶς λεγόμενος, ἠρώτησεν τὸν γέροντα, λέγων· ὅτι τί γέγονεν τὸ μικρὸν βιβλίον, Ἀββᾶ; πρὸς ὃν ἡσύχως ὁ γέρων σεμνὸν καὶ χαριέστατον ῥῆμα * λίαν ἐφθέγξατο, φάσκων οὕτως· μὴ λυποῦ ἀδελφέ· ἵνα γὰρ ἐκεῖ παρρησίαν ἔχωμεν, αὐτὸν τὸν λόγον ἐπώλησα διὰ τῆς ὑπακοῆς τὸν ἀεὶ λέγοντά μοι

A πώλησόν σου τὰ ὑπάρχοντα, καὶ δὸς πτωχοῖς. εἰσὶν δὲ καὶ ἄλλαι πράξεις πάμπολλαι ἐνάρετοι τοῦ μεγάλου τούτου πατρός· μεθ' οὗ καὶ ἡμεῖς μέρος * ἔξειν * καταξιωθείημεν, χάριτι τοῦ Χριστοῦ. ἀμήν.

semper dicebat; *Vende quæ habes, & da pauperibus.* Sunt autem aliæ pariter plurimæ res ex virtute gestæ hujus magni patris: cum quo nos quoque digni habeamur partem consequi, gratiâ Christi. Amen.

Matt. xix. 21.
* Al. ἔχειν ἀξιωθείημεν

Καὶ αὕτη δὲ πολλοὺς τῶν ἑαυτῆς συγγενῶν, εἰς ζῆλον θεῖον ὁδηγοῦσα, θεοσεβεῖν ἴσως αὐτοὺς ἐποίησεν. οὗτος ὁ βίος τῆς νέας * Μελανίης διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

cap. 149.

Jam verò ipsa quoque multos ex suis cognatis ad zelum divinum deduxit, effecitque ut simili modo pietatem erga Deum amplecterentur. Hæc est vita juvenis Melaniæ, per Dominum nostrum Jesum Christum. B

* Al. Μελάνης

Περὶ Μαγνεντίνου καὶ τῆς γυναικὸς τοῦ συγκλητικοῦ.

De Magnentino & uxore viri senatorii.

cap. 150.

Ἐμνήσθην δὲ καὶ ἄλλης ἱστορίας, καὶ καλὸν τοῦτο μὴ παρελθεῖν. λέγεται περὶ Μαγνεντίνου τοῦ τυράννου, ὅτι πολλαῖς γυναιξὶν ἐπεμίγνυτο Ἑλληνίσιν· καὶ εἰς Χριστιανὰς ἐπέρριψεν, θέλων ἐπιμίγνυσθαι· καὶ ᾕρουν αὗται ἀποθανεῖν, ἢ σωφροσύνην προδοῦναι. ἐλθὼν οὖν ἐν μιᾷ πόλει, ἠράσθη τινὸς γυναικὸς συγκλητικοῦ ἀπὸ ἐπάρχων· καὶ φοβηθεὶς ὁ ἀνὴρ αὐτῆς, εἶπεν αὐτῷ· πέμψον, ἆρον αὐτήν. καὶ ἐλθόντες οἱ στρατιῶται ἐπ' αὐτήν, εἶπεν αὐτοῖς ἡ γυνή· ἐκδέξασθε μικρὸν ἕως κοσμήσωμαι τὸν κόσμον ἐν ᾧ ἤθελον. καὶ εἰσελθοῦσα εἰς τὸν κοιτῶνα ἑαυτῆς, λαβοῦσα ξίφος, κατὰ τῶν σπλάγχνων ἑαυτῆς ἐνέπηξεν. ἀκουσάτωσαν αἱ παρθένοι, καὶ αἰσχυνέσθωσαν, αἱ Χριστὸν ἐπαγγελλόμεναι ἔχειν τὸν νυμφίον, καὶ

Memini autem alterius quoque historiæ; & bonum est rem non præterire. Dicitur de Magnentino tyranno, quòd habuerat stupri consuetudinem cum multis mulieribus Gentilibus, & animum adjecerat ad Christianas, volens cum eis rem habere; illæ autem malebant mori, quam prodere pudicitam. C Cùm ergo venisset in certam urbem, amavit quamdam uxorem viri senatorii ex præfectis: & timore correptus ejus maritus, dixit ei; Mitte, tolle eam. Cúmque ad ipsam venissent milites, ait illis mulier; Exspectate parumper donec mundo meo exorner, cui sum assueta. Tum ingressa suum cubile, acceptum ensem suis infixit visceribus. Audiant virgines ac erubescant, quæ profitentur se Christum habere sponsum, &

parva eum produnt libidine. A
* ſ ὑμῶν Vobis autem det Deus ſingulis
membris ſervare virginitatem,
ac per exſultationem clamare
* Int. ἀγαλλομένας. Ps. CXVIII. 120. cum ſacro Pſalte; *Confige ex timore tuo carnes meas: à judiciis enim tuis timui.* Et;
Gal. II. 20. *Vivo autem jam non ego; vivit verò in me Chriſtus.* Concedatur
* Int. ὑμᾶς verò ut vos quoque hoc
Cant. VI. 2. dicatis ſobriæ; *Ego fraterno meo, & fraternus meus mihi,* aliquando quidem ſponſus, aliquando verò frater; ut nihil cogitetur carnale. Si enim au- B dieris ſponſam & ſponſum, ſignificat ſpiritalem unionem cum patre. Vidimus præterea alios patres & Monachos per totam Ægyptum, multorum miraculorum ſignorumque editores; quorum non meminimus propter multitudinem; ſed pauca pro multis narravimus. Quid enim dixerit quiſpiam de ſuperiori Thebaide quæ eſt ad Syenen? in qua ſunt viri maximè admirabiles, & multitudo Monachorum infinita; quorum C non crediderit quis vitæ inſtituta, quòd humanam vitam excedant; qui etiam mortuos in hodiernum uſque diem ſuſcitant, & ſuper aquas ambulant, ſicut Petrus; tum quidquid Servator per ſanctos effecit Apoſtolos, ea nunc quoque perficit. Sed quia maximum nobis imminebat periculum, ſi ultra Lyco tranſiremus, propter latronum irruptionem, non auſi ſumus inviſere

A ἐκ μικρᾶς φιληδονίας τοῦτον προδόσασαι. * ἡμῖν δὲ δῴη ὁ θεὸς ἑκάστῳ μέλει σῶσαι τὴν παρθενίαν· καὶ * ἀγαλλομένας μετὰ τοῦ ἱεροψάλτου βοᾶν· καθήλωσον ἐκ τοῦ φόβου σου τὰς σάρκας μου· ἀπὸ γὰρ τῶν κριμάτων σου ἐφοβήθην. καὶ· ζῶ δὲ οὐκέτι ἐγὼ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός. γένοιτο δὲ * ἡμᾶς καὶ τοῦτο νηφούσας λέγειν· ἐγὼ τῷ ἀδελφιδῷ μου, καὶ ὁ ἀδελφιδός μου ἐμοί· ὅτε μὲν νυμφίος, ὅτε δὲ ἀδελφὸς, ἵνα μηδὲν B σαρκικὸν νοῆται. ἐὰν γὰρ ἀκούσῃς νύμφην καὶ νυμφίον, τὴν πνευματικὴν ἕνωσιν τὴν πρὸς τὸν πατέρα σημαίνει. εἴδομεν δὲ καὶ ἄλλους πατέρας καὶ μοναχοὺς κατὰ πᾶσαν τὴν Αἴγυπτον, πολλὰς δυνάμεις καὶ σημεῖα ἐπιτελοῦντας· ὧν διὰ τὸ πλῆθος οὐκ ἐμνημονεύσαμεν· ἀλλὰ ὀλίγα ἀντὶ πολλῶν διηγησάμεθα. τί γὰρ ἄν τις εἴποι περὶ τῆς ἀνωτέρας Θηβαΐδος τῆς κατὰ Συήνην, ἐν ᾗ θαυμασιώτατοι ἄνδρες τυγχάνου- C σιν, καὶ πλῆθος μοναχῶν ἄπειρον· ὧν οὐκ ἄν τις πιστεύσειεν ταῖς πολιτείαις, ὑπὲρ ἀνθρωπίνην ζωὴν ὑπαρχούσαις· οἳ καὶ νεκροὺς μέχρι τῆς σήμερον ἀνιστῶσιν, καὶ τῶν ὑδάτων ἐπιβαίνουσιν ὥσπερ ὁ Πέτρος, καὶ πᾶν ὅπερ ὁ σωτὴρ διὰ τῶν ἁγίων ἀποστόλων ἐπετέλεσεν, ταῦτα καὶ νῦν διαπλεῖ. ἀλλ᾽ ἐπειδὴ κίνδυνος ἦν ἐν ἡμῖν μέγιστος, περαιτέρω τῆς Λυκῶ ἀνελθεῖν, διὰ τὴν τῶν λῃστῶν ἔφοδον, οὐκ ἐτολμήσαμεν τοὺς ἁγίους ἐκείνους.

ἐκείνους ἰδεῖν. οὐδὲ γὰρ τοὺς προῤῥηθέντας πατέρας ἀκινδύνως ἴδομεν, οὐδ' ἀπόνως, οὐδὲ ἀκμητὶ τὰς ἱερὰς ταύτας ἑωράκαμεν· ἀλλὰ πολλὰ προπαθόντες, καὶ μικροῦ δεῖν κινδυνεύσαντες, μόγις κατηξιώθημεν ταῦτα θεάσασθαι. ἑβδόμον γὰρ θανάτῳ περιεπέσαμεν, ἐν δὲ τῷ ὀγδόῳ οὐχ ἥψατο ἡμῶν κακὸν, τοῦ θεοῦ πάντοτε ἡμᾶς διασώσαντος. ἅπαξ μὲν γὰρ λιμῷ καὶ δίψει πέντε νυχθήμερα διὰ τῆς ἐρήμου περιπατήσαντες, μικροῦ δεῖν ἐλειποψυχήσαμεν. A ἄλλοτε δὲ ὀξέσι καὶ τραχέσιν ἕλεσιν ἐμπεσόντες, καὶ τοὺς πόδας ἑαυτῶν διατρήσαντες, ὡς ἀνυποίστους γενέσθαι τὰς ἀλγηδόνας, μικροῦ δεῖν ἀπεψύξαμεν. τρίτον δὲ, βορβόρῳ ἐνεπάγημεν ἄχρις ὀσφύος, καὶ οὐκ ἦν ὁ ῥυόμενος· καὶ τὰς τοῦ μακαρίου Δαβὶδ ἀνεβοήσαμεν φωνάς· Σῶσόν με ὁ θεὸς, ὅτι εἰσήλθοσαν ὕδατα ἕως ψυχῆς μου· ἐνεπάγην εἰς ἰλὺν βυθοῦ, καὶ οὐκ ἔστιν ὑπόστασις. καί· Σῶσόν με ἀπὸ πηλοῦ, ἵνα μὴ ἐμπαγῶ. τέταρτον ἦν τὸ τῶν ὑδάτων πλῆθος ἐπιῤῥυὲν ἐκ τῆς τοῦ Νείλου αὐξήσεως, ἐπὶ τρεῖς ἡμέρας δι' ὑδάτων * περιφερόμενοι, καὶ ἐν τοῖς στομίοις μικροῦ δεῖν κατακλυσθῆναι. τότε ἐβοῶμεν λέγοντες· μή με καταποντισάτω καταιγὶς ὕδατος, μηδὲ καταπιέτω με βυθός. πέμπτον δὲ, λῃσταῖς περιεπέσαμεν κατὰ τὴν θαλασσίαν ὄχθαν ἐπὶ τὴν Διόλκον ἀφικόμενοι· οἳ ἄχρι τοσούτου ἡμᾶς κατεδίωξαν καταλαβεῖν

A illos sanctos. Neque enim prædictos patres vidimus sine periculo, ac labore, nec sine difficultate aspeximus sacras has * feminas: verùm multa priùs passi, & propemodum periclitati, vix assecuti sumus ut ea spectaremus. Septies enim in mortem incidimus, in octavo autem malum nos non attigit, quia Deus nos omnino servavit. Semel siquidem dum spatio quinque dierum & noctium ambulamus per solitudinem, B fame & siti prope fuimus exanimati. Aliàs verò in acutas & asperas paludes delapsi, pedibus perforatis, adeò ut dolores essent intolerabiles, propemodum obriguimus & enecti sumus. Tertiò autem, cœno ad lumbum usque inhæsimus, & non erat qui eriperet: tum has beati Davidis exclamavimus voces; *Salvum me fac Deus; quoniam intraverunt aquæ usque ad animam meam: infixus sum in limo profundi, & non est* C *substantia*. Item; *Eripe me de luto, ut non infigar.* Quartum verò fuit aquæ multitudo, quæ affluxerat ex Nili incremento, cùm tres dies per aquas incederemus, & in ostiis tantùm non submersi sumus. Tunc clamavimus dicentes; *Non me demergat tempestas aquæ, neque absorbeat me profundum.* Quinto autem, incidimus in latrones ad littus maris, veniendo in Diolcon; qui nos etiam eò usque sunt persecuti, cupidi

* Parad. MS. ἱστορίας

Ps. LXVIII. 2. 3. 15. 16.

* Ib. περαιούμενοι

Vide Lambec. De bibl. Cæsar. lib. 8. Cod. 19. & 42. Iob v. 19.

comprehendere, donec nobis A parvus relinqueretur spiritus, quasi decies mille passus insectatis. Sexto verò Nilum navigantes, pæne submersi sumus ac eversi. Septimum fuit, quando in palude Mareotide, ubi charta nascitur, abjecti sumus in parvam insulam desertam, tresque noctes ac dies sub dio mansimus, magno frigore & imbribus in nos imminentibus: erat enim tempus Epiphaniorum. At de octavo, supervacanea est narratio, utilis tamen. B Nam cùm per quemdam locum veniremus Nitrias, erat in ea regione magnum concavum aqua plenum, in quo multi remanserant crocodili, postquam aqua recessisset ex agris. Quoniam ergo tres crocodili in margine fossæ extensi erant, accessimus visuri belluas, mortuas rati; quæ statim in nos irruerunt. Nobis autem magna voce Dominum nominantibus, Christe adjuva, statim belluæ tamquam ab Angelo aversæ, C seipsas in aquam jaculatæ sunt: at nos Nitrias assiduo cursu contendimus, Jobi vocem meditantes, ubi ait; *Septies de necessitatibus eruet te; in octavo autem non tanget te malum.* Deo igitur agimus gratias, qui nos ex tot liberavit periculis, nobisque magna ostendit spectacula.

βουλόμενοι, ἄχρις ἂν τῆ πνοῇ ἡμῶν μικρὰν ὑπολειφθῆναι, ὡς ἐπὶ δέκα μίλια ἡμῶν διωχθέντων. ἕκτον δὲ, τὸν Νεῖλον πλέοντες, μικροῦ κατεποντίσθημεν καταστραφέντες. ἕβδομον ἦν, ὅτε κατὰ τὴν Μαρεώτιδα λίμνην, ἔνθα ὁ χάρτης γίνεται, εἰς νῆσόν τινα μικρὰν ἀπερρίφημεν ἔρημον, καὶ τρία νυχθήμερα ὑπαίθριοι ἐμείναμεν, κρύους μεγάλου καὶ ὄμβρων ἡμῖν ἐπικειμένων· ἦν γὰρ ὁ καιρὸς τῶν Ἐπιφανίων. ἐν δὲ τῷ ὀγδόῳ, B περισσὸν μέν ἐστι τὸ διήγημα, ὅμως ὠφέλιμον. παριόντων γὰρ ἡμῶν διά τινος τόπου εἰς τὰς Νιτρίας, κοιλάς τις ἦν κατὰ τὴν χώραν μεγάλη ὕδατος γέμουσα, ἐν ᾗ ἐναπομείναντες κροκόδειλοι ἦσαν πολλοί, τοῦ ὕδατος ἐκ τῶν χωρῶν ὑποχωρήσαντος. τριῶν οὖν κροκοδείλων ἐπὶ τὸ χεῖλος τοῦ βόθρου ἐκτεταμένων, προσίημεν ἡμεῖς ὀψόμενοι τὰ θηρία, νομίσαντες αὐτὰ τεθνηκέναι· τὰ δὲ εὐθὺς ἐφ' ἡμᾶς ὥρμησαν. ἡμῶν δὲ μεγάλῃ τῇ φωνῇ τὸν C κύριον ὀνομασάντων, Χριστὲ βοήθει, εὐθὺς οἱ θῆρες ὥσπερ ὑπὸ ἀγγέλου ἀποστραφέντες, ἑαυτοὺς εἰς τὸ ὕδωρ ἠκόντισαν· ἡμεῖς δὲ δρόμῳ συχνῷ ἐπὶ τὰς Νιτρίας ἀπεληλύθαμεν, τὴν τοῦ Ἰὼβ φωνὴν μελετῶντες, ἔνθα φησίν· ἑπτάκις ἐξ ἀναγκῶν ἐξελεῖταί σε, ἐν δὲ τῷ ὀγδόῳ οὐ μὴ ἅψηταί σου κακόν. εὐχαριστοῦμεν οὖν τῷ θεῷ, τῷ ἐκ τοσούτων ἡμᾶς κινδύνων ῥυσαμένῳ, καὶ μεγάλας θεωρίας ἡμῖν ἐπιδείξαντι.

Η ΚΑΤ' ΑΙΓΥΠΤΟΝ τῶν μοναχῶν ἱστορία. ἤτοι Παράδεισος.

A

Εὐλόγητος ὁ θεὸς, ὁ θέλων πάντας ἀνθρώπους σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν· ὁ καὶ ἡμᾶς καθοδηγήσας ἐπὶ τὴν Αἴγυπτον, καὶ δείξας ἡμῖν μεγάλα καὶ θαυμαστὰ, καὶ μνήμης καὶ γραφῆς ἄξια· ὁ δοὺς ὑπόθεσιν ἡμῖν σωτηρίας, καὶ γνῶσιν τοῖς ἐθέλουσι σωθῆναι, ὑπόδειγμα ζωῆς ἀγαθῆς, καὶ ὑφήγησιν * ἀγαθὴν, διεγεῖραι ψυχὴν πρὸς εὐσέβειαν δυναμένην, καὶ ἐναρέτου πολιτείας καλὸν ὑπόμνημα. κἀγὼ μὲν ἀνάξιος ὢν τῆς τοιαύτης ὑφηγήσεως κατάρξασθαι, διὰ τὸ μὴ ἱκανὸν εἶναι, τοὺς μικροὺς, τῶν μεγάλων ἐφάπτεσθαι ὑποθέσεων, μὴ * ἐπαξίως δυναμένους τὰ ἀληθῆ ἐξειπεῖν, καὶ μάλιστα γραφῇ παραδοῦναι τὸ πρᾶγμα, καὶ μετρίῳ λόγῳ τὰ δύσφραστα φράζειν κατατολμῶντας. ὅπερ καὶ τολμηρότερον ἄγαν καὶ ἐπικίνδυνον, εὐτελεστέροις οὖσιν ἡμῖν, πρώτως ἐπὶ τὴν ὑψηλοτάτην ταύτην ὑπόθεσιν, διὰ γραμμάτων χωρεῖν. ὅμως παρακληθεὶς συνεχῶς ὑπὸ τῆς εὐλαβοῦς ἀδελφότητος, τῆς ἐν τῷ ἁγίῳ ὄρει τῶν ἐλαίων πολιτευομένης, γράψαι αὐτοῖς τὰς τῶν ἐν Αἰγύπτῳ μοναχῶν πολιτείας, ἃς ἐθεασάμην, τὴν πολλὴν ἀγάπην αὐτῶν, καὶ

ÆGYPTIORUM Monachorum Historia. sive Paradisus.

Vita Patrum lib. 2. init.

Benedictus Deus, *qui vult omnes homines salvos fieri, & ad agnitionem veritatis venire*; qui etiam nos deduxit in Ægyptum, ostenditque nobis magna & mirabilia, memoratu ac scriptu digna; qui nobis dedit occasionem salutis, & cognitionem salutem cupientibus consequi, bonæ vitæ exemplum, B necnon præclaram narrationem, quæ animam ad pietatem excitare valeat, denique vitæ & conversationis virtutibus ornatæ monumentum. Ego verò indignus qui hujusmodi narrationem aggrediar; quia non decet, ut parvi magna attingant argumenta, cùm non possint condignè veritatem edisserere, maximéque rem scriptis consignare, per mediocrem sermonem effatu difficilia effari audendo. C id quod valde nimiumque audax est ac periculosum, nobis qui viliores sumus, primò ad hanc celsissimam materiam per scripta accedere. Verumtamen quoniam sæpe sæpius rogatus fui à religiosa fraternitate, quæ in monte sancto Oliveti commoratur, ut iis describerem Ægyptiorum Monachorum vivendi rationes, quas conspexi, magnam eorum caritatem, &

1. Tim. II. 4.

* Al. ἱκανὴν

* Abest ab al.

multam exercitationem pieta- A
tis; illorum precibus confidens,
hanc relationem suscipere au-
sus sum; quò & mihi nonnihil
lucri accedat ex eo emolumen-
to, dum ipsorum imitatus fue-
ro vitam, atque absolutam à
mundo secessionem, itemque
quietem, per tolerantiam vir-
Al. inser. ἐς tutum, quam ad finem usque
retinent. Verè enim intuitus
sum Dei thesaurum, multorum
utilitatem. Verùm in usum
communem lucrum produxi,
ratus præclaram mihi fore hu- B
jusmodi negotiationem, si com-
modi fratres participes face-
rem, ut pro mea precentur sa-
lute. Primò itaque hanc con-
scriptionem instituam, adsi-
stente Servatore nostro Jesu
Christo; quàndoquidem juxta
ipsius doctrinam, hoc pacto vi-
tam suam Ægyptii Monachi
moderantur. Vidi quippe illic
multos patres, Angelicam vi-
tam agentes, ac in Servatoris
nostri Jesu imitatione inceden-
tes, novos quosdam aliosque C
prophetas, ex ista divina & ad-
mirabili vitæ conversatione,
virtutibus refertâ, vim & effi-
caciam adeptos planè divinam;
re verâ Dei famulos, qui ni-
hil terrenum saperent, nihil ex
istis temporalibus æstimarent.
Qui profectò dum sic in terra
vivunt, in cœlis conversantur.
Scilicet eorum nonnulli ne
quidem quòd sit in terra mun-
dus alius norunt, neque quòd
malitia in urbibus versetur ac

πολλὴν ἄσκησιν· ταῖς αὐτῶν εὐχαῖς
καταπιστεύσας, ἐτόλμησα πρὸς
τὴν διήγησιν ταύτην τραπῆναι· ἵνα
κἀμοί τι κέρδος γένηται τῆς αὐτῶν
ὠφελείας, μιμησαμένῳ αὐτῶν τὴν
πολιτείαν, καὶ τὴν παντελῆ τοῦ
κόσμου ἀναχώρησιν καὶ ἡσυχίαν,
διὰ τῆς ὑπομονῆς τῶν ἀρετῶν, * μέ-
χρι τέλους κατέχουσιν. ἴδον γὰρ ἀλη-
θῶς τὸν τοῦ θεοῦ θησαυρὸν, τὴν τῶν
πολλῶν ὠφέλειαν. ἀλλ' εἰς κοινὸν
τὸ κέρδος ἤγαγον, ἡγησάμενος ἔσε-
σθαί μοι καλὴν ταύτην ἐμπο-
ρείαν, τὸ μεταδοῦναι τοῖς ἀδελφοῖς
τῆς ὠφελείας, ἵνα εὔξωνται ὑπὲρ
τῆς ἐμῆς σωτηρίας. πρῶτον μὲν ποιή-
σομαι τὴν γραφὴν ταύτην, τῇ
τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ
παρουσίᾳ· καὶ ὅτι κατὰ τὴν αὐτοῦ δι-
δασκαλίαν οἱ ἐν Αἰγύπτῳ μονα-
χοὶ ἄγουσιν αὐτὴν ἑαυτῶν πολι-
τείαν. ἴδον γὰρ ἐκεῖ πολλοὺς πατέ-
ρας, ἀγγελικὸν βίον βιοῦντας, καὶ
κατὰ μίμησιν τοῦ σωτῆρος ἡμῶν
Ἰησοῦ ἐρχομένους, καὶ νέους τινὰς
καὶ ἄλλους προφήτας, κατὰ τὴν
πολιτείαν ἔνθεον αὐτὴν καὶ θαυ-
μαστὴν καὶ ἐνάρετον ἔχοντας ἐνέρ-
γειαν θεοειδῆ· ὡς ἀληθῶς θεοῦ θε-
ράποντας, οὐδὲν γήϊνον φρονοῦν-
τας, οὐδέ τι τῶν προσκαίρων τού-
των λογιζομένους. ἀλλ' ὄντως οὕ-
τως ἐπὶ γῆν ζῶντες, ἐν οὐρανοῖς
πολιτεύονται. οἱ μὲν γὰρ αὐτῶν οὐδ'
ὅτι κόσμος ἐστὶν ἕτερος ἐπὶ γῆς ἐπί-
στανται, οὐδ' ὅτι κακία ἐν πόλεσιν

A ἐμπολιτεύεται· ἀλλ' ὄντως εἰρήνη πολλὴ τοῖς ἀγαπῶσι τὸν νόμον, λέγει κύριος παντοκράτωρ. πολλοὶ δὲ ἐξ αὐτῶν καὶ ξενίζονται, τὰ ἐν τῷ κόσμῳ ἀκούοντες, λήθην παντελῶς τῶν γηΐνων φροντίδων ἔχοντες. ἔστι γὰρ αὐτοὺς ἰδεῖν ἐν ταῖς ἐρήμοις σποράδην, οἷά τε υἱοὺς γνησίους, τὸν ἑαυτῶν πατέρα, τὸν Χριστὸν περιμένοντας· ἢ στρατιάν τινα, τὸν ἑαυτῶν βασιλέα· ἢ οἰκετίαν σεμνὴν, τὸν ἑαυτῶν δεσπότην καὶ ἐλευθερωτὴν ἀναμένοντας.

B οὐ φροντὶς ὑπάρχει παρ' αὐτοῖς, οὐκ ἐσθῆτος, οὐ βρωμάτων μέριμνα, ἀλλὰ προσδοκία μόνη ἐν ὕμνοις τῆς τοῦ Χριστοῦ παρουσίας. τοιγαροῦν ὅταν τις αὐτῶν ἐν ταῖς ἀναγκαίαις χρείαις ἐλλείπηται, οὐ πόλιν ἐπιζητεῖ, οὐ κώμην, οὐκ ἀδελφὸν, οὐ φίλον, οὐ συγγενῆ, οὐ γονεῖς, οὐ τέκνα, οὐκ οἰκετίαν, ἵνα ἐκεῖθεν τὰς χρείας ποιήσηται· ἀλλ' ἡ βούλησις ἤρκεσε μόνη, πρὸς ἱκεσίαν τὰς χεῖρας ἐκτείνασα, καὶ λόγους εὐχαριστίας θεῷ ἐκ χειλέων προσφέρουσα,

C ταῦτα ἐξ ἀμηχάνων αὐτῷ πάντα παραστῆσαι. καὶ τί δεῖ πολλὰ λέγειν περὶ τῆς εἰς τὸν Χριστὸν αὐτῶν πίστεως, δυναμένης καὶ ὄρη μεθιστάναι; πολλοὶ γὰρ αὐτῶν καὶ ποταμῶν ῥεύματα ἔστησαν, καὶ τὸν Νεῖλον ἐπέζευσαν, καὶ θῆρας ἀπέκτειναν, καὶ ἰάσεις, καὶ θαύματα, καὶ δυνάμεις, ὅσας οἱ ἅγιοι ἐποίουν, προφῆται καὶ ἀπόστολοι, ἐπετέλεσαν. καὶ ὡσαύτως δι' αὐτῶν

exerceatur; ſed verè *Pax multa diligentibus legem*, dicit Dominus omnipotens. (Pſ. cxviii. 165.) Multi autem ex eorum numero etiam ſtupent, cùm res ſæculi audiunt, prorſus obliti terreſtrium curarum. Cernere licet eos, in deſertis diſperſos, tamquam germanos liberos patrem ſuum Chriſtum præſtolantes; aut inſtar exercitus, regem, vel familiæ rectè compoſitæ, dominum ſuum & liberatorem, exſpectantes. Nulla apud eos ſollicitudo, non veſtimenti, non de cibis cura, ſed unica inter hymnos exſpectatio adventûs Chriſti. Quocirca quoties aliquis ex ipſis rebus ad uſum neceſſariis indiguerit, non civitatem requirit, non vicum, non fratrem, amicum, cognatum, parentes, liberos, famulos, ut inde ea comparet quibus opus habet; ſed ſola ſufficit voluntas, quæ extendens manus ad ſupplicationem, & labia ad gratias Deo agendas aperiens, cuncta hæc ei ſtupendo modo exhibeat. Et verò quid plura dicamus de fide illorum erga Chriſtum, quæ poſſit etiam montes transferre? (Matt. xvii. 19.) Nam ipſorum complures fluviorum irrumpentes undas retinuerunt, Nilum pedibus tranſierunt, feras peremerunt, atque morborum curationes, miracula, maximæ potentiæ opera ediderunt, qualia ſancti faciebant Prophetæ atque Apoſtoli: conſimili modo per ipſos

mirabilia operatur Servator; cunctisque illius regionis hominibus clarum est, per eos mundum consistere, per eos stare apud Deum & honore affici vitam humanam. Vidi quoque aliam immensam multitudinem Monachorum, quæque sub numerum cadere nequit, constantem omni ætate, in desertis, in regionibus, tantam, ut non possit terrenus Imperator adeò ingentem sibi exercitum cogere. Non est enim villa neque urbs in Ægypto ac Thebaide, quæ non Monasteriis, sicut muris cincta sit; eorumque precibus populi, tamquam in Deo innituntur. Atque alii in speluncis, per eremos, alii
* Al. ἀπωτάτοις in locis remotissimis, omnes ubique, inter se maximè contendendo, mirabilem suam ostendunt exercitationem. qui sunt de longinquo connituntur ne quis alius ipsos in rectè factis superet; cæteri de proximo, ne malitiâ eos undique premente, minùs quàm remotissimi comprobentur. Unde plurimum emolumenti cùm ex ipsis cepissem, in hanc deveni enarrationem; ad æmulationem & commonitionem perfectorum, ædificationem verò ac utilitatem eorum qui in sanctitate exercere se incipiunt.

Paradisus.

V. P. II. 1. Initium itaque narrationis, Deo volente, faciam, sanctorum magnorumque patrum

* Al. ποιοῦ

A θαυματουργεῖ ὁ σωτήρ· καὶ πᾶσιν εὔδηλόν ἐστι τοῖς ἐκεῖ, ὡς δι' αὐτῶν ἕστηκεν ὁ κόσμος, καὶ δι' αὐτοὺς παρὰ θεῷ ἕστηκε καὶ τετίμηται ἡ ἀνθρωπίνη ζωή. ἴδον δὲ καὶ ἕτερον πλῆθος ἄπειρον μοναχῶν, καὶ μὴ δυνάμενον ἀριθμῷ ὑποβάλλεσθαι, πάσαις ἡλικίαις ἔχον ἐν ταῖς ἐρήμοις, καὶ ἐν ταῖς χώραις, ὅσον οὐ δύναται βασιλεὺς γήϊνος ἑαυτοῦ στράτευμα συναθροῖσαι. οὐ γάρ ἐστι κώμη, οὔτε πόλις ἐν Αἰγύπτῳ τε καὶ B Θηβαΐδι, ἣ οὐχὶ τοῖς μοναστηρίοις, καθάπερ τείχεσι περιβέβληται· καὶ ταῖς αὐτῶν εὐχαῖς οἱ λαοί, ὥσπερ ἐπὶ τῷ θεῷ ἐπερείδονται. καὶ οἱ μὲν ἐν τοῖς σπηλαίοις, ἐν ἐρήμοις, οἱ δὲ ἐν τοῖς * ἀποπάτοις, πάντες πανταχοῦ φιλονεικότατοι ἀλλήλων, τὴν ἑαυτῶν ἄσκησιν θαυμαστὴν ἐπιδείκνυνται. οἱ μὲν πόρρωθεν σπουδάζοντες, μή τις ἕτερος ἐν τοῖς κατορθώμασι αὐτοὺς ὑπερβάλλοι· οἱ δὲ C ἐγγύθεν, μὴ τῆς κακίας αὐτοῖς πανταχόθεν ὀχλούσης, ἧττον τῶν πορρωτάτω εὐδοκιμήσουσιν. ὅθεν πολλὴν ὠφέλειαν ἐξ αὐτῶν ποιησάμενος, ἐπὶ τὴν ἐξήγησιν ταύτην ἐχώρησα· πρὸς ζῆλον μὲν καὶ ὑπόμνησιν τῶν τελείων, πρὸς οἰκοδομὴν δὲ καὶ ὠφέλειαν τῶν ἀρχομένων ἀσκεῖν.

Παράδεισος.

Πρώτην οὖν θεοῦ θέλοντος ἀρχὴν * ποιήσωμαι ὑφηγήσεως, τὴν τῶν ἁγίων καὶ μεγάλων πατέρων

πολιτείαν ἐκδιηγούμενος, ὡς ὅτι καὶ νῦν τὰ* αὐτὰ ὁ σωτὴρ δι' αὐτῶν ἐνεργεῖ, ἅπερ διὰ τῶν προφητῶν καὶ ἀποστόλων ἐνήργησεν. ὁ γὰρ αὐτὸς κύριός ἐστι καὶ τότε καὶ νῦν καὶ εἰς ἔπειτα, ἐνεργῶν τὰ πάντα ἐν πᾶσιν. ἐθεασάμην οὖν ἐγὼ ἐν τοῖς ὁρίοις* τῆς *Λύκων τῆς Θηβαΐδος, τὸν μέγαν καὶ μακάριον Ἰωάννην &c. In Historia Lausiaca Palladii cap. 43. A

vitam & gesta enarraturus; quòd nunc etiam Servator eadem per illos operetur, quæ per Prophetas & Apostolos edidit. Idem quippe est Dominus, & tunc, & nunc, & in posterum, cuncta in cunctis efficiens. Vidi ergo ego in finibus Lyco quæ urbs Thebaidis est, magnum beatumque Johannem.

* Al. ἑαυτοῦ

* Al. Λυκῶ

B

Περὶ τῆς Ὀξυρύγχου πόλεως.

Παρεγενόμεθα δὲ καὶ εἰς Ὀξύρυγχόν τινα πόλιν τῆς Θηβαΐδος, ἧς οὐκ ἔστιν εἰπεῖν κατ' ἀξίαν τὰ θαύματα. γέμει γὰρ ἔνδοθεν οὕτως μοναστηρίων, ὡς τὰ τείχη ὑπ' αὐτῶν* ἐξωθεῖσθαι τῶν μοναχῶν· περιέχεται δὲ ἔξωθεν ἑτέροις μοναστηρίοις, ὡς ἄλλην εἶναι παρὰ ταύτην τὴν ἔξω πόλιν. ἔγεμον δὲ τῆς πόλεως οἱ ναοὶ καὶ τὰ καπετώλια τῶν μοναχῶν, καὶ κατὰ πᾶν μέρος τῆς πόλεως ᾤκουν οἱ μοναχοί. δεκαδύο γάρ εἰσιν ἐν αὐτῇ ἐκκλησίαι, C μεγίστης οὔσης τῆς πόλεως, ἐν αἷς οἱ ὄχλοι συνάγονται. τὰ γὰρ τῶν μοναχῶν εὐκτήρια, καθ' ἕκαστον ἦν μοναστήριον καὶ σχεδὸν πλείους ἦσαν οἱ μοναχοί, ὑπὲρ τοὺς κοσμικοὺς πολίτας, κατὰ πάσας τὰς εἰσόδους τῆς πόλεως, καὶ ἐν τοῖς πύργοις τῶν πυλῶν καταμένοντες. πεντακισχίλιοι μὲν γὰρ μοναχοὶ ἐλέγοντο εἶναι ἔνδοθεν, τοσοῦτοι δὲ αὐτὴν ἔξωθεν περιέχοντες· καὶ οὐκ ἦν ὥρα ἡμερινὴ οὐδὲ νυκτερινή, ἐν ᾗ τὰς λατρείας οὐκ ἐπιτέλουν τῷ θεῷ.

De Oxyryncho civitate.

Venimus autem & ad Oxyrynchum civitatem quamdam Thebaidis, cujus mirabilia pro dignitate narrare non licet. Adeò enim repleta est intus Monasteriis, ut muri ex ipsis personent Monachis: circumdatur autem extrinsecus aliis Monasteriis, instar alterius exterioris civitatis. Referta quoque erant urbis templa & capitolia Monachis, perque omnes urbis regiones habitabant Monachi. Nam duodecim in ea sunt Ecclesiæ, utpote maxima civitate, in quibus plebs congregatur. Etenim Monasteriorum oratoria, per unumquoque Monasterium sunt; denique ferè Monachi numero superant cives sæculares, ad omnes introitus urbis & in portarum turribus positi. Certè intrò dicebantur esse Monachi quinquies mille, totidemque extrà per ambitum; neque hora erat diurna vel nocturna, in qua Deo sacrum cultum non exhiberent.

V. P. II. 5.

* Al. ἐξηχεῖσθαι

Sed nec ullus erat incola Hæreticus aut Paganus, imò omnes pariter cives, fideles & Catechumeni; ita ut possit Episcopus in platea pacem dare populo. Porrò magistratus eorum ac principes viri, qui munera populis erogant, ad portas & ad ingressus speculatores collocant, ut sicubi peregrinus aliquis pauper apparuerit, ad eos ducatur, accepturus in solatium sumptus necessarios. Jam quo modo retulerit quispiam pietatem populorum, cùm nos hospites viderunt, per forum transeuntes, atque ad nos velut ad Angelos accesserunt? Quo modo enarraverit multitudinem Monachorum & virginum, numerum excedentium? Attamen quod à sancto loci Episcopo compertum habuimus, indicabimus, habuisse illum sub sua potestate decem millia Monachorum, viginti millia virginum. Cæterùm hospitalitatem eorum, & caritatis magnitudinem edicere non valeo. Discindebantur enim pallia nostra, dum singuli nos ad se pertraherent. Atque illic vidimus multos magnosque patres, diversis charismatum donis ornatos, alios in sermone, alios in vitæ institutis, alios in prodigiis, virtutibus & signis.

A ἀλλ᾽ οὐδὲ εἷς ἦν τῶν οἰκητόρων αἱρετικὸς οὐδὲ ἐθνικὸς ἐν τῇ πόλει, ἀλλὰ πάντες ὁμοῦ οἱ πολῖται πιστοὶ καὶ κατηχούμενοι ὡς δύνασθαι δοῦναι τὸν ἐπίσκοπον ἐν τῇ πλατείᾳ εἰρήνην τῷ λαῷ. οἱ δὲ στρατηγοὶ αὐτῶν καὶ οἱ ἄρχοντες, * οἱ * τὰς * φιλοτιμίας * τοῖς * δήμοις * παρέχοντες, κατὰ τὰς εἰσόδους σκοποὺς ἔστησαν, πρὸς τὸ εἰ ξένος τις πενόμενός που φανείη, ἀχθῆναι πρὸς αὐτοὺς, ληψόμενον πρὸς παραμυθίαν ἀναλώματα. καὶ
B τί ἄν τις εἴποι τὴν εὐλάβειαν τῶν δήμων ὁρώντων ἡμᾶς τοὺς ξένους, διὰ τῆς ἀγορᾶς παριόντας, καὶ ὥσπερ ἀγγέλοις ἡμῖν προσιόντων; τί δὲ τὸ πλῆθος ἐξείποι τις τῶν μοναχῶν καὶ παρθένων, ἀναριθμήτων ὄντων; πλὴν ὅσον παρὰ τοῦ ἐκεῖ ἁγίου ἐπισκόπου ἠκριβωσάμεθα, δηλώσομεν, μυρίους μὲν μοναχοὺς ὑπ᾽ * αὐτῶν, δισμυρίας δὲ παρθένους * ἔχοντες. τῆς δὲ φιλοξενίας αὐτῶν καὶ τὴν ἀγάπην εἰπεῖν εἶχον,
C ἐμὲ οὐχ οἷον * ἐξειπεῖν. διεσπάτο γὰρ ἡμῶν τὰ παλλία, * ἐκ * τῶν ἡμᾶς πρὸς ἑαυτοὺς ἀνθελκόντων. καὶ ἴδομεν ἐκεῖ πολλοὺς καὶ μεγάλους πατέρας, διάφορα χαρίσματα ἔχοντας, τοὺς μὲν ἐν λόγῳ, τοὺς δὲ ἐν πολιτείᾳ, τοὺς δὲ ἐν δυνάμεσι καὶ σημείοις.

De Abbate Evagrio.

Vidimus pariter Evagrium virum sapientem & doctum, qui cogitationum discernendarum

Περὶ Ἀββᾶ Εὐαγρίου.

Ἴδομεν δὲ καὶ Εὐάγριον ἄνδρα σοφὸν καὶ λόγιον, ὃς τῶν λογισμῶν ἱκανὴν εἶχεν

* Absunt ab al.
* Al. αὐτὸν
* Al. ἔχοντες
* In ser. τε.
* Al. ἐκπιέζειν
V. P. II. 27.

εἶχεν διάκρισιν, ἐκ πείρας τὸ πρᾶγμα παρειληφώς. ὃς πολλάκις κατελθὼν εἰς Ἀλεξάνδρειαν, τῶν τῶν Ἑλλήνων φιλοσόφοις ἀπεστόμιζεν. οὗτος παρήγγειλε τοῖς μεθ' ἡμῶν ἀδελφοῖς, ὕδατος μὴ κορέννυσθαι. οἱ γὰρ δαίμονες ἔφη, * τοῖς ὑδροχοεῖς τόποις συνεχῶς ἐπιβαίνουσιν. ἄλλους τε πολλοὺς πρὸς ἡμᾶς περὶ ἀσκήσεως ἐποιήσατο λόγους, ἐπιστηρίξας ἡμῶν τὰς ψυχάς.

A vi valde præditus fuit, per experientiam id rei consecutus. qui sæpe in Alexandriam descendens, Græcorum Ethnicorumque philosophis os obturabat. Is admonuit fratres qui nobiscum erant, ne aquam ad satietatem biberent. Dæmones enim, inquiebat, loca quæ aquas fundunt, assiduè incursant. Sed & multos alios de sancta exercitatione nobis protulit sermones, quibus animas nostras confirmabat.

* Al. τοῖς ὑδροχοεῖς λοις τόποις. Al. τοὺς ὑδροπλεῖς

B

Περὶ Ἀββᾶ Πατερμουθίου.

De Abbate Patermuthio.

Ἦν γάρ τις πατὴρ πρὸ ἡμῶν ὀνόματι * Πατερμούθιος, πρῶτος τῶν ἐν τῷ τόπῳ τούτῳ μοναχῶν αὐτὸς γενόμενος, ὃ καὶ τὸ μοναχικὸν ἔνδυμα τοῦτο πρῶτος αὐτοῖς ἐφεῦρεν· αὐτὸς δὲ ἀρχιλῃστὴς * πρῶτος καὶ νεκροτάφος Ἑλλήνων ὑπάρχων, καὶ διαβόητος ἐπὶ κακίᾳ γενόμενος, πρόφασιν εὕρατο σωτηρίας τοιαύτην. ἐπέστη ποτὲ νυκτὸς τινι παρθενευούσῃ, συλῆσαι τὸ μοναστήριον αὐτῆς προθυμηθείς· εὑρέθη δὲ μηχανῇ τινι ἐπὶ τὰ δώματα· μὴ εὑρὼν δὲ * ποίας εἰσέλθῃ εἰς τὸ ταμεῖον, ἢ πάλιν * ποίας ὑποχωρήσῃ, ἔμεινεν λογιζόμενος ἐπὶ τοῦ δώματος ἄχρις ἡμέρας· καὶ μικρὸν ἀφυπνώσας, ὁρᾷ ὡς * βασιλέως τινὸς, λέγοντος αὐτῷ κατ' ἐν ὕπνοις, μὴ περὶ τῶν * φόνοις εἶναι, καὶ * τῶν μικρῶν τούτων κλεμμάτων τὴν σπουδὴν ἔχειν, ἐπαγρυπνοῦντα, ἀλλὰ εἰ βούλοιτο μεταβάλλειν τὸν τρόπον ἐπὶ ἀρετὴν, καὶ * στρατηγίαν

Erat enim ante nos quidam pater, nomine Patermutius, qui primus illius loci Monachorum exstitit, & Monachicam hanc vestem primus ipsis adinvenit. Is cùm principiò esset princeps latronum, ac vespillo Gentilium, famosusque in nequitia, hanc nactus est occasionem salutis. Advenit nocte aliquando ad virginem aliquam, ipsius Monasterium deprædari animo meditatus; cúmque nonnullâ machinâ in tecta conscendisset, nec inveniret quà in conclave ingrederetur, & quà rursus recederet, remansit in tecto cogitabundus usque ad ortum diei; parumque obdormiens, videt quasi regem quemdam qui dicebat ipsi in somnis, ne ampliùs circa sepulcra, homicidia, parvaque hæc furta vacaret, invigilando; sed si vellet mores mutare ad virtutem, &

C

V. P. 11. 9

* Al. Πατερμούθιος. Al. Μούθιος

* Al. πρῶτον

* Al. πῶς

* Al. πῶς

* Al. βασιλέα τινὰ λέγοντα

* Al. τάφοις

* Al. τῶν κλεμμάτων

* Al. τῆς ἀγγελικῆς [illegible]

* Al. ἐπαναλαβεῖν

* Al. -ἅγιοι

Deest in aliis.

* Al. ψυχὴν

* Al. εἶ)

* Al. ποσὶν

* Al. add. τὰς ἁγίας

A Angelicam militiam suscipere, accepturum ab ipso ejusmodi potestatem. Ubi autem libenter conditionem admisisset, ostendit ei immortale Monachorum agmen, quibus jussus est imperare. Igitur expergefactus vir cernit virginem ipsi adstare ac dicere; Unde tu huc advenisti, ô homo; aut cujus conditionis es? Ille verò nihil scire aut esse respondens, Ecclesiam sibi ostendi poposcit. Utque illa monstravit; ad genua pedesque Presbyterorum B procumbens, postulabat ut Christianus fieret, ac pœnitentiæ locum nancisceretur. Presbyteri autem, qui cognoscerent eum, admirati, commonebant deinceps atque edocebant, ne ampliùs esset homicida. Rogavit porrò eos, ut Psalmos audiret. Cúmque tres solummodo versus audisset primi Psalmi, sibi interim eos sufficere dixit ad disciplinam. Tum apud illos tribus diebus C transactis, egressus statim, ad eremum properat. Ubi per tres annos commoratus, in precibus & lacrymis perseverans, pro cibo agrestibus herbis contentus erat, quibus pascebatur. Postea regressus est in Ecclesiam, doctrinam referens operibus firmatam; dicebatque sibi divinitus datam fuisse gratiam, expectorandi memoriterque recitandi sacras Scripturas. Iterum autem demirabantur illum Presbyteri, quòd

ἀγγελικὴν * στρατηγεῖν, λαβεῖν παρ' αὐτοῦ ταύτην τὴν ἐξουσίαν. ὁ δὲ ὡς ἀσμένως ὑπεδέξατο, καὶ δὴ τάγμα μοναχῶν * ἄγγελοι ὑποδείκνυσιν, καὶ ἄρχειν αὐτῶν παρεκελεύετο. ἔξυπνος δὲ γενόμενος ὁ ἀνὴρ ὁρᾷ τὴν παρθένον αὐτῷ παρεστῶσαν καὶ λέγουσαν· πόθεν σὺ παραγέγονας ὧδε, ὦ ἄνθρωπε, ἢ τίς ὑπάρχεις τὴν * τύχην; ὁ δὲ, μηδὲν * εἰδέναι φήσας αὐτῇ, τὴν ἐκκλησίαν ὑποδείκνυσθαι αὐτῷ παρεκάλει. καὶ δὴ ὡς ἐπέδειξεν, προσπεσὼν τοῖς τῶν πρεσβυτέρων * γόνασιν, ἠξίου Χριστιανὸς γενέσθαι, καὶ μετανοίας χώραν εὑρεῖν. ἐπιγνόντες δὲ αὐτὸν οἱ πρεσβύτεροι, καὶ θαυμάσαντες, ἐνουθέτουν λοιπὸν καὶ ἐδίδασκον, τοῦ μηκέτι εἶναι ἀνδροφόνον. ἠξίου δὲ αὐτοὺς, τῶν ψαλμῶν ἐπακούειν. καὶ τριῶν στίχων ἐπακούσας μόνον τοῦ πρώτου ψαλμοῦ, ἀρκεῖν ἑαυτῷ τέως ἔφη, ταῦτα πρὸς μάθησιν. καὶ ἐπιμείνας πρὸς αὐτοὺς τρεῖς ἡμέρας, ἐξελθὼν εὐθὺς, ἐπὶ τὴν ἔρημον ὥρμησεν. καὶ τριέτη διάγων χρόνον κατὰ τὴν ἔρημον. ἐν εὐχαῖς καὶ δάκρυσιν διημερεύων, πρὸς τροφὴν ταῖς ἀγρίαις βοτάναις ἠρκεῖτο, καὶ ταύταις ἐνέμετο. ἐπανῆλθεν δὲ εἰς τὴν ἐκκλησίαν, ἔμπρακτον ἀπαγγέλλων τὸ μάθημα· χάριν δὲ αὐτῷ δεδόσθαι θεόθεν ἔλεγεν, ἀποστηθίζειν ἔξωθεν τὰς γραφάς. * ἐθαύμαζον δὲ αὐτὸν πάλιν οἱ πρεσβύτεροι, ἀκροατὴν

μεταλαβόντα τὴν ἄσκησιν. καὶ φωτίσαντες αὐτὸν, παρεκάλουν συνδιατρίβειν. ὁ δὲ ἐπιμείνας πρὸς αὐτοὺς ἑπτὰ ἡμέρας, ἐπὶ τὴν ἔρημον πάλιν ἐξῄει. καὶ δὴ ἐν ἑπτὰ ἔτεσιν ἄλλοις, ἐν τῇ πανερήμῳ διατελέσας, πολλῆς χάριτος ὁ ἀνὴρ ἠξιώθη. ἄρτος μὲν γὰρ αὐτῷ τῇ κυριακῇ μόνῃ, πρὸς κεφαλὴν ηὑρίσκετο δεξαμένῳ, οὗ μεταλαμβάνων, ἕως τῆς ἄλλης κυριακῆς ἠρκεῖτο. ἐπανῆλθεν δὲ πάλιν ἐκ τῆς ἐρήμου, τὴν ἄσκησιν ἐνδεικνύμενος, καί τινας πρὸς τὴν αὐτὴν πολιτείαν ἐλθεῖν ἐρεθίζων. προσῆλθεν δὲ αὐτῷ τις νεανίας, μαθητευθῆναι βουλόμενος. ὁ δὲ εὐθὺς ἐνδύσας αὐτὸν * λεβιτῶνα, καὶ κουκούλλιον τῇ κεφαλῇ περιθεὶς, ἐπὶ τὴν ἄσκησιν * προσεβίβαζεν, τὴν μηλωτὴν περὶ τοῖς ὤμοις αὐτοῦ περιθέμενος, καὶ λέντιον αὐτὸν περιζωσάμενος. καὶ δὴ εἴπου τις τῶν Χριστιανῶν ἐτελεύτα, προσκαρτερῶν αὐτοῦ ταῖς ἀγρυπνίαις, καθαρείως ἐκήδευεν. ἰδὼν δὲ αὐτὸν ὁ μαθητὴς, θαυμασίως τοὺς τεθνεῶτας κηδεύοντα, εἶπεν πρὸς αὐτόν. εἰ κἀμὲ θανόντα, οὕτως κηδεύσεις, διδάσκαλε; ὁ δὲ πρὸς αὐτὸν ἔφη· οὕτω κηδεύσω σε, ἄχρις ἂν εἴπῃς, ἀρκεῖ. μετ' οὐ πολὺ δὲ χρόνου τέθνηκεν ὁ νεανίας, καὶ ὁ λόγος * ἔργον ἐγίνετο. κηδεύσας γὰρ αὐτὸν εὐσεβῶς, λέγει πρὸς αὐτὸν ἐπὶ πάντων· καλῶς ἐκηδεύθης ὦ τέκνον, ἢ ἔτι μικρὸν λείπεται;

A ad summam pervenisset exercitationem. Et Baptismo postquam ipsum illuminassent, hortabantur ut cum illis maneret. Qui apud eos demoratus septem dies, iterum in solitudinem secessit. Atque aliis septem annis in vasta eremo peractis, ingenti gratia donatus est. Ac panis quidem ab ipso post orationem inveniebatur juxta caput, die Dominico solo; qui sumptus, usque ad aliam Dominicam sufficiebat.
B Iterum autem rediit ex solitudine, virtutis exercitationem præ se ferens, & nonnullos ad idem vivendi institutum amplectendum excitavit. Accessit igitur quidam adolescens, desiderans ejus esse discipulus, quem ille statim lebitone indutum, cucullâ capiti circumpositâ, ac melote ad humeros, cinctumque linteo, ad Monachale institutum exercitumque promovit. Ad hæc, sicubi è Christianis quis obiisset, perseverabat in ipsius vigiliis, &
C nitidè sepeliebat. Quem cernens discipulus, admirabiliter defunctos curare, dixit ei; Mene mortuum ita funerabis, magister? Respondit; Sic parentabo, donec dixeris, Satis est. Non multo pòst tempore, migravit è vita adolescens, ac sermo effectum sortitus est. Cùm enim piè eum accurasset ad sepulturam, ait ipsi coram omnibus; ô fili, num benè curatus es, an adhuc deest quidpiam?

* Al. κοβίτωνα
* Al. προεβ
* Al. inser εἰς

Tunc vocem emiſit adoleſcens,
* Al. πάντων quamplurimis audientibus; Be-
ne habet, pater; impleſti quod
promiſeras. obſtupueruntque
qui præſentes aderant, atque
* Al. ἐδόξαζον ſuper ea re Deum demirati ſunt
& glorificaverunt. Ille ſtatim in
deſertum ſeceſſit, gloriam lau-
* Al. κατῄει deſque vitans. Poſtea deſcen-
dit quodam tempore de eremo
ad viſitandos fratres, quos in-
ſtituerat, morbo correptos:
cúmque unus ex eis mox mo-
riturus eſſet, ac Deus ei hoc re-
* Al. προσήγγιζε & προσηγγίκει velaſſet, veſpera autem appro-
pinquaret, tum vicus procul
loco eſſet; nolens noctu ingre-
di, vitanſque intempeſtivita-
tem, necnon meditatus Serva-
toris ſalutarem admonitionem;
Joh. XII. 35. *Ambulate dum lucem in vobis*
habetis. Et, *Qui ambulat in*
* Abeſt ab al. *luce, non offendet*. ſole jam oc-
Ioh. XI. 9. cidente, hanc ad eum vocem
emiſit; In nomine Domini Jeſu
* Deeſt in al. Chriſti, mihi pauliſper ſta in
* Abeſt ab al. hoc itineris tui puncto, donec
ad vicum perveniam. Sol verò
mediâ circuli parte jam condi-
tus reſtitit, nec priùs occubuit,
quàm ille ad locum veniſſet;
adeò ut hoc hominibus regio-
nis illius innotuerit, qui ad
ſolem ſpectandum facto con-
curſu mirabantur quòd pluri-
bus horis cernerent eum non
* Al. Πατερμούθιον & παρὰ Πατερμουθίου mergi. Tum intuiti Patermu-
tium de ſolitudine venientem,
ab eo ſciſcitabantur, quid hoc
eſſet ſigni in ſole. Reſpondit
verò eis; Non recordamini
Servatoris vocem illam; *Si*

A φωνὴν δὲ ἀφῆκεν ὁ τεθνηκὼς νεανίας, εἰς ἐπήκοον τῶν * πολλῶν· ἔχει καλῶς, ὦ πάτερ· τὴν γὰρ ἐπαγγελίαν ἐπλήρωσας. θαῦμα δὲ σὺν παρόντας εἶχεν ἐξαίσιον, καὶ * ἐθαύμαζον ἐπ' αὐτῷ τὸν θεόν. ὁ δὲ ἐπὶ τὴν ἔρημον εὐθὺς ἀνεχώρει, τὴν εὐδοξίαν ἐκκλίνων. καὶ δήποτε ἐκ τῆς ἐρήμου * κάτεισι εἰς ἐπίσκεψιν ἀδελφῶν, τῶν παρ' αὐτοῦ μαθητευθέντων, νόσῳ κατειλημμένων· καὶ μέλλοντος τοῦ ἑνὸς αὐτῶν τελευτᾶν, τοῦτο τοῦ θεοῦ αὐτῷ ἀποκαλύψαντος· ἑσπέρα
B δὲ ἤδη * προσῄει, καὶ ἡ κώμη πόρρω ἐτύγχανεν· μὴ βουλομένου δὲ αὐτοῦ νυκτὸς εἰσελθεῖν, τὴν ἀωρίαν ἐκκλίνοντος, καὶ τὸ σωτήριον παράγγελμα μελετῶντος· περιπατεῖτε, ἕως τὸ φῶς * ἐν * ὑμῖν ἔχετε. καὶ, ὁ πορευόμενος ἐν τῷ φωτὶ, οὐ μὴ προσκόψῃ. δυομένου οὖν λοιπὸν τοῦ ἡλίου, * φωνὴν ἐφθέγξατο πρὸς αὐτὸν λέγων· ἐν ὀνόματι τοῦ κυρίου Ἰησοῦ Χριστοῦ, στῆθί μοι μικρὸν * ἐπὶ * αὐτῷ τῆς ὁδοῦ σου, ἄχρις ἂν εἰς τὴν κώμην ἀφίκωμαι. ὁ δὲ,
C ὡς ἡμικύκλιον δυόμενος περιέστη, καὶ οὐ πρὶν ἔδυ ἄχρις ἂν ἐκεῖνος ἧκεν πρὸς τὸ χωρίον· ὡς φανερὸν τοῦτο τοῖς ἐγχωρίοις γενέσθαι, οἱ πρὸς τὴν τοῦ ἡλίου θέαν συνδρομὴν ποιησάμενοι, ἐθαύμαζον ἐπὶ πολλαῖς ὥραις θεωροῦντες αὐτὸν μὴ δυόμενον. ἰδόντες δὲ τὸν * Πατερμούτιον ἐκ τῆς ἐρήμου ἐρχόμενον, ἐπυνθάνοντο παρ' αὐτοῦ, τί τὸ σημεῖον τοῦτο ἄρα εἴη τὸ τοῦ ἡλίου. ὁ δέ φησι πρὸς αὐτούς· οὐ μέμνησθε τῆς τοῦ σωτῆρος φωνῆς λεγούσης, Ἐὰν

ἔχητε πίστιν ὡς κόκκον σινάπεως, καὶ A μείζονα τούτων σημεῖα * ποιήσετε; τοὺς δὲ εὐθὺς εἰσῆλθεν φόβος· παρέμειναν τε αὐτῷ τινὲς ἐξ αὐτῶν μαθητεύοντες. εἰσελθὼν δὲ εἰς τὴν οἰκίαν ἑνὸς τῶν ἀδελφῶν τῶν νοσούντων, καὶ εὑρὼν αὐτὸν ἤδη θανόντα, προσελθὼν τῇ κλίνῃ καὶ προσευξάμενος, καὶ καταφιλήσας αὐτὸν, ἠρώτα εἰ πρὸς θεὸν βούλοιτο ἀπιέναι μᾶλλον, ἢ ἔτι ζῆν ἐν σαρκί. ὁ δὲ ἀνακαθίσας εἶπεν αὐτῷ· κρεῖσσον τὸ ἀναλῦσαι, B καὶ σὺν Χριστῷ εἶναι· τὸ δὲ ζῆν ἐν σαρκὶ, οὐκ ἀναγκαῖον ἐμοί. οὐκοῦν κάθευδε φησὶν ἐν εἰρήνῃ, ὦ τέκνον, πρεσβεύων ὑπὲρ ἐμοῦ πρὸς τὸν θεόν. ὁ δὲ ὡς * εἶπεν, εὐθὺς ἀναπεσὼν, ἐκοιμήθη· οἱ δὲ παρόντες πάντες ἐξεπλάγησαν, λέγοντες· ἀληθῶς θεοῦ ἄνθρωπός ἐστιν οὗτος. κηδεύσας δὲ αὐτὸν * καθαρείως, ἐν ὕμνοις πᾶσαν τὴν νύκτα διετέλεσεν. τὸν ἕτερον δὲ ἀδελφὸν κάμνοντα ἐπισκεψάμενος, ὡς ἴδεν αὐτὸν δυσφοροῦντα C πρὸς τὴν τελευτὴν, δεινῶς ὑπὸ τῆς συνειδήσεως ἐλεγχόμενον, ἔλεγεν πρὸς αὐτόν· * ὡς ἀνέτοιμος ὑπάγεις πρὸς τὸν θεὸν, κατηγόρους ἀποφέρων τοὺς λογισμοὺς τῆς ῥαθύμου πολιτείας. ὁ δὲ ἐδέετο αὐτοῦ καὶ ἱκέτευεν πρεσβεύειν ὑπὲρ αὐτοῦ πρὸς τὸν θεὸν, χρόνον ἐνδοῦναι αὐτῷ μικρὸν τῇ ζωῇ, * μέλλοντί * τι διορθώσασθαι. ὁ δὲ φησὶν πρὸς αὐτόν· νῦν καιρὸν μετανοίας ζητεῖς, ὅτε ἡ ζωή σου πεπλήρωται. τί

habueritis fidem sicut granum sinapis, & majora horum signa facietis? At illos confestim subiit timor; atque manserunt cum eo nonnulli ex ipsis in discipulos. Porrò ingressus domum unius ex fratribus ægrotantibus, nactusque illum jam mortuum, accessit ad lectum, fusisque precibus, cùm osculum dedisset, interrogavit, malletne migrare ad Deum, vel adhuc degere in carne. Qui postquam resedit ait illi; Melius est dissolvi & esse cum Christo; vivere autem in carne, mihi necessarium non est. Itaque, excepit, dormi in pace, fili, ac intercede pro me apud Deum. Ille statim post hunc sermonem accubuit atque obdormivit; qui adstabant verò cuncti obstupuerunt, dixeruntque, Verè Dei homo est hic. Tunc munditer sepelivit eum, totamque noctem in hymnis transegit. Alium quoque fratrem laborantem visitavit, utque vidit de morte anxium esse, ut qui graviter conscientiæ stimulis premeretur, dixit ei; Tamquam imparatus vadis ad Deum, instar accusatorum deferens rationes segnis vitæ. Ille autem orabat eum & obsecrabat, ut pro ipso apud Deum intercederet, quò vitam ipsi tantillum prorogaret, qui aliquantulum se esset emendaturus. Tunc ait ad eum; Nunc tempus pœnitentiæ quæris, quando vita tua complementum accepit. Quid

Matt. XVII. 19. Ioh. XIV. 12.

* Al. ποιήσετε

Philipp. I. 23. 24.

* Al. ἔσχεν ὕπνον

* Al. καλῶς

* Al. πῶς

* Al. ὅπως διορθώσηται

* Al. πῶν Al. ἐπανορθώσῃς

faciebas omni vitæ tempore? Nonne poteras vulnera tua curare? quinimo addebas alia. Cúmque perseveraret in supplicatione, ait senex; Si alia additurus non es vitæ tuæ mala, sed verè pœnitentiam acturus, Deum pro te orabimus: bonus est, patiens, æquanimis, ac indulget tibi adhuc parum vitæ, ut cuncta retribuas. Et oratione factâ dixit ei; Ecce tres annos vitæ hujus tibi concedit Deus; tantùm ex animo pœnitentiam age. Tum manu ejus apprehensâ, illico erexit, dein abduxit in solitudinem. completisque tribus annis, iterum reduxit ad locum, non hominem, sed Angelum Deo exhibens, adeò ut omnes admiratio caperet de ipsius vita & conversatione. Congregatis ergo circa ipsum fratribus, collocat hominem in medio sanum, ac per totam noctem sermonem doctrinæ ipsis tradidit. Tum frater è sopore in somnum incidens, omnino obdormivit. Inde oratione super eum factâ, pro more funus curavit, præmisitque ad sepulturam. Aiunt etiam quòd sæpe fluviales aquas supergressus Nilum pertransierit, ad genua dumtaxat pertingentem; quódque alio tempore per aerem vectus, inter fratres in solario inventus sit, januis clausis. frequenter quoque ubicumque vellet, confestim aderat. Porrò fratribus narravit aliquando, ex

A ἐποίεις πάντα * τὸν χρόνον; οὐκ ἐδύνου τὰ σὰ τραύματα θεραπεῦσαι; ἀλλὰ καὶ ἕτερα προσετίθεις. ὁ δὲ ὡς ἐπέμενε * πρὸς * αὐτὸν ἱκετεύων, ἀπεκρίνατο πρὸς αὐτὸν ὁ γέρων· * μὴ ἕτερα τῇ ζωῇ σου προσθήσεις κακά· * εἰ κατ' ἀλήθειαν μετανοεῖς, δεόμεθα ὑπὲρ σοῦ τοῦ θεοῦ· ἀγαθὸς γάρ ἐστιν καὶ μακρόθυμος, καὶ χαρίζεταί σοι ἔτι μικρὰν ζωὴν, ἵνα τὸ πᾶν ἀποδώσῃς. καὶ δεξάμενος εἶπεν αὐτῷ· ἰδοὺ τρία ἔτη σοι * χαρίζεται ὁ θεὸς * τῇ ζωῇ ταύτῃ· μόνον ἐκ ψυχῆς μετανόησον. καὶ λα-

B βόμενος * αὐτοῦ τῆς χειρὸς, ἀνέστησεν παραχρῆμα, καὶ * ἀπήγαγεν αὐτὸν εἰς τὴν ἔρημον. καὶ πληρωθέντων ἐτῶν τριῶν, πάλιν ἤγαγεν ἐπὶ τὸν τόπον, οὐκ ἄνθρωπον, ἀλλ' ἄγγελον τῷ θεῷ παραστῶν, ὡς θαυμάσαι πάντας ἐπὶ τῇ αὐτοῦ * πολιτείᾳ. καὶ συνελθόντων πρὸς αὐτὸν τῶν ἀδελφῶν, * τίθησιν αὐτὸν ἐν μέσῳ ὑγιῆ, καὶ δι' ὅλης τῆς νυκτὸς λόγον διδασκαλίας αὐτοῖς παρεδίδου. ὡς δὲ ἀπενύσταξεν ὁ ἀδελφὸς, καὶ δὴ εἰς ὕπνον * γενόμενος, παντελῶς

C ἐκοιμήθη ἐπευξάμενος δὲ αὐτῷ, ἐκήδευσεν κατὰ * τρόπον, προπέμψας πρὸς τὴν ταφήν. πολλάκις δὲ αὐτόν φασιν καὶ τῶν * ποταμιαίων ὑδάτων ἐπιβάντα, τὸν Νεῖλον, ἄχρι γονάτων διαπορθμεύσαι· ἄλλοτε δὲ δι' ἀέρος πρὸς τοὺς ἀδελφοὺς, ἐπὶ τοῦ δώματος εὑρηκέναι, τῶν θυρῶν κεκλεισμένων. πολλάκις δὲ ὅπουπερ ἤθελεν, παραχρῆμα εὑρίσκετο. διηγεῖτο δέ ποτε τοῖς ἀδελφοῖς, ἐκ τοῦ

* Al. σου τὸν βίον
* Deest ὡς al.
* Al. εἰ μὴ
* Al. ἀλλὰ
* Al. κεχάρισται
* Al. ἐν τῇ
* Al. αὐτὸν
* Al. inser. μεθ' ἑαυτοῦ
* Al. ἐξουσίᾳ
* Al. ἵστησι
* Al. τραπεὶς
* Al. δόκει ὡς τύπου
* Al. ποταμίων

ἐρήμου ἐπανελθὼν, * ἀνειλῆφθαι αὐ- A
τὸν ἐν ὁράματι εἰς οὐρανὸν, καὶ τεθεᾶ-
σθαι ὅσα μένει ἀγαθὰ τοὺς κατὰ ἀλήθειαν
μοναχοὺς, ἅπερ οὐδεὶς ἐξειπεῖν λόγος
δύναται· καὶ ἀπῆχθαι δὲ αὐτὸν ἐν σαρκὶ
ἔφη, εἰς τὸν παράδεισον, καὶ ἑωρακέναι
πλῆθος ἁγίων· μετειληφέναι δὲ αὐτὸν
ἔλεγεν, ἐκ τῶν καρπῶν τοῦ παραδείσου.
καὶ μαρτύρια * τὸ πρᾶγμα ἐδείκνυεν.
σῦκον γὰρ μέγα καὶ * ἐξαίρετον, καὶ εὐω-
δίας πολλῆς μεστὸν, πρὸς τοὺς ἑαυτοῦ
μαθητὰς ἀπεκόμισεν, ἐπιδεικνύων
αὐτοῖς ὅτι ἀληθῆ εἰσιν τὰ παρ᾽ αὐτοῦ B
λεγόμενα. ὅπερ σῦκον, ὁ διηγούμενος
ἡμῖν ταῦτα Κόπρης πρεσβύτερος,
νεανίας τότε ὑπάρχων, ἐν ταῖς χερσὶν
τῶν μαθητῶν αὐτοῦ ἐθεάσατο, καὶ κατεφί-
λησεν, καὶ τὴν πνοὴν ἐθαύμασεν. πολ-
λοῖς γὰρ ἔτεσιν, φησὶν, ἔμεινεν παρὰ
τοῖς αὐτοῦ μαθηταῖς, εἰς ἐπίδειξιν φυ-
λαττόμενον. ἦν γὰρ παμμεγέθες. μό-
νον γὰρ ὀσφρήσατο αὐτοῦ τις τῶν νοσούν-
των, εὐθέως τῆς νόσου ἀπηλλάττετο.
κατὰ δὲ τὴν ἀρχὴν τῆς ἐν τῇ ἐρήμῳ αὐτοῦ
ἀναχωρήσεως, ἐπὶ πέντε ἑβδομάδας C
αὐτὸν μὴ βεβρωκέναι· ἄνθρωπόν φα-
σιν αὐτὸν εὑρηκέναι κατὰ τὴν ἔρημον, ἄρ-
τον ἐπιφερόμενον καὶ ὕδωρ· ὃς πείσας
αὐτὸν μεταλαβεῖν, ἀπηλλάγη· ἄλ-
λοτε δὲ τὸν δαίμονα θησαυροὺς αὐτῷ
ἐπιδεῖξαι τοῦ Φαραὼ, χρυσίου καθαροῦ
γέμοντας· πρὸς ὃν φησὶν ὁ ἀνήρ· τὸ
ἀργύριόν σου σὺν σοὶ εἴη εἰς ἀπώλειαν.
ταῦτα δὲ καὶ ἄλλα πλείονα καὶ μεγά-
λα, φησὶν, κατώρθωσεν ὁ πατὴρ ἡμῶν
* Πατερμούτιος, ποιῶν σημεῖα καὶ

ſolitudine rediens, aſſumptum * Al. ἀναλῆφθαι
ſe fuiſſe in viſione ad cœlum,
ac vidiſſe quæ bona veros Mo-
nachos manent, quæ nullus
ſermo aſſequi poteſt: dixitque
ſe in carne abductum fuiſſe in
Paradiſum, atque ſpectaſſe ſan-
ctorum multitudinem; ad hæc
participaſſe de fructibus Para-
diſi. Atque in teſtimonium rem
ipſam exhibebat. Nam ficum * Al. τοῦ πράγματος
prægrandem ac eximiam, plu-
rimæque fragrantiæ, ad fratres * Al. ἐξαίσιον
ſuos detulit, ad demonſtran-
dum illis vera eſſe quæ dice-
ret. Quam ficum, qui hæc no-
bis retulit Copres Presbyter,
tunc juvenis, in manibus diſ-
cipulorum ejus conſpexit, &
deoſculatus eſt, odoremque ſuſ-
pexit. Per multos enim annos,
inquit, perſeveravit inter diſ-
cipulos ejus, quæ ſervaretur ad
oſtentum; eratque craſſiſſima:
& ubi dumtaxat odoratus fue-
rat eam ægrotorum quis, mor- * Al. κακουργίων & ἀδικούντων
bo ſtatim liberabatur. Referunt
præter hæc, initio ſeceſſionis
ipſius in ſolitudinem, poſt-
quam per quinque hebdoma- * Al. βεβρωκέναι
das non comedit, occurriſſe ei
hominem in deſerto, qui pa-
nem & aquam afferebat, per-
ſuaſitque ſumere, atque ita abiit:
alio tempore à Dæmone oſten-
ſos ipſi Pharaonis theſauros, pu-
ro auro redundantes, ad quem
dixit vir; *Pecunia tua tecum* Act. VIII. 20.
ſit in perditionem. Hæc, inquit,
& alia plura magnaque præ-
clarè perpetravit pater noſter * Al. Πατερμούθιος
Patermutius, faciens ſigna &

prodigia. Alii quoque nonnulli consimiles exstiterunt ante nos, *quibus dignus non erat mundus*. Quid porrò mirum, si nos parvi hæc parva faciamus, claudis, *cæcis*, leprosis curationem conferentes, quæ ex arte etiam medici operantur?

Hebr. xi. 38.
* Al. λεπρούς
* Al. δύνανται ἐνεργῆσαι

De Abbate Didymo.

V.P. 11. 24.

Vidimus illic virum nomine Didymum, ætate senem, aspectu honestum, qui scorpios & cerastas aspidesque pedibus suis interimebat, cùm alius nullus id aggredi auderet, imò complures alii ex conspicuis, per eos serpentes interfecti fuissent, ubi dumtaxat tetigissent.

* Abest ab al.

De Cronidio.

* Al. Κρονίδιου
Ib. 25.
* Al. Κρονίδιον
* Al. inser. τῷ μεγάλῳ
* Al. ἐρωτήσας

Sed & vidimus alium patrem Monachorum, nomine Cronidium, in senectute bona provectum, unum ex viris antiquis, qui cum Antonio vixerat, centum & decem annos natum. Is pluribus nos adhortatus, admonens, interrogans, seipsum floccifaciebat; tantam humilitatem ad senectutem usque fuerat adeptus. Vidimus pariter tres fratres, eruditione summa & virtute præditos, qui propter vitæ sanctitatem, ad Episcopatum arrepti, præ multa pietate, aures sibi præciderunt; re audaci quidem susceptâ, ex proposito tamen rationi consentaneo, ne quis in posterum eis molestiam pareret.

A τέρατα. καὶ ἄλλοι τοιοῦτοί τινες πρὸ ἡμῶν γεγόνασιν, ὧν οὐκ ἦν ἄξιος ὁ κόσμος. τί δὲ θαυμαστὸν, εἰ ἡμεῖς οἱ μικροὶ, τὰ μικρὰ ταῦτα πράττομεν, χωλοὺς καὶ * τυφλοὺς θεραπεύοντες, ἅπερ καὶ ἐκ τέχνης οἱ ἰατροὶ * ἐνεργοῦσιν;

Περὶ Ἀββᾶ Διδύμου.

Ἴδομεν δὲ ἐκεῖ ἄνδρα ὀνόματι Δίδυμον, πρεσβύτην τῇ ἡλικίᾳ, ἀστεῖον τῇ ὁράσει, ὃς τοὺς σκορπίους καὶ B κεράστας καὶ τὰς ἀσπίδας ποσὶν * οἰκείοις ἀπέκτεινεν. μηδενὸς ἑτέρου τολμῶντος τοῦτο ποιεῖν· ἀλλὰ καὶ πολλοὶ ἕτεροι τῶν δοκούντων, ὑπ' αὐτῶν ἀνῃρέθησαν, τῶν θηρίων μόνον ἁψάμενοι.

Περὶ * Κορνηλίου.

Ἴδομεν δὲ καὶ ἕτερον πατέρα μοναχῶν, ὀνόματι * Κορνήλιον, ἐν γήρει καλῷ προοδεύσαντα, ἕνα τῶν ἀρχαίων ἀνδρῶν, σὺν Ἀντωνίῳ * γενόμενον, ἑκατὸν δέκα ἐτῶν ὑπάρχοντα· C ὃς πολλὰ παρακαλέσας ἡμᾶς καὶ * νουθετήσας ἑαυτὸν ἐξηυτέλιζεν· τοσαύτην ταπεινοφροσύνην μέχρι γήρως ἦν κεκτημένος. ἴδομεν δὲ καὶ τινας τρεῖς ἀδελφοὺς, λογίους πάνυ καὶ ἐναρέτους, οἱ διὰ τὴν ἐνάρετον αὐτῶν πολιτείαν, εἰς ἐπισκοπὴν κρατηθέντες, διὰ πολλὴν εὐλάβειαν, τὰ ἑαυτῶν ὦτα ἀπέτεμον· τολμηρῶς μὲν ἄγαν ποιήσαντες, ὅμως κατ' εὔλογόν τινα σκοπὸν, ἵνα τοῦ λοιποῦ μηδεὶς αὐτοῖς ἐνοχλῇ.

ΤΟΥ

ΤΟΥ ΑΓΙΟΥ ΝΕΙΛΟΥ. A

Περὶ τῶν ὀκτὼ τῆς κακίας λογισμῶν.
Περὶ γαστριμαργίας.

Περὶ τῶν ὀκτὼ τῆς κακίας λογισμῶν ἤτοι παθῶν ἐπιχειρήσαντες γράψαι, γαστριμαργίας λέγω καὶ πορνείας καὶ φιλαργυρίας καὶ ὀργῆς, καὶ λύπης καὶ ἀκηδίας καὶ κενοδοξίας καὶ ὑπερηφανίας, προηγουμένως περὶ ἐγκρατείας γαστρὸς ἐρῶμεν, ἀφ' ἧς ῥᾴδιον * διαγνῶσθαι καὶ τὴν γαστριμαργίαν, ὡς ἀντικειμένην. οἱ B πατέρες τοίνυν οὐχ ἕνα κανόνα νηστείας, οὐδὲ τὸν αὐτὸν τρόπον τῆς τῶν βρωμάτων μεταλήψεως, οὐδὲ τὸ αὐτὸ μέτρον παραδεδώκασι· διὰ τὸ μὴ πάντας τὴν αὐτὴν ἰσχὺν ἔχειν, ἢ διὰ ἡλικίαν, ἢ διὰ ἀσθένειαν, ἢ διὰ ἕξιν τινὰ σώματος, ἕνα δὲ πᾶσι σκοπὸν ὑπέθεντο, φεύγειν τὴν πλησμονὴν καὶ ἀποστρέφεσθαι τὸν κόρον. τὴν δὲ καθημερινὴν νηστείαν ἐδοκίμασαν ὠφελιμωτέραν εἶναι τῆς ἐν δυσὶν ἢ τρισὶν ἢ τέσσαρσιν ἢ καὶ μέχρις ἑβδομάδος παρελκομένης. C φασὶ γὰρ τὸν ἀμέτρως τῇ νηστείᾳ παρεκτεινόμενον, ὑπὲρ μέτρον πολλάκις κεχρῆσθαι τῇ τροφῇ, κἀντεῦθεν, ποτὲ μὲν τῇ * ὑποβολῇ τῆς ἀσιτίας, ἀτονεῖν τὸ σῶμα, καὶ πρὸς τὰς πνευματικὰς λειτουργίας ὀκνηρότερον γίνεσθαι, ποτὲ δὲ τῷ πλήθει τῶν τροφῶν καταβαρυνόμενον, ἄγειν

SANCTI NILI.

De octo vitioſis cogitationibus.
De Gula.

De octo vitioſis cogitationibus ſeu affectionibus ſcribere aggreſſi, gulæ inquam, fornicationis, avaritiæ, iræ, triſtitiæ, acediæ, inanis gloriæ, & ſuperbiæ, priùs de ventris continentia, à qua gulam quoque, ut adverſariam, internoſcere proclive eſt, verba faciemus. Patres itaque non unam jejunii regulam, neque unam & eamdem percipiendi cibi formam menſuramque tradiderunt; quòd vel ob ætatem, vel ob imbecillitatem, vel ob quemdam corporis habitum, non omnes eodem robore præditi ſint. At verò unum omnibus ſcopum propoſuerunt, ingluviem fugere & ſaturitatem averſari. Unius porrò diei jejunium utilius eſſe cenſuerunt, quàm illud quod aut duos aut tres aut quatuor dies, aut etiam uſque ad hebdomadam *ſine cibo* protrahitur. Aiunt enim eum qui inediam ultra modum protendit, ultra modum etiam frequenter cibis uti; hincque fieri, ut interdum quidem fraude *ſeu* exceſſu inediæ, corpus fatiſcat, atque ad ſpiritualia munia obeunda pigreſcat; interdum rurſus alimenti copiâ depreſſum, animam

* Al. διαγνῶναι

* Int. ὑπερβολῇ

ad acediam languidamque A mollitiem ducat. Ac deinde olerum esum non omnibus convenire dixerunt, neque omnibus, leguminum, neque sicci panis alimentum. Quin alium quidem, duas panis libras comedentem, fame laborare dixerunt, alium verò semilibrâ unâ satiari. Illud tamen cunctos admonuerunt, ne ventris saturitate sese decipi, nec faucium voluptate pertrahi paterentur. Etenim non ciborum quantitas dumtaxat, sed & qua- B litas, tela ignita fornicationis producit. Siquidem ex quovis cibi genere venter ingurgitetur, affectuum flammam excitare consuevit. Ac rursus, non solùm vini crapula inebriat mentem, sed etiam aquæ satietas. Atque ut uno verbo dicam, cibi omnis potusque immoderata sumptio, soporem ac veternum efficit. Sanè ciborum usus ad tuendam dumtaxat vitam adhiberi debet, non item ut insultibus cupiditatis servia- C mus. Unde qui corpori, quæ magis necessitas poscit, non quæ voluptas expetit, subministrat, nullum ad continentiam detrimentum patietur. Decretum autem & regula continentiæ antiquitus à Patribus tradita, ejusmodi est, ut qui escam sumit, instante adhuc appetitu, ab ea absistat, neque saturitatem exspectet. Sed & Apostolus, monendo, carnis curam non facere in desideriis, non

Rom. XIII. 14.
* Int. ποιεῖσθε

τὴν ψυχὴν εἰς ἀκηδίαν καὶ χαύνωσιν. καὶ πάλιν, οὐ πᾶσιν ἁρμόδιον εἶπον εἶναι τὴν τῶν λαχάνων μετάληψιν, οὐδὲ πᾶσι τὴν τῶν ὀσπρείων, οὐδὲ τὴν τοῦ ξηροῦ ἄρτου τροφήν. καὶ ἄλλον μὲν εἰρήκασιν ἐσθίοντα δύο λίτρας ἄρτου, πεινᾷν, ἄλλον δὲ, δι᾽ ἡμισείας μιᾶς χορτάζεσθαι. πᾶσι μέντοι παρήγγειλαν, μὴ ἀπατᾶσθαι χορτασίᾳ κοιλίας, μηδὲ ἐξέλκεσθαι τῇ τοῦ φάρυγγος ἡδονῇ. καὶ γὰρ οὐ μόνον ἡ ποσότης τῶν βρωμάτων, ἀλλὰ καὶ ἡ ποιότης, τὰ πεπυρωμένα βέλη τῆς πορνείας ἐκτείνουσιν. οἱασδήποτε γὰρ τροφῆς γαστὴρ πληρουμένη, φλόγα παθῶν εἴωθεν ἀνάπτειν. καὶ αὖθις, οὐ μόνον ἡ κραιπάλη τοῦ οἴνου μεθύσκει τὴν διάνοιαν, ἀλλὰ καὶ ἡ πλησμονὴ τοῦ ὕδατος· καὶ ἁπλῶς εἰπεῖν, πάσης βρώσεως καὶ πόσεως ἀμετρία, νυσταγμὸν καὶ κάρον ἀποτελεῖ. ἡ γοῦν τῶν βρωμάτων χρῆσις, πρὸς τὸ ζῆν παραλαμβάνεται μόνον, οὐ πρὸς τὸ δουλεύειν ταῖς ὁρμαῖς τῆς ἐπιθυμίας. ὅθεν ὁ τῷ σώματι παρέχων ἅπερ ἡ χρεία μᾶλλον ἀπαιτεῖ, καὶ οὐχ ἅπερ ἡ ἡδονὴ βούλεται, βλάβην οὐδεμίαν ἕξει πρὸς ἐγκράτειαν. ὅρος δὲ ἐγκρατείας καὶ κανὼν, ὑπὸ τῶν πατέρων ἄνωθεν παραδεδομένοι, τὸν μεταλαμβάνοντα τροφῆς, ἔτι τῆς ὀρέξεως ἐγκειμένης, ἀπέχεσθαι ταύτης, καὶ μὴ ἀναμένειν τὸν κόρον. καὶ ὁ ἀπόστολος δὲ εἰπὼν, τῆς σαρκὸς πρόνοιαν μὴ * ποιεῖσθαι εἰς ἐπιθυμίας, οὐ τὴν

ἀναγκαίαν κυβέρνησιν τῆς ζωῆς A ἐκώλυσεν, ἀλλὰ τὴν φιλήδονον ἀπηγόρευσεν ἐπιθυμίαν. πρὸς μέντοι καθαρότητα * τελείας ψυχῆς, ἡ ἀποχὴ μόνη τῶν βρωμάτων οὐκ ἰσχύει, μὴ συντρεχουσῶν καὶ τῶν ἄλλων ἀρετῶν. τὴν δὲ διὰ σωφροσύνην μερικὴν καθαρότητα, μᾶλλον ἐγκράτεια κατορθοῖ, σύμμαχον προσλαμβάνουσα καὶ τὴν ταπείνωσιν. ὁ γὰρ ἐξ ἐγκρατείας μόνης ἐπιχειρῶν κατορθοῦν αὐτήν, ἔοικε τῷ μιᾷ χειρὶ νηχομένῳ. B τινὲς δὲ τῶν ἐγκρατευομένων, μετρήσαντες τὸ αὔταρκες τοῖς σώμασιν αὐτῶν, ἡμερήσιον βρῶμα, τὸ ἕκτον παρεῖλον· ὅτε δὲ τοῦτο κατώρθωσαν, αὖθις ἀναλόγως ἠκρωτηρίασαν τὸ λειπόμενον· καὶ οὕτως ὁδῷ προβαίνοντες, ἔφθασαν εἰς τὸ μέτρον τὸ συνεκτικὸν μόνον τῆς ζωῆς. ἀλλὰ ταῦτα περὶ ἐγκρατείας. χρὴ δὲ καὶ περὶ γαστριμαργίας προσθεῖναί τινα. γαστριμαργίαν μὲν ἐκάλεσαν C οἱ παλαιοί, τὸ ὀξέως ἐσθίειν, καὶ πολλά, καὶ ἀδιαφόρως, καὶ πρὸ τοῦ καιροῦ· λαιμαργίαν δὲ, τὸ ἐνηδύνεσθαι βρώμασι· καὶ εἶναι διαφορὰν, τῆς μὲν, τὸ ποσὸν, τῆς δὲ, τὸ ποιόν. ἐπεὶ γὰρ μαργαίνειν ἐστὶ τὸ μαίνεσθαι, γαστρὸς μὲν μανία, περὶ τὸ ποσὸν καταγίνεται· λαιμοῦ, περὶ τὸ ποιόν. τινὲς δὲ καὶ ἄμφω γαστριμαργίαν ὠνόμασαν.

prohibuit necessariam vitæ gubernationem, sed libidinosam cupiditatem interdixit. Verùm enimvero ad puritatem animæ perfectam adipiscendam, ciborum abstinentia sola parum virium habet, nisi cæteræ virtutes concurrant. At particularem eam puritatem quæ castitate comparatur, continentia potiùs præstat, assumptâ in societatem humilitate. Nam qui eam per solam continentiam adipisci conatur, illi similis est qui unâ solùm manu natat. Porrò quidam ex continentibus, corporum suorum viribus sufficientiam metientes, diurnum cibum sextâ parte circumciderunt; cùm autem istud effecissent, rursus simili ratione, quod reliquum erat amputarunt; atque sic viâ quadam progrediendo, ad eam mensuram pervenerunt, quæ ad vitam dumtaxat conservandam satis esset. Atque hæc de continentia. Oportet autem de gula quædam adjungere. Gulam veteres appellarunt, festinanter, & multa, & sine delectu, & ante tempus comedere; ingluviem verò, cibis delectari; cum hac differentia, ut ad illam quantitas, ad hanc qualitas pertineat. Quia enim *μαργαίνειν* insanire significat, ventris quidem insania seu gula in quantitate versatur, gutturis autem sive ingluvies, in qualitate. quamquam nonnulli utramque uno nomine gulam vocaverunt.

* Int. πλείας

Hæc ſtomachum, hepar, ſplenem, denique imbecillicitatem cauſſatur, eoſque qui propterea in graves morbos inciderunt.

Vita Saba n. 5. Ephr. II. 446. De humilit. c. 1.

Frugum principium flos eſt, ac virtutis activæ, continentia, & affectuum vitioſorum, gula.

Ignis materia lignum eſt; libidinis autem, ventris ſatietas; & illud quidem ſuſcitat flammam, hæc vero pravam cupiditatem.

Venter egens, perturbationes animi conſopit, quas plenus excitat.

Arida victûs ratio, ſobrium parit ſenſum: victus autem humidus & mollis, mentem demergit.

Solis quidem radios obſcurat nebula; mentem verò, craſſus vapor è cibis exhalans.

Ut terra inculta ſpinas producit, ſic venter cibis onuſtus obſcœnas cogitationes.

Neque in cœno unguentum, neque in guloſis fragrans virtutis odor inveniri poteſt.

Helluonis oculus convivia curiosè exquirit; continentis autem, ſpiritualium ſapientumque virorum cœtus.

Sanctorum memorias numerat comedonis animus; continentis autem, eorum vitam imitatur.

Ne exquiſitis nimiiſque cibis corpus ſagines. illico enim

A αὕτη προφασίζεται στόμαχον, καὶ ἧπαρ, καὶ σπλῆνα, καὶ ἁπλῶς ἀσθένειαν, καὶ τοὺς διὰ ταῦτα χαλεποῖς περιπεπτωκότας νόσοις.

Ἀρχὴ καρποφορίας, ἄνθος, καὶ πρακτικῆς, ἐγκράτεια, καὶ παθῶν, γαστριμαργία.

Ὕλη πυρὸς, ξύλα· ἀκολασίας δὲ, πλησμονὴ γαστρός· καὶ τὸ μὲν ἐξάπτει φλόγα, ἡ δὲ φαύλην ἐπι-

B θυμίαν.

Γαστὴρ ἐνδεὴς, κοιμίζει πάθη· διεγείρει δὲ ταῦτα πεπληρωμένη.

Δίαιτα ξηρὰ, νηφάλιον τίκτει φρόνημα· βίος δὲ ὑγρὸς νοῦν καταβαπτίζει.

Ἡλίου μὲν ἀκτῖνας, ὁμίχλη σκοτίζει· νοῦν δὲ, παχὺς ἀτμὸς, βρωμάτων ἀναδιδόμενος.

Γῆ μὲν χερσωθεῖσα, βλαστάνει ἀκάνθας· γαστὴρ δὲ βαρηθεῖσα, λο-

C γισμοὺς αἰσχρούς.

Οὔτε ἐν βορβόρῳ δυνατὸν εὑρεῖν μύρον, οὔτε ἐν γαστριμάργοις εὐωδίαν ἀρετῆς.

Ὀφθαλμὸς γαστριμάργου, περιεργάζεται συμπόσια· τοῦ δὲ ἐγκρατοῦς, ἀνδρῶν πνευματικῶν καὶ σοφῶν συνέδρια.

Μνήμας ἁγίων ἀριθμεῖ ψυχὴ γαστριμάργου· ἡ δὲ τοῦ ἐγκρατοῦς, μιμεῖται βίους αὐτῶν.

Μὴ πιαίνης τὸ σῶμα πολυτελείᾳ καὶ κόρῳ. ταχὺ γὰρ

κατακαστήσεταί σου. δάμαζε δὲ τοῦτο δι' ἐγκρατείας, καὶ καταστήσεις εὐήνιον, μήτε κινούμενον ἄτακτα, μήτε χρεμετίζον ὑπὸ ὁρμῆς ἐμπαθοῦς. οὔτε γὰρ πολέμιος ἀνῃρημένος παρέχει φόβον· οὔτε σῶμα δι' ἐγκρατείας ταπεινωθὲν ταράττει ψυχήν. καὶ ὥσπερ οὐκ οἶδε νεκρὸς φλόγα πυρὸς, οὕτως οὐδὲ ἐγκρατὴς, κάμινον ἐμπαθείας.

A insurget adversùm te. Quin potiùs per continentiam ipsum coerce, sicque obtemperans reddes, ita ut nec inordinatis motibus prorumpat, nec præ petulanti impetu, equi in morem hinniat. Nam neque hostis obtruncatus terrorem incutit, neque corpus per continentiam dejectum perturbat animam; & quemadmodum cadaver flammam ignis minimè sentit; sic neque is qui con- B tinentia præditus est, libidinis fornacem.

Ἐγκράτεια τίκτει σωφροσύνην· γαστριμαργία δὲ μήτηρ ἀκολασίας.

Ὁ πληρῶν γαστέρα, καὶ σωφρονεῖν ἐπαγγελλόμενος, ὅμοιός ἐστι τῷ ἐπαγγελλομένῳ χαλινοῦν ἐν καλάμῃ πυρὸς ὁρμὴν, ἢ ἐλαίῳ φλόγα σβεννύειν.

Ὁ κορεννύμενος ἄρτου καὶ ὕδατος, ἐγκρατὴς οὐκ ἔστι. παντὸς γὰρ κόρος, ἐγκρατείας ἀλλότριος.

Ὅταν ὁ τῆς γαστριμαργίας δαίμων ἀτονήσῃ διαφθεῖραι τὴν ὡρισμένην τῶν βρωμάτων ἐγκράτειαν, τότε κακοήθως, εἰς ἐπιθυμίαν ἀκροτάτης ἐγκρατείας ἐμβάλλει τὸν ἀσκητήν· ἵνα τῆς ἀμέτρου μὴ δυνηθεὶς ἐφικέσθαι δι' ἀσθένειαν σώματος, ἐκπέσῃ καὶ τῆς συμμέτρου. τοῦτο δὲ καὶ ἐπὶ τῆς ἄλλης ἀσκήσεως οἱ ἐχθροὶ ποιοῦσιν.

Παραβάλλοντες εἰς οἴκους κοσμι-

Continentia castitatem parit; gula contrà libidinis mater est.

Qui ventrem implens, pudicitiæ cultum profitetur, homini similis est, qui pollicetur se ignis vim stipulâ compressurum, aut flammam oleo exstincturum.

Qui pane & aqua saturatur, continens non est. Cujusvis enim saturitas, aliena est à continentia.

C Cùm gulæ dæmon præscriptam ciborum abstinentiam labefactare non valet, tum Ascetam in summæ continentiæ cupiditatem malignè conjicit; ut dum ob corporis imbecillitatem non potest ad continentiam quæ modum excedit pertingere, excidat quoque ab ea quæ intra modum est. Quod etiam ipsum in aliis virtutum Monasticis exercitationibus hostes faciunt.

Quando ad eorum qui in mundo vivunt domos accedi-

mus, tum vel maximè continentiam complecti studeamus; ne mens ubi per gulam saginata fuerit, consueta negligat, atque ab inimicis facilè capiatur.

Oportet ut senes iræ imperent, juvenes ventri: siquidem illis animales dæmones, his corporei potiùs insidias moliuntur.

Ventris continentia turbidos animorum motus deprimit; gula verò eosdem feroces reddit.

Ventre saturo nihil divinum investiga.

Ut nubes obtegumentum lunæ est; ita Dei sapientiæ, gula.

Luxus, præcipuè juvenibus, perturbationum thesaurus est, animæ ultrò arcessita mors.

Juvenili corpori luxus & ebrietas, voluptatum ignem accendunt.

Crassus venter, turbulentorum vaporum assiduitate, mentis subtilitatem in fugam agere consuevit.

Divinus amor, nisi continentiæ pennâ sublevetur, sine ulla cunctatione ad res ex materia concretas delabitur, utpote intemperantiæ compedibus depressus.

Assidua ventris saturitas venereos insultus exstimulat.

Venter, infidus depositi custos est, & quod injicitur abjicit.

Obesus helluo porcus est ad cædem paratus.

A χῶν, τότε μάλιστα τῆς ἐγκρατείας ἀνθεξόμεθα· μήποτε διὰ γαστριμαργίας παχυνθεὶς ὁ νοῦς, ἀμελήσῃ τῆς συνηθείας, καὶ τοῖς ἐχθροῖς εὐάλωτος γένηται.

Χρὴ τοὺς μὲν γέροντας, θυμοῦ κρατεῖν, γαστρὸς δὲ τοὺς νέους· τοῖς μὲν γὰρ, οἱ ψυχικοὶ, τοῖς δὲ, μᾶλλον οἱ σωματικοὶ δαίμονες ἐπιτίθενται.

Γαστρὸς ἐγκράτεια, ταπεινοῖ τὰ πάθη· θρασύνει δὲ ταῦτα γαστριμαργία.

B Ἐν πλησμονῇ γαστρὸς, μηδὲν ἐρεύνα θειότερον.

Νέφος μὲν, καλυπτήριον σελήνης· θεοῦ δὲ σοφίας, γαστριμαργία.

Τρυφὴ καὶ μάλιστα * νέφος, παθῶν θησαυρὸς, ψυχῆς θάνατος αὐθαίρετος.

* Al. νέοις

Νεάζοντι σώματι, τρυφὴ καὶ μέθη, τὸ τῶν ἡδονῶν ἀνάπτουσι πῦρ.

Παχεῖα γαστὴρ, τῇ συνεχείᾳ τῶν θολερῶν ἀναθυμιάσεων, φυγαδεύειν C οἶδε διανοίας λεπτότητα.

Ἔρως θεῖος, οὐ μετεωριζόμενος τῷ πτερῷ τῆς ἐγκρατείας, θᾶττον πρὸς τὴν ὕλην καταπίπτει, βαρυνόμενος ταῖς πέδαις τῆς ἀκρασίας.

Πλησμονὴ συνεχὴς γαστρὸς, ἀφροδισίων ἐρεθίζει σκιρτήματα.

Γαστὴρ, φύλαξ παρακαταθήκης ἄπιστος, τὸ ἐμβαλλόμενον ἀποβάλλουσα.

Γαστρίμαργος πίων, χοῖρος ἕτοιμος εἰς σφαγήν.

Αἵματος εἰσροὴ, πνεύματος ἐκροὴν ἐργάζεται. A

Sanguinis influxio, spiritûs effluxionem parit.

Ὁ μὲν ἄρχων γαστρὸς, ἐν παντὶ τόπῳ δύναται μετιέναι τὴν ἀρετήν· ὁ δὲ ὑπὸ ταύτης ἀρχόμενος, ἐν οὐδενὶ πάντως.

Qui ventri dominatur, quovis loco virtutem colere potest; qui autem sub ipsius imperio est, nusquam omnino.

Δύο σκοποὶ τῆς ἐγκρατείας· ὁ μὲν, ἵνα τῶν ἡδέων τῆς παρούσης ζωῆς στερηθέντες, τῶν ἡδέων τῆς μελλούσης τύχωμεν· ὁ δὲ, ἵνα ταπεινωθέντι τῷ σώματι, καὶ ἡ ψυχὴ συνταπεινωθῇ, καὶ εὐκατάνυκτος οὕτω γένηται. λοιπὸν οὖν πᾶς κρεῶν μὲν ἀπεχόμενος, B ἑτέρων δὲ βρωμάτων ἐμπιπλάμενος, γαστρίμαργός ἐστιν, ἐκπεσὼν τῶν εἰρημένων τῆς ἐγκρατείας σκοπῶν.

Duo sunt continentiæ proposita; alterum, ut per abdicatas hujusce vitæ voluptates, futuræ voluptatibus fruamur; alterum, ut depresso corpore, anima simul per humilitatem deprimatur, atque hoc modo ad compunctionem propensa sit. De reliquo igitur quisquis à carnibus quidem abstinet, aliis tamen cibis sese ingurgitat, helluo dicendus est, ut qui à commemoratis continentiæ institutis desciverit.

Ἡ γαστριμαργία πολλάκις, καὶ διὰ θυρίδος ἀγάπης, εἰσπηδᾶν εἴωθεν.

Gula sæpenumero etiam per caritatis fenestram insilire solet.

Ἡ γαστριμαργία ξηραίνει μὲν τὴν πηγὴν τῶν ἐπαινετῶν δακρύων, κινεῖ δὲ τὴν πηγὴν τῶν αἰσχίστων ῥεύσεων.

Gula fontem laudabilium lacrymarum siccat; contrà turpissimarum fluxionum fontem commovet.

Λέοντα μὲν κολακεύσας, πολλάκις ἡμερώσεις· γαστέρα δὲ θεραπεύσας, ἀγριωτέραν παρασκευάσεις. C

Leonem si demulceas, eum haut rarò cicurabis; at si ventri blandiaris, truculentiorem eum reddes.

Τοῖς γαστριμάργοις καὶ τὰ ἐνύπνια βρώματα.

Gulosis ipsa quoque insomnia, cibi sunt.

Κράτει γαστρὸς, ἵνα μὴ αὕτη κρατήσῃ σου.

Ventri impera, ne tibi ille imperet.

Γαστρὸς θλιβομένης, ταπεινοῦται καρδία· θρυπτομένης δὲ, πρὸς ὕψος ἐπαίρεται.

Oppresso ventre animus humilitate sese dejicit; molliter autem habito, in altum assurgit.

Ἄρχων μὲν δαιμόνων, ὁ Σατανᾶς· ἄρχων δὲ παθῶν, ἡ γαστριμαργία.

Dæmonum princeps est Satanas; vitiorum autem, gula.

A Posteaquam Malus seu Diabolus helluonum manus ac pedes somno colligavit, ita demum arbitratu suo omnia agit, atque turpibus spectris impurisque excretionibus animum & corpus inficit.

Τῶν γαστριμάργων χεῖρας ὁμοῦ καὶ πόδας ὕπνῳ δεσμήσας ὁ πονηρὸς, πάντα ὅσα ἠθέλησεν ἐποίησεν, αἰσχραῖς φαντασίαις καὶ μιαραῖς ἐκκρίσεσι καὶ ψυχὴν καὶ σῶμα καταρυπώσας.

Apud mundanos radix omnium malorum avaritia est; apud Monachos autem gula potiùs.

Παρὰ μὲν κοσμικοῖς, ῥίζα πάντων τῶν κακῶν ἡ φιλαργυρία, παρὰ δὲ μοναχοῖς, μᾶλλον ἡ γαστριμαργία.

Copiosum stercus ingentem vermium numerum gignit; & ciborum copia magnum libidinosarum cogitationum numerum procreat.

Πλῆθος κόπρου, πλῆθος σκωλήκων γεννᾷ· καὶ πλῆθος βρωμάτων, B πλῆθος ἐμπαθῶν λογισμῶν.

De Fornicatione.

Fornicationis spiritus, per carnis cupiditatem, inde etiam à prima ætate, nobis negotium facessit. Atque atrox ejus bellum est, ac duplex, in animo nempe & in corpore consideratum. Porrò adversùs eum continentia strenuè pugnat; animi humilitate, sine qua nec fornicationem quisquam, nec alia vitia superare poterit, auxilium ipsi afferente. Oportet ergo, juxta Proverbium, omni custodia servare cor ab obscœnis cogitationibus, nec ullam earum ad nos accedentem admittere; ne alioqui animum subiens, illum trahat seu enervet, atque ad voluptatem illiciat. Operæprecium est enim secundùm Domini doctrinam, mundare priùs quod intus est calicis, ut fiat etiam id quod

* Al. περιγίνεσθαι. Prov. IV. 23.

* Al. ἐκλύσῃ. Matt. XXIII. 26.

Περὶ πορνείας.

Τὸ πνεῦμα τῆς πορνείας, διὰ τῆς ἐπιθυμίας τῆς σαρκὸς, ἀπὸ πρώτης ἡλικίας ἡμῖν ἐνοχλεῖ. καὶ χαλεπὸς ὁ τούτου πόλεμος, καὶ διπλοῦς, ἔν τε ψυχῇ καὶ σώματι θεωρούμενος. ἀντιστρατεύεται δὲ τούτῳ γενναίως ἡ ἐγκράτεια, συναιρομένης αὐτῇ καὶ τῆς ταπεινώ- C σεως τῆς ψυχῆς, ἧς ἐκτὸς, οὔτε πορνείας, οὔτε ἄλλων παθῶν δυνήσεταί τις * περιγενέσθαι. χρὴ τοίνυν κατὰ τὴν παροιμίαν, πάσῃ φυλακῇ τηρεῖν τὴν καρδίαν ἀπὸ ῥυπαρῶν λογισμῶν, καὶ μηδένα τούτων προσβάλλοντα παραδέχεσθαι· μήποτε παρεισδὺς * ἐκλύσῃ ταύτην καὶ ὑπαγάγηται πρὸς φιληδονίαν. προσήκει γὰρ καθαρίζειν πρότερον, κατὰ τὴν τοῦ κυρίου διδασκαλίαν, τὸ ἔνδον τοῦ

A τοῦ ποτηρίου, ἵνα γένηται καὶ τὸ ἔξω καθαρόν. ἐπεὶ δὲ τὴν νηστείαν ἀσκοῦμεν, οὐ πρὸς κακουχίαν τοῦ σώματος ἁπλῶς, ἀλλὰ καὶ πρὸς νῆψιν τοῦ νοός, ἵνα μὴ τῇ ἀμετρίᾳ τῶν βρωμάτων σκοτισθεὶς, ἀδυνατίσει πρὸς τὴν τῶν λογισμῶν φυλακήν. καὶ ἡ παρὰ τοῦ θεοῦ * δὲ δοθεῖσα πρὸς τὸν πρῶτον ἄνθρωπον ἐντολὴ, κελεύει τὴν κεφαλὴν ὄφεως τηρεῖν· τουτέστι, τὴν ἀρχὴν τοῦ βλαβεροῦ λογισμοῦ, δι' ἧς ἕρπειν εἰς τὴν ἡμετέραν ἐπιχειρεῖ ψυ- B χήν· μήποτε τῇ παραδοχῇ τῆς κεφαλῆς, καὶ τὸ λοιπὸν σῶμα συνεισρυῇ, καὶ καταχολιασθῶμεν εἰς τὴν ἀθέμιτον πρᾶξιν. καλὸν οὖν τὰ νήπια Βαβυλῶνος· φημὶ δὲ τοὺς ἐν ἀρχῇ προσβάλλοντας αἰσχροὺς λογισμούς· ἐδαφίζειν καὶ συντρίβειν πρὸς τὴν πέτραν, ἥτις ἐστὶν ὁ Χριστός. ἀδρυνθέντες γὰρ παρέξουσιν ἡμῖν ὀχλήσεις πολλὰς καὶ πράγματα. μὴ θαρρήσωμεν δὲ καταβαλεῖν διὰ μόνης ἀσκήσεως, τὸ ἀκάθαρτον πνεῦμα τῆς πορνείας, εἰ C μὴ καὶ ἡ παρὰ τοῦ θεοῦ συνεφάψηται βοήθεια. οὐ παύσεται γὰρ ὁ ἄνθρωπος πολεμούμενος ὑπ' αὐτοῦ μέχρις ἂν ἐν ἀληθείᾳ πιστεύσῃ, ὅτι οὐκ ἰδίᾳ σπουδῇ καὶ καμάτῳ, τῇ δὲ τοῦ θεοῦ σκέπῃ καὶ ἀντιλήψει, τῆς χαλεπῆς ταύτης ἀπαλλαγήσεται μάστιγος. ὑπερφυὲς γάρ ἐστι τὸ πρᾶγμα, καὶ ὁ τοὺς ἐρεθισμοὺς τῆς σαρκὸς καὶ τὰς ἡδονὰς ταύτης καταπατῶν, τρόπον τινὰ, τοῦ σώματος ἔξω γίνεται.

intus est calicis, ut fiat etiam id quod deforis est, mundum. Quandoquidem jejunium quoque non idcirco tantùm colimus, ut corpus affligamus, verumetiam ut prudentiam mentis adipiscamur; ne per immodicam ciborum copiam obscurata, custodiendis cogitationibus impar sit. Quin illud quo- *Gen. III. 15.*
que mandatum, quod primus homo à Deo datum accepit, ** Abest ab al.*
serpentis caput observare jubet; hoc est perniciosæ cogitationis initium, per quod ad animam nostram serpere conatur; ne fortè admisso capite, reliquum etiam corpus unà illabatur, & in nefariam decidamus actionem. Bene itaque erit, si parvulos Babylonis; turpes, *Ps. CXXXVI. 9.*
inquam, cogitationes, quæ nos primùm adoriuntur, ad petram, quæ est Christus, allidamus atque obteramus. Adultæ etenim, plurimum nobis turbarum ac molestiarum exhibebant. Nec verò nos impurum fornicationis spiritum per solam religiosam exercitationem dejecturos esse confidamus, nisi Dei subsidium accesserit. Neque enim homo ab eo antè oppugnari desinet, quàm verè crediderit, quòd non suo studio & labore, sed Dei protectione atque præsidio ab hoc aspero flagro liberandus sit. Siquidem res est eximia ac supra naturam; & qui carnis irritamenta & voluptates proterit, à corpore quodammodo excedit.

Proinde fieri nequit, ut homo suismet pennis ad castitatem, excelsam rem, convolet, nisi Dei quoque gratia eum à perturbationum animi fovea in altum eduxerit. Cæterùm indicium, quòd quispiam hanc virtutem plenè sit consecutus, istud est, si nulla fœda imaginatio per somnum in animam insiliat. Eæ namque argumento sunt animam ægrotare, nec ab hujusmodi affectu adhuc esse liberam. Unde & easdem dicimus antecedentis socordiæ, abditæque in nobis imbecillitatis esse indices, non secus ac morbi cujusdam in animi penetralibus delitescentis, ac sese patefacientis per fluxionem quæ in somnis contingit. Magna itaque, fratres, castitatis & pudicitiæ virtus est; ob idque magnis variisque insidiis ab hostibus oppugnatur. Verùm nos, gnari quòd *sine sanctimonia*, ut ait Apostolus, ***nemo videbit Dominum***, ne fatiscamus, dum diligenter cor nostrum conservamus, continentiam colimus, crebras preces cum gemitu fundimus, cæteraque facimus, quò carnis nostræ fornacem, quam Babylonius rex per cupiditatis illecebras accendit, Spiritus sancti interventu exstinguamus. Ipsi gloria in sæcula.

* *Al.* ἀναπτῆναι

Heb. XII. 14.

Pudicitia continentiæ filia est; fornicatio autem, gulæ soboles.

Fluctuum impetus navem jactat; mentem intemperantem, fornicationis cogitatio.

A Διὸ καὶ ἀδύνατον ἀνθρώπῳ τοῖς ἰδίοις πτεροῖς * ἀναπλῆσαι πρὸς τὴν ὑψηλὴν ἁγνείαν, εἰ μὴ καὶ χάρις Θεοῦ, τοῦτον ἀπὸ βόθρου τῶν παθῶν ἀνάγοι. δεῖγμα δὲ τοῦ, τὴν ἀρετὴν ταύτην κτήσασθαί τινα τελείως, τὸ μηδεμίαν αἰσχρὰν φαντασίαν ἐν τοῖς ὕπνοις ἐπιπηδᾷν τῇ ψυχῇ. αὗται γὰρ τοῦ νοσεῖν τὴν ψυχὴν τεκμήριον, καὶ μή πω τοῦ πάθους ἀπηλλάχθαι. διὸ καὶ ταύτας ἔλεγχον εἶναι τῆς προλαβούσης λέγομεν ῥαθυμίας, καὶ τῆς B ἐν ἡμῖν ἀσθενείας, οἷα τῆς καλυπτομένης ἐν τοῖς ἀποκρύφοις τῆς ψυχῆς μέρεσι νόσου, φανερουμένης διὰ τῆς ἐν τοῖς ὕπνοις ῥεύσεως. μέγα οὖν, ἀδελφοί, τὸ κατόρθωμα τῆς ἁγνείας καὶ σωφροσύνης· καὶ διὰ τοῦτο μεγάλαις καὶ ποικίλαις ἐπιβουλαῖς πολεμεῖται παρὰ τῶν ἐχθρῶν. ἀλλ' ἡμεῖς εἰδότες ὅτι χωρὶς ἁγιασμοῦ, κατὰ τὸν ἀπόστολον, οὐδεὶς ὄψεται τὸν Κύριον, μὴ ἀποκάμωμεν, φυλάττοντες ἐπιμελῶς τὴν καρδίαν, καὶ ἐγκρα- C τευόμενοι, καὶ πυκνῶς προσευχόμενοι μετὰ στεναγμοῦ, καὶ τἄλλα ποιοῦντες, ὅπως τὴν κάμινον τῆς ἡμετέρας σαρκὸς, ἣν ὁ Βαβυλώνιος βασιλεὺς ἀνάπτει τοῖς τῆς ἐπιθυμίας ἐρεθισμοῖς, ἀποσβέσωμεν τῇ παρουσίᾳ τοῦ ἁγίου πνεύματος. αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας.

Σωφροσύνη μὲν, ἐγκρατείας τέκνον· πορνεία δὲ, θυγάτηρ γαστριμαργίας.

Κυμάτων βία, χειμάζει πλοῖον· καὶ νοῦν ἀκρατῆ, λογισμὸς πορνείας.

Ὄψις εὐανθὴς, βέλος πεφαρμακωμένον· ἔτρωσε ψυχὴν, καὶ τὸν ἰὸν ἐναπέθετο, καὶ ὅσον χρονίζει, πλείονα σῆψιν ἐργάζεται. A

Βέλτιον οἴκοι μένοντα σχολάζειν, ἢ τιμᾷν δοκοῦντα τὰς ἑορτὰς, πάρεργον τοῦ δαίμονος γίνεσθαι.

Ἔλαιον τρέφει λύχνον, καὶ πυρσὸν ἡδονῆς, ὁμιλία γυναικός.

Φεῦγε συντυχίας γυναικῶν, καὶ μὴ δῷς αὐταῖς παῤῥησίαν. Πρώτῃ συντυχίᾳ, καὶ τὸ βλέμμα πίνασαι κάτω, λαλοῦσι πρᾳέως, καὶ δακρύουσι συμπαθῶς, καὶ σχηματίζονται κοσμίως, καὶ πυκνὰ στενάζουσιν· ἐρωτῶσι περὶ ἁγνείας, καὶ σπουδαίως ἀκούουσι. δεύτερον εἶδες, καὶ μικρὸν ἀνένευσαν· τρίτον, καὶ προσέχον ἀτενέστερον, ἐμειδίασαν, καὶ κεχυμένως ἐγέλασαν· καὶ λοιπὸν ἐξαρτύουσι πάντα τὰ πολιορκοῦντα ψυχὴν, ἄγκιστρα θανάτου, καὶ θέλγητρα γοητείας, καὶ πολύπλοκα θήρατρα. B C

Πυρὶ μὲν προσελθὼν, ταχέως ἀποπηδήσεις· γυναικὸς δὲ ῥήμασι χαυνωθεὶς, οὐκ εὐθέως ἀναχωρήσεις.

Θάλλει βοτάνη παρ' ὕδασι, καὶ πάθος ἀκολασίας, ἐν ὁμιλίᾳ γυναικός.

Μορφὴ κεκαλλωπισμένη, τῶν ἀκρατεστέρων ὄλεθρος καὶ ναυάγιον.

Ὥσπερ μνήμη πυρὸς οὐ καίει διάνοιαν, οὕτως οὐδὲ πάθος,

Florida facies, telum venenatum est: animum sauciat, & in ipso venenum infigit; quóque diutius immoratur, eò majorem saniem efficit.

Præstat domi quietum manere, quàm putando festa colere, dæmonis prædam & accessionem fieri.

Oleum lucernam alit; itemque voluptatis flammam mulieris consuetudo.

Mulierum consortia fuge, nec libertatem ipsis concede. Primo congressu, & demissa humi facie leniter loquuntur, & lacrymantur miseranter, modestéque se se componunt, frequenter ingemiscunt; de castitate percontantur, & studiosè audiunt. Secundâ vice vidisti, jam paulisper attollunt oculos; tertio colloquio, fixiùs te intuentur, subrident, imò etiam profusum risum edunt; ac denique cuncta quæ animam obsident moliuntur, hamos mortis, præstigiarum illectamenta, atque multipliciter contextas plagas.

Ad ignem si propiùs accesseris, statim resilies; at si mulieris verbis te emolliri sinas, non illico recedes.

Viret herba, quæ aquis propinqua est; & libidinis affectus, in muliebri colloquio.

Forma fucata, intemperantium pernicies & naufragium est.

Quemadmodum ignis memoria mentem minimè urit; sic nec

affectus, remotâ materiâ, quâ A alitur atque augetur.

* Int. ἰσόν

Par est, serpenti & affectui parcere. Nam ut occasionem invenerint, interimere festinant.

In congressu perniciosarum personarum, conquiescentibus tuis passionibus, ne propterea confidas. Hoc enim quoque ars est, ut adversùm te incautum insurgant, eoque modo faciliùs te capiant.

* Al. καταξαναστῆναί

Si quando affectum viceris, ne ideo curam & sollicitudi- B nem abjicias. Siquidem affectus ultro redire solent, ac repentino impetu ingens hominibus incautis periculum inferunt.

Scintilla in paleis moram trahens, flammam excitat; tum noxia recordatio diutiùs insidens, fornicationis cupiditatem.

Ut mortis memoria ciborum intemperantiam amputat; sic libidinis petulantiam resecat continentia, juncta humilitati C & orationi.

* Int. θεοῦ

Si libidinis cogitatio animum tuum subierit, confestim mentem inde abstractam ad Deum summo studio attolle; ne diutius immoratus, tamquam voluptatis amator condemneris.

Cùm libidinis ardore flagraveris, tum ingemiscens his verbis utere; Heu me miserum, si Diabolum Deo, & impuritatem puritati anteposuero. *Projicientes me nunc circumdederunt me: Exsultatio mea erue me à circumdantibus me.* Sunt

Ps. XVI. 11.

Ps. XXXI. 7.

A ἀπούσης ὕλης τῆς τρεφούσης καὶ αὐξανούσης αὐτό.

* Ὅσον ἐστὶν ὄφεως καὶ πάθους φείσασθαι. καιρὸν γὰρ εὑρόντα, σπεύδουσιν ἀνελεῖν.

Ἐν συντυχίαις προσώπων βλαβερῶν, ἠρεμούντων σοι παθῶν, μὴ πιστεύσῃς. τέχνη γὰρ καὶ τοῦτο, * κατεξαναστῆναί σου μὴ φυλαττομένου, καὶ ῥᾷον οὕτως ἑλεῖν.

Εἴ ποτε κρατήσει τοῦ πάθους, B μηδ' οὕτως ἀμεριμνήσῃς. φιλεπίστροφα γὰρ τὰ πάθη, καὶ τῷ αἰφνιδίῳ τοῖς ἀφυλάκτοις ὀξὺν τὸν κίνδυνον ἐπιφέροντα.

Σπινθὴρ ἐγχρονίσας ἀχύροις, ἐγείρει φλόγα, καὶ μνήμη βλαβερὰ παραμένουσα, πορνείας ἐπιθυμίαν.

Ἀκρασίαν βρωμάτων, περικόπτει μνήμη * θανάτου· ἀκολασίαν δὲ πορνείας, περιαιρεῖ ἐγκράτεια C μετὰ ταπεινώσεως καὶ προσευχῆς.

Ἐάν σοι λογισμὸς ἀκολασίας προσεγγίσῃ, παραυτίκα τὸν νοῦν ἀποσπάσας, ἀνένεγκε μετὰ σπουδῆς πρὸς τὸν θεόν· μήποτε χρονίσας, κατακριθῇς ὡς φιλήδονος.

Ὅταν πυρωθῇς ἐμπαθῶς, τότε λέγε στενάζων· φεῦ, εἰ προτιμήσω τοῦ θεοῦ τὸν διάβολον, καὶ τῆς καθαρότητος τὴν ἀκαθαρσίαν. ἐκβαλόντες με νυνὶ περιεκύκλωσάν με· τὸ ἀγαλλίαμά μου λύτρωσαί με ἀπὸ τῶν κυκλωσάντων με. τινὲς

δὲ καὶ ξυλάριον λαμβάνοντες, καὶ τύπτοντες ἑαυτοὺς ἐμπόνως, οὕτω τὴν πύρωσιν ἀπελαύνουσιν, ὡς τοῦ πόνου τὴν ἡδονὴν πόῤῥω βάλλοντος.

Ὁσάκις ἂν καταμόνας ἐπέλθῃ σοι πορνείας ἐρεθισμὸς, ἀναστὰς ῥίψον σεαυτὸν ἐνώπιον τοῦ θεοῦ, βοῶν· υἱὲ τοῦ θεοῦ, βοήθει μοι. καὶ μὴ σφόδρα λυποῦ· οὐ γὰρ ἐκριζωταὶ τῶν παθῶν ἐσμὲν, ἀλλ' ἀνταγωνισταί.

Βαρὺς ὁ τῆς πορνείας δαίμων, καὶ σφοδρῶς ἐπιτίθεται τοῖς κατὰ τοῦ πάθους ἀγωνιζομένοις, καὶ μᾶλλον ἐν τῇ ἀμελείᾳ τῆς διαίτης, καὶ τῇ ὁμιλίᾳ τῶν βλαβερῶν προσώπων. τῇ λειότητι γὰρ τῆς ἡδονῆς ὑποκλέπτων τὸν νοῦν, μετέπειτα διὰ τῆς μνήμης * ἀποβαίνει, πυρπολῶν τὸ σῶμα, καὶ ποικίλας μορφὰς αἰσχρῶν φαντασιῶν ὑποδεικνύων.

Σῶμα σῶφρον, θυσίας πολυτελοῦς, θεῷ τιμιώτερον.

Τὸ πάθος τῆς αἰσχρότητος, ἐκριζοῖ κόπος ψυχικὸς, καὶ πόνος σωματικός· τῆς ψυχῆς μὲν, ἀεὶ τοῦ θεοῦ δεομένης, τοῦ δὲ σώματος ἐγκρατευομένου.

Ἐν τοῖς πολέμοις τῆς σαρκὸς, χρὴ καταπονεῖν τὸ σῶμα. συμφέρει γὰρ τοῦτο μᾶλλον εἰς ἀῤῥωστίαν ἐμπεσεῖν, ἢ τὴν ψυχήν.

Ἡ ἀκολασία, τὴν ψυχὴν μὲν ἐκθηλύνει καὶ μολύνει, καὶ τὴν ἡγεμονίαν αὐτῆς μεθίστησιν εἰς ἐπονείδιστον

A etiam nonnulli, qui fustem accipiant, seque acerrimè feriant, atque ita ardorem expellant, dolore nimirum voluptatem procul abigente.

Quoties libidinis illecebra seorsim in te impetum fecerit, surge, ac te coram Deo projice, clamans; Fili Dei, adjuva me. *Matt. xv. 25.* Neque vehementer contristeris: non enim affectuum evulsores sumus, sed oppugnatores.

Gravis est fornicationis dæmon, ac vehementer iis immi- B net, qui adversus hujusmodi affectum dimicant; idque magis inter victûs negligentiam, & noxiarum personarum consuetudinem. Siquidem per voluptatis mollitiem animum surripiens, deinde per recordationem, ingreditur, & corpus inflammat, atque multiplices turpium imaginum formas subjicit. ** Al. ἐμβαίνει*

Corpus pudicum, sacrificio magnifico exquisitoque apud C Deum est carius.

Affectum turpitudinis eradicat animi exercitatio, & corporis labor; animo quidem Deum assiduè precante, corpore autem continentiam colente.

Inter carnis bella, corpus laboribus fatigandum est. Præstat enim corpus in morbum incidere, quàm animam.

Libido, tum animam emollit ac inficit, ipsiusque principatum in turpem servitutem

transfert, tum corporis vigorem labefactat, atque ad morbos propensum reddit.

De Avaritia.

Externum est avaritiæ bellum, atque à natura nostra alienum, ex infidelitate Monachis adhærens. Etenim aliorum affectuum, iræ ac libidinis, stimuli, ansam à corpore arripere videntur; unde, utpote quasi à natura insiti, non nisi longo temporis spatio, atque ægrè superantur. At hic affectus, cùm extrinsecus conflictur, siquidem diligentia & attentio accedat, faciliùs exscinditur; sin autem negligatur, exitiosior aliis efficitur, radixque omnium malorum, & idolorum servitus, juxta Apostolorum. Quippe in pueris & ira & cupiditas cernitur; quandoquidem Creator ab initio ejusmodi affectus adjumenti caussa insevit naturæ nostræ; irasci quidem, contra Diabolum, (quemadmodum ait ille magnus in Theologia vir Gregorius; *Ira tibi sit contra solum serpentem, ob quem periisti*) concupiscere autem, procreandorum liberorum caussâ: etsi præter naturæ scopum iis utimur. At verò morbus avaritiæ, non ex naturali motu occasionem accipit, verùm, ut jam diximus, ex infidelitate, quòd non credamus Dei providentiâ nos regi. Nam ubi mollem animam nacta est,

1. Tim. VI. 10. Col. III. 5.

Orat. 43.

A δουλείαν· τοῦ σώματος δὲ προσδιαφθείρουσα τὸν τόνον, πρὸς τὰς νόσους ἐπιῤῥεπέστερον αὐτὸ κατεργάζεται.

Περὶ φιλαργυρίας.

Ξένος ὁ πόλεμος τῆς φιλαργυρίας, καὶ ἔξω τῆς ἡμῶν φύσεως, ἐξ ἀπιστίας τοῖς μοναχοῖς ἐγγινόμενος. τῶν μὲν γὰρ ἄλλων παθῶν, θυμοῦ καὶ ἐπιθυμίας, οἱ ἐρεθισμοὶ τὰς ἀφορμὰς δοκοῦσιν ἔχειν ἀπὸ τοῦ σώματος· ὅθεν καὶ ὡς ἔμφυτα τρόπον B τινὰ, διὰ μακροῦ χρόνου, δυσχερῶς καταπολεμοῦνται. τοῦτο δὲ τὸ πάθος ἔξωθεν ἐπισυνιστάμενον, εἰ μὲν ἐπιμελείας τύχοι καὶ προσοχῆς, ἐκκόπτεται ῥᾷον· ἀμεληθὲν δὲ, τῶν ἄλλων ὀλεθριώτερον γίνεται, καὶ ῥίζα πάντων τῶν κακῶν, καὶ εἰδωλολατρία, κατὰ τὸν ἀπόστολον. ἐν μὲν γὰρ τοῖς νηπίοις, καὶ θυμὸς διαφαίνεται καὶ ἐπιθυμία· διότι πρὸς βοήθειαν ἐξ ἀρχῆς ὁ δημιουργὸς τῇ φύσει ταῦτα συγ- C κατεβάλετο· θυμοῦσθαι μὲν, κατὰ τοῦ διαβόλου· καθά φησι καὶ ὁ ἐν θεολογίᾳ μέγας Γρηγόριος· ὁ θυμὸς ἔστω σοι κατὰ μόνου τοῦ ὄφεως, δι' ὃν ἀπόλωλας· ἐπιθυμεῖν δὲ, πρὸς τεκνογονίαν· εἰ καὶ παρὰ φύσιν τούτοις κεχρήμεθα. ἡ δὲ νόσος τῆς φιλαργυρίας, οὐκ ἐκ φυσικῆς κινήσεως ἔχει τὴν ἀφορμήν· ἀλλ' ὡς εἰρήκαμεν, ἐξ ἀπιστίας, τοῦ μὴ προνοεῖσθαι παρὰ θεοῦ. λαβομένη γὰρ ψυχῆς χλιαρᾶς,

εὔλογα δοκεῖ ὑποτίθεσθαι· γῆρας A μακρὸν, ἀσθένειαν σώματος, ἐγκατάλειψιν συγγενῶν καὶ φίλων, καὶ τοιαύτας ἄλλας προφάσεις· καὶ λοιπὸν εἰσδυομένη καὶ περιλαμβάνουσα τὴν ψυχὴν, ὅλην τὴν ἐπιθυμίαν εἰς ἑαυτὴν μεθιστᾷ, καὶ πείθει μόνον τὸ ἀργύριον ζητεῖν, καὶ μόνῳ τούτῳ βεβαίως θαρρεῖν, ὡς ἐν καιρῷ βοηθήσοντι· τὰς δὲ πρὸς θεὸν ἐλπίδας, ἴσα καὶ αὔραις λογίζεσθαι. τρεῖς δὲ τρόποι τῆς φιλαργυρίας· ὁ μὲν, ὅταν τις ἐπιθυμεῖ κτήσασθαι ἃ B μὴ ἔχει· ὡς Γιεζῆ, οὗ ἐπιτίμιον, ἡ αἰώνιος λέπρα· ὁ δὲ, ὅταν τις ἀποταξάμενος οἷς ἔχει, πάλιν ἐπιθυμεῖ πλούτου· ὡς ὁ Ἰούδας, οὗ ἐπιτίμιον, ἡ πικρὰ ἀγχόνη· ὁ δὲ, ὅταν τις ὑποσχόμενος ἀποκτήσασθαι πάντα ὅσα ἔχει, λάθρα παρακατάχει μέρος· ὡς Ἀνανίας καὶ Σάπφειρα, ὧν ἐπιτίμιον, ὁ αἰφνίδιος καὶ ἀφειδὴς θάνατος. ἐκκοπτέον τοίνυν τὴν ῥίζαν τῶν κακῶν. ταύτης γὰρ μενούσης, καὶ οἱ κλάδοι C φυήσονται. μή πως ἀκούσωμεν ἀπροσδοκήτως· ἄφρον, ταύτῃ τῇ νυκτὶ τὴν ψυχήν σου ἀπαιτοῦσιν ἀπὸ σοῦ, ἃ δὲ ἡτοίμασας, τίνι ἔσται; κατορθοῦσι δὲ μάλιστα τὸ ἀφιλάργυρον, οἱ ἐν κοινοβίῳ μηδενὸς φροντίζοντες.

Φιλάργυρος μοναχὸς ἐν ἐργοχείροις ἐπιμελέστατος· ἔργον μὲν ἔχων

A rationi consentanea proponere videtur, diuturnam senectutem, corporis imbecillitatem, cognatorum & amicorum desertionem, aliosque id genus prætextus. Ac deinceps in animum subiens, eumque prorsus occupans, totam cupiditatem ad sese traducit, persuadetque, pecuniam solam quærere, in eaque sola, ut quæ in tempore adjutura sit, firmiter confidere; spem verò in Deum, instar ventorum reputare. Tria porrò B avaritiæ sunt genera: primum, quando quis ea quibus caret, adipisci gestit; ut Giezi, cujus pœna lepra sempiterna est: alterum, cùm quis postquam facultatibus suis renunciavit, rursus divitiarum cupiditate afficitur; ut Judas, cujus supplicium acerbus est laqueus: tertium, ubi quis bona sua omnia abjecturum se pollicitus, partem clam retinet; ut Ananias & Saphira, quorum pœna mors repentina & sæva. C Quocirca evellenda est malorum radix. Hæc enim si maneat, rami quoque pullulabunt. Ne inopinatò audiamus; *Stulte, hac nocte animam tuam re-* Luc. *petunt à te; quæ autem parasti,* XII. *cujus erunt?* 20. Cæterùm virtutem contemptæ pecuniæ & avaritiæ abjectæ maximè ii excolunt, qui in cœnobio nullius rei curam suscipiunt.

Avarus Monachus, in manuum laboribus diligentissimus, eos quidem pro seria opera

habet, pro defunctoria autem A precationem ac lectionem, & si quid aliud spirituale est. Quin ad hujusmodi affectûs
II. Thess. patrocinium, illud quoque Apostoli dictum obtendit; Qui
III 10. otiosus est, *nec manducet*. Cùm tamen contrà, ea quæ animæ utilia sunt pro opere haberi debeant, pro appendice verò operis ea quæ manibus conficiuntur.

ταῦτα, πάρεργον δὲ τὴν προσευχὴν καὶ τὴν ἀνάγνωσιν, καὶ εἴ τι πνευματικόν· προβάλλεται δὲ καὶ εἰς συνηγορίαν τοῦ πάθους, τὸ ἀποστολικὸν ἐκεῖνο ῥητόν· ὁ ἀργὸς, μηδὲ ἐσθιέτω. δέον ἔργον μὲν ἔχειν, τὰ ψυχωφελῆ, πάρεργον δὲ, τὰ ἐν ἐργοχείρεσι.

Avarus ille est, non qui omnino pecunias habet, sed qui eas amat, atque adipisci cupit.

Φιλάργυρος, οὐχ ὁ ἔχων χρήματα πάντως, ἀλλ᾽ ὁ φιλῶν αὐτὰ, καὶ B τῆς τούτων ὀρεγόμενος κτήσεως.

Monachus dives & copiosus, onusta navis est, quæ in tempestate facilè submergitur.

Μοναχὸς πολυκτήμων, πλοῖον πεφορτισμένον, εὐχερῶς ἐν ζάλῃ καταδυόμενον.

Contrà is qui nihil possidet, levis ac expeditus viator est, qui in omni loco diversorium
Philipp. invenit, citóque pervenit ad
III. 14 bravium supernæ vocationis; aquila denique sublime volans, ac tum demum ad cibum devolans, cùm necessitas cogit.

Ὁ δὲ ἀκτήμων, εὐσταλὴς ὁδοιπόρος, ἐν παντὶ τόπῳ καταγώγιον εὑρίσκων· κοῦφος δρομεὺς, ταχέως φθάνων ἐπὶ τὸ βραβεῖον τῆς ἄνω κλήσεως· ἀετὸς ὑψιπέτης, τότε καθιπτάμενος ἐπὶ τροφὴν, ὅταν ἡ χρεία βιάσηται.

Monachus avaritiæ morbo laborans, numquam à cura & sollicitudine liber est.

Μοναχὸς νοσῶν φιλαργυρίαν, C οὐδέποτε μερίμνης ἀπήλλακται.

Avaritiæ cum caritate nullum fœdus esse potest. Hæc enim æquo libentique animo se fraudari patitur, facultatesque suas lætè impertit, atque interdum etiam omnia magno animo abjicit; illa verò contrarium omnino efficere consuevit.

Ἀσύμβατος εἰς ἀγάπην ἡ φιλαργυρία. ἡ μὲν γὰρ, ἡδέως ἀνέχεται πλεονεκτουμένη, καὶ ὄντων περιχαρῶς μεταδίδωσιν· ἔστιν ὅτε δὲ, ἅπαντα μεγαλοψύχως προΐεται· ἡ δὲ, πᾶν τοὐναντίον οἶδε ποιεῖν.

Numquam deerunt fluctus mari, neque avaro iræ ac mærores.

Οὐκ ἐκλείψει κύματα θαλάσσῃ, οὐδὲ φιλαργύρῳ ὀργαὶ καὶ λῦπαι.

Avarus in cœlum contendens,

Φιλάργυρος εἰς οὐρανὸν ἐπειγόμενος,

ἔοικε

ἔοικε δεσμήσαντι τοὺς αὐτοῦ πόδας, καὶ πειρωμένῳ δραμεῖν.

Περὶ ὀργῆς.

* Ἡ ὀργὴ παρακαθημένη τῆς καρδίας καὶ ἀνακαιομένη, τυφλοῖ τὸν νοῦν τῷ καπνῷ, καὶ φθείρει τὴν διάκρισιν· καὶ λοιπὸν σφαλερὰ πάντα πράττει καὶ συγκεχυμένα. ἐταράχθη γάρ φησιν, ἀπὸ θυμοῦ ὁ ὀφθαλμός μου. καὶ αὖθις· θυμὸς, ἐν κόλπῳ ἀφρόνων αὐλίζεται. καὶ μισεῖ τὸ δίκαιον. ὀργὴ γάρ φησιν, ἀνδρὸς, δικαιοσύνην θεοῦ * οὐ κατεργάζεται. καὶ ἀσχημονεῖ. ἀνὴρ γάρ φησι, θυμώδης, οὐκ εὐσχήμων. καὶ τοσούτοις κακοῖς ὑποβάλλουσα τὸν ἑαλωκότα, ἐλεεινῶς ἀποθηριοῖ. χρὴ τοίνυν πρᾳότητα μεταδιώκειν, καὶ ἀταράχους ἑαυτοὺς διατηρεῖν, ἐν τῷ διορθοῦσθαι τὸν πλημμελήσαντα· μήποτε διὰ θεραπείας, νόσον ἐπισπώμεθα. ὀργίζεσθε γάρ φησι, καὶ μὴ ἁμαρτάνετε. πῶς δ' ἄν τις ὀργιζόμενος, οὐχ ἁμαρτήσει; εἰ κατὰ τῶν ἰδίων ὀργίζεται πάντοτε παθῶν, καὶ τῇ ἑαυτοῦ ῥαθυμίᾳ τὰς αἰτίας τῆς ὀργῆς ἐπιγράφεται. εἰ δὲ κατὰ τοῦ πλησίον ἐκκινηθῶμεν, ἀλλὰ ταχέως διαλλαχθῶμεν. γέγραπται γάρ· ὁ ἥλιος μὴ ἐπιδυέτω ἐπὶ τῷ παροργισμῷ ὑμῶν· καὶ πάλιν· μὴ μισήσῃς τὸν ἀδελφόν σου ἐν τῇ καρδίᾳ σου.

A huic similis est, qui pedibus suis vinculo constrictis currere conatur.

De Ira.

Ira cùm semel pectus obsederit, cúmque exarserit, mentem fumo occæcat, judiciumque corrumpit; ac denique lubrica omnia & confusa reddit. *Conturbatus est* enim inquit ab *ira oculus meus.* Et iterum; *Ira in sinu stultorum manet.* Atque id quod justum est odio habet. B *Ira* enim inquit *viri*, *justitiam Dei non operatur.* & indecorè se gerit. *Vir* enim inquit *iracundus*, *decorus non est.* Cúmque in tot ac tanta mala eum quem semel invasit conjiciat, miserandum in modum ipsum efferat. Oportet ergo mansuetudinem consectari, nosque ab omni perturbatione puros conservare, quoties aliquem qui deliquit corrigimus; ne fortè per medicinam morbum contrahamus. *Irascimini* enim inquit, *& nolite peccare.* At qui C fieri potest, ut quis succensendo non peccet? Nimirum si adversùs vitia sua semper irascatur, atque iracundiæ caussas adscribat suæ ipsius socordiæ. Quòd si adversùs proximum commoveri nos contigerit, at certè in gratiam cum illo confestim redeamus. Scriptum est enim; *Sol non occidat super iracundiam vestram.* Et rursus; *Non oderis fratrem tuum in corde tuo.*

Ps. XXX. 10. Eccl. VII. 10. Jac. I. 20. * Al. οὐκ ἐργάζεται. Prov. XI. 25. Ps. IV. 5. Eph. IV. 26. Levit. XIX. 17.

Nebulæ exortus, aerem A condensat, & iracundiæ excitatio, iracundi mentem.

Iracundi mens fons est turbidus, qui obtinet laticem cœnosum & inutilem.

Vir honestus & gravis obscœnum diversorium aversatur: item Deus, cor iracundi.

Ut fumus oculos turbat, sic ira, precantis animum.

Iracundi cogitationes, viperæ genimina, & cor quod eas peperit erodunt.

Iracundorum, perturbata & cum terrore conjuncta sunt somnia.

Evagr. s. c. 12. Eph. IV. 26. *Sol* inquit *non occidat super iracundiam vestram*: ne noctu irruentes dæmones, animam per horrenda spectra conturbent; etenim ex iracundia hæc exsistunt; atque eo modo ignaviorem eam ad bellum reddant.

Pluribus medicamentis ira opus habet, quàm cupiditas. Est enim violentior, & ad coercendum difficilior.

Torrens exundans, obvia quæque secum trahit; & iracundia infervescens mentem abducit.

Iracundia in morem canum, cæcas cogitationes parit.

Ira, vesaniæ mater, cùm efferbuerit, efficitur.

Ὁ μίχλης ἀνάδοσις, ἀέρα παχύνει, καὶ θυμοῦ κίνησις, ὀργίλου διάνοιαν.

Ὀργίλου νοῦς, πηγὴ τεταραγμένη, νᾶμα κεκτημένη τεθολωμένον καὶ ἄχρηστον.

Ἀνὴρ σεμνὸς, αἰσχρὸν ἀποστρέφεται καταγώγιον, καὶ ὁ θεὸς, ὀργίλου καρδίαν.

Καπνὸς ὀφθαλμοὺς ταράσσει, καὶ ὀργὴ προσευχομένου ψυχήν.

Ὀργίλου λογισμοὶ, ἐχίδνης γεννήματα, καὶ κατεσθίουσι τὴν γεννήσασαν B αὐτοὺς καρδίαν.

Τῶν ὀργίλων τεταραγμένα καὶ μεστὰ δείματος τὰ ἐνύπνια.

Ὁ ἥλιος μὴ ἐπιδυέτω, φησὶν, ἐπὶ τῷ παροργισμῷ ὑμῶν ἵνα μὴ νύκτωρ ἐπιστάντες οἱ δαίμονες, ἐκταράξωσι τὴν ψυχὴν, διὰ φοβερῶν φαντασμάτων· ἐκ τοῦ θυμοῦ γὰρ ταῦτα γίνονται· καὶ οὕτω δειλοτέραν πρὸς τὸν πόλεμον ἐργάσωνται ταύτην.

Πλειόνων δεῖται φαρμάκων ὁ θυμὸς παρὰ τὴν ἐπιθυμίαν. βιαιότερος C γάρ ἐστι καὶ δυσκαθεκτότερος.

Χείμαῤῥος πλημμυρήσας, παρασύρει τὸ προστυχόν· καὶ θυμὸς ἀναζέσας, κατασύρει διάνοιαν.

Οἱ θυμοὶ, καθάπερ οἱ κύνες, τυφλὰ τίκτουσι τὰ νοήματα.

Ὀργὴ, μήτηρ μανίας, ὑπερζέσασα γίνεται.

A

Περὶ λύπης.

Ὅταν τὸ πονηρὸν πνεῦμα τῆς λύπης περιδράξηται τῆς ψυχῆς, ὅλην τὴν εὐτονίαν αὐτῆς καὶ καρτερίαν παραλύει, καὶ σκοτίζει, καὶ καταφέρει καὶ καταβαπτίζει πλέον, καὶ καθάπερ σὴς ἱμάτιον, καὶ ξύλον σκώληξ, διαμασᾶται ταύτην καὶ ἀποπνίγει, καὶ οὐ συγχωρεῖ τὴν οἱανοῦν παράκλησιν δέξασθαι. πάσης γὰρ πικρίας πληρώσαν αὐτήν, παρασκευάζει πᾶσαν ψυχαγωγίαν B ἀποστρέφεσθαι, καὶ ἀμελεῖν, καὶ ἐκλύεσθαι, καὶ πάντων ἀπογινώσκειν· καὶ λοιπὸν ὁ δαίμων αὐτὴν παραλαμβάνει τῆς ἀκηδίας. ἀλλ' ἡμῖν εὐθὺς κατὰ τῆς λύπης ἀγωνιστέον, διὰ τῆς προσευχῆς, καὶ τῆς εἰς θεὸν ἐλπίδος, καὶ τῆς ἀναγνώσεως τῶν θείων γραφῶν, καὶ τῆς μετ' εὐλαβῶν ἀνθρώπων ἀναστροφῆς, καὶ κοινολογίας. τὴν μέντοι κατὰ θεὸν λύπην, καὶ μᾶλλον ἀσκητέον, τὴν ἐφ' οἷς ἁμαρτάνομεν, καὶ ῥαθυμοῦμεν, καὶ τὸν C θεὸν παροργίζομεν. αὕτη γὰρ τοὐναντίον διεγείρει πρὸς ἐργασίαν ἀρετῶν, καὶ σπουδαίους ἀποτελεῖ.

Τὴν οὐ κατὰ θεὸν λύπην, φαύλης ὀρέξεως ἀποτυχία συνίστησιν.

Οὐκ οἶδε μέλιτος γεῦσιν ὁ πυρέσσων, οὐδὲ πνευματικὴν ἡδονὴν ὁ λυπούμενος μοναχός.

Λύπη, σκώληξ καρδίας, εἰς ἑαυτὴν ἕλκουσα καὶ περισπῶσα τὸν νοῦν.

De Tristitia.

Cùm improbus tristitiæ spiritus animam arripuerit, omnes ipsius nervos ac robur frangit, eamque obscurat, deprimit, prorsusque demergit; atque ut tinea vestem, ac vermis lignum, depascitur & præfocat, nec ullam omnino sinit consolationem admittere. Nam ubi eam omni amaritudine repleverit, id efficit, ut omne aversetur solatium, curam abjiciat, elanguescat, & de omnibus desperet. Atque ita deinceps acediæ dæmon eam assumit. At nobis quamprimùm adversùs tristitiam decertandum est, nempe per orationem, spem in Deum, divinarum Scripturarum lectionem, consuetudinemque & colloquium cum piis viris. Quinetiam in ea tristitia exercere nos oportet, quæ secundùm Deum est, *II. Cor. VII 10.* atque ob ea in quibus peccamus, segniter agimus, Deumque ad iracundiam provocamus. Hæc enim è contrario ad virtutum cultum excitat, & studiosos diligentesque reddit.

Tristitiam quæ secundùm Deum non est, prava cupiditas frustrata constituit.

Qui febri correptus est, mellis gustum nescit; nec spiritualem lætitiam, Monachus qui tristitiæ morbo laborat.

Tristitia vermis cordis est, quæ ad sese mentem trahat & divellat.

A Qui in mærore eſt, is mentem ad contemplationem minimè movebit; nec puram orationem ad Deum emittit. Mæror enim virtuti omni officit.

Nullas vires habet triſtitia, cùm affectus abſunt. Eſt enim mæror affectuum certiſſimus index. Qui ergo affectibus dominatur, triſtitiæ pariter imperavit.

Ut aurigo ſenſum corporis adimit; ſic animi ſenſum, triſtitia.

B Quem mundi voluptas non vicerit, hunc nec mæror vincet. Nam qui illam fugerit, huic minimè cedet.

* Al. ἐκεῖ

Viperæ medicamentum, ſi parcè adhibeatur, aliorum ſerpentum venena corrumpit; ſin autem ultra modum hauriatur, bibentem quoque inſuper necat. Conſimiliter triſtitiæ dæmon, ſi mediocriter incurrat, voluptatum amores, qui ab aliis dæmonibus immittuntur, exſtinguit; ſin verò vehementiùs irrumpat, miſeram animam demergit. C

Aurum improbum fornax purgat; & triſtitia quæ ſecundùm Deum eſt, cor contaminatum.

Nimia lignorum congeries, flammam ſuffocat; & triſtitia immodica lacrymas ſiccat, fumantem videlicet ac tenebroſam animam reddens.

Ὁ λυπούμενος, οὐ κινήσει τὸν νοῦν εἰς θεωρίαν, οὐδὲ προσευχὴν ἀναπέμπει καθαράν. ἡ λύπη γὰρ ἐμπόδιον παντὸς κατορθώματος.

Οὐκ ἰσχύει λύπη, μὴ παρόντων παθῶν. λύπη γὰρ παθῶν ἔλεγχος ἀψευδής. ὁ κρατῶν οὖν παθῶν, ἐκράτησε λύπης.

Αἴσθησιν μὲν σώματος ἀφαιρεῖται ἴκτερος· αἴσθησιν δὲ ψυχῆς ἀφαιρεῖται λύπη.

Ὃν οὐχ ἥττησεν ἡδονὴ κοσμική, τοῦτον οὐδὲ λύπη. φεύγων γὰρ ἐκείνην * οὐ ταύτης οὐ κρατηθήσεται.

Τὸ φάρμακον τῆς ἐχίδνης, μετρίως μὲν προσφερόμενον, διαφθείρει τοὺς ἰοὺς τῶν ἄλλων θηρίων, ἀμέτρως δὲ πινόμενον, καὶ τὸν πίνοντα προσδιαφθείρει· καὶ ὁ τῆς λύπης δαίμων, μετρίως μὲν ἐμπίπτων, ἀναιρεῖ τὰς ἀπὸ τῶν ἄλλων δαιμόνων ἐνιεμένας φιληδονίας, σφοδρότερον δὲ προσβαλὼν, καταποντίζει τὴν ἀθλίαν ψυχήν.

Ἀδόκιμον χρυσὸν, ἐκάθηρε χωνευτήριον, καὶ λύπη κατὰ θεὸν, καρδίαν μεμολυσμένην.

Πλῆθος ξύλων, συμπνίγει φλόγα, καὶ λύπης ἀμετρία, ξηραίνει δάκρυον, καπνώδη καὶ σκοτεινὴν τὴν ψυχὴν ἀπεργαζομένη.

A

Περὶ ἀκηδίας.

Τὸ πνεῦμα τῆς ἀκηδίας, τῷ πνεύματι τῆς λύπης ἀκολουθεῖ· δεινὸς δὲ καὶ βαρύτατος οὗτος ὁ δαίμων, καὶ τοῖς μοναχοῖς ἀεὶ πολεμῶν· ὃς ἕκτην ὥραν ἐπιτίθεται μάλιστα· διὸ καὶ μεσημβρινὸς καλεῖται· φρίκην ἐμποιῶν καὶ ἀτονίαν, καὶ μῖσος πρὸς αὐτόν τε τὸν τόπον, καὶ τοὺς συνδιατρίβοντας ἀδελφούς, καὶ ῥαθυμίαν εἰς εὐχὴν καὶ ἀνάγνωσιν· ὑποβάλλει δὲ λο- B γισμοὺς μεταβάσεως, καὶ τόπων ἄλλων καὶ διαίτης ἄλλης ἐνίησιν ἔρωτα, καὶ βίον ἕτερον ὑπογράφει σωτηριωδέστερον, καὶ πείθει γινώσκειν ὡς ἀπολεῖται μὴ μεταβάς. καὶ πρὸς τούτοις πεῖναν ἐντίθησιν ἀσυνήθη καὶ διεγείρει τὴν ὄρεξιν. ἔπειτα καὶ λογισμοὺς εἰσάγει, παραβάλλειν ἀδελφοῖς, χάριν ὠφελείας δῆθεν, ἢ ἐπισκέψεως· καὶ πείσας, ἄστατον ἀποδεικνύει καὶ φιλήδονον, καὶ ῥεμβόν· καὶ κατ' C ὀλίγον, κοσμικαῖς ἐνδεσμεῖ φροντίσι τε καὶ ἀσχολίαις. εἰ δὲ μὴ νικήσῃ, βαρὺν ὕπνον ἐφοπλίζει, καὶ καταβαπτίζων, ἐντεῦθεν πειρᾶται περιγενέσθαι. προσήκει δὲ διὰ προσευχῆς αὐτὸν ἀνατρέπειν, καὶ ἀναγνώσεως, καὶ ὑπομονῆς, καὶ καρτερίας, καὶ ἀποχῆς ἀργολογίας, καὶ διὰ τοῦ ἔργου τῶν χειρῶν.

De Acedia.

Spiritus acediæ, tristitiæ spiritum comitatur: acer autem atque in primis gravis est hic dæmon, semperque Monachis infestus: qui præsertim ad sextam horam adoritur; unde meridianus appellatur. Ps. xc. 6. horrorem & languorem affert, odiumque tum loci ipsius, tum unà commorantium fratrum, necnon socordiam in precibus ac lectione. Ad hæc suggerit cogitationes migrationis, & aliorum locorum alteriusque instituti immittit cupiditatem; itidem aliam vitam ut saluti aptiorem describit, monetque ut sciat quòd nisi locum mutaverit periturus sit. Præterea esuriem injicit inconsuetam, & excitat cibi appetentiam. Dein etiam cogitationes inducit, pergendi ad fratres, scilicet utilitatis ergo ac visitationis. Quod cùm illi persuaserit, levem & inconstantem, voluptatum studiosum, vagabundumque reddit, ac sensim mundi curis & occupationibus alligat. Sin autem victoriam obtinere nequiverit, gravem somnum adversùs eum armat, & immergens, inde superare nititur. Oportet autem per orationem, & lectionem, & patientiam, ac tolerantiam, atque abstinentiam ab inani sermone, ac denique per manuum opus & laborem eum evertere ac profligare.

A Acedia est languor animæ tolerantiâ carentis; aut desidia animæ voluptatum amore laborantis.

Ἀκηδία ἐστὶν, ἀτονία ψυχῆς οὐκ ἐχούσης καρτερίαν· ἢ ὀλιγωρία ψυχῆς νοσούσης φιληδονίαν.

Nubem aqua vacuam ventus propellit; & mentem tolerantiæ expertem, acediæ spiritus.

Νεφέλην ἄνυδρον, ἄνεμος ἐλαύνει, καὶ νοῦν οὐκ ἔχοντα καρτερίαν, ἀκηδίας πνεῦμα.

Sicut arborem, quæ altè radices egit, vis venti concutere nequit; ita nec animam fixam & stabilem, acediæ impetus flectere.

Δένδρον καλῶς πεπηγὸς, οὐ κατέσεισε βία πνεύματος, καὶ ψυχὴν ἐρηρεισμένην, οὐ κατέκαμψεν ἐπίθεσις ἀκηδίας.

Ex Evagrio, L Maxim Serm. 25. Meliss. l. 17. Damasc. Parall. li. 1.

B Neque planta, quæ crebrò sedem mutat, fructus proferre potest, neque Monachus vagus.

Οὔτε φυτὸν πολλάκις μεταφυτευόμενον δύναται καρποφορεῖν, οὔτε μοναχὸς κυκλεύων.

Monachus acediæ obnoxius, solitudinis cremium est; paullum conquievit, & rursus aliò migrat.

Μοναχὸς ἀκηδιαστὴς, ἐρημίας φρύγανον· ὀλίγον ἠρέμησε, καὶ πάλιν μετάγεται.

Non sufficit libidini dedito una mulier; nec acediâ laboranti, unum domicilium.

Οὐκ ἀρκεῖ φιληδόνῳ γυνὴ μία, οὐδὲ ἀκηδιῶντι, καταγώγιον ἕν.

Hic visitaturos imaginatur: stridit janua, statim exilit; vocem audivit, per fenestram prospicit. C Si lectionis causâ consederit, oscitare & in somnum ruere incipit; oculos fricat, manus protendit; à libro oculos aversos, in pariete defigit: rursum conversus paullulum legit, folia volvit, fines sermonum curiosè inquirit: demum librum claudit, eumque capiti cervicalis loco submittit.

Οὗτος φαντάζεται τοὺς ἐπισκεψομένους· ἔκρουσεν ἡ θύρα, καὶ ταχέως ἐξήλατο· φωνῆς ἤκουσε, καὶ διὰ τῆς θυρίδος παρέκυψεν. εἰς ἀνάγνωσιν καθίσας, ἤρξατο χασμᾶσθαι, καὶ πρὸς ὕπνον καταφέρεσθαι· τρίβει τὰς ὄψεις, διατείνει τὰς χεῖρας· τοῦ βιβλίου τοὺς ὀφθαλμοὺς ἀποστήσας, ἐνατενίζει τῷ τοίχῳ. πάλιν ἐπιστρέψας ἀναγινώσκει μικρὸν, ἀνέπτυξε τὰ φύλλα, περιειργάσατο τὰ τέλη τῶν λόγων· εἶτα πτύξας τὸ βιβλίον, ὑπέθηκεν αὐτὸ τῇ κεφαλῇ προσκεφάλαιον.

Monachus acediæ morbo correptus, ad ministerium promptus est, ad precationem verò segnis.

Ἀκηδιαστὴς μοναχὸς, ὀξὺς μὲν εἰς διακονίαν, ὀκνηρὸς δὲ εἰς προσευχήν.

Ἐν παντὶ ἔργῳ, τάξον σεαυτῷ μέτρον, καὶ μὴ πρότερον ἀποστῇς πρὶν ἂν τελέσῃς αὐτό. A

In omni opere modum tibi ipsi præscribe, nec priùs abscede, quin illud perfeceris.

Περιπίπτων ἀκηδίᾳ, παρακάλεσον τὴν ψυχὴν μετὰ δακρύων, οὕτως αὐτοῖς κατεπᾴδων· ἵνα τί περίλυπος εἶ, καὶ ἵνα τί συνταράττεις με; ἔλπισον ἐπὶ τὸν θεὸν, καὶ αὐτὸς ποιήσει.

Cùm in acediam seu tædium prolaberis, animam cum lacrymis cohortare, hoc modo eam velut excantans; *Quare tristis es, & quare conturbas me? Spera in Deo, & ipse faciet.* Leg. sup. Evagr. c. 18. Ps. XLI. 12. XXXVI. 5.

Δεῖ παρασκευάζεσθαι τὸν μοναχὸν, ὡς αὔριον τεθνηξόμενον, καὶ μὴ οὕτω πάλιν τὸ σῶμα θεραπεύειν, ὡς πολλὰ ζησόμενον. τὸ μὲν γὰρ, τοὺς B λογισμοὺς τῆς ἀκηδίας περικόπτει· τὸ δὲ, τῷ σώματι συντηρεῖ τὴν ἴσην ἐγκράτειαν.

Monachus ita comparatus esse debet, tamquam crastino die moriturus, ac ita rursus corpus curare, tamquam diu victurus. Illud enim acediæ seu pigritiæ cogitationes amputat; hoc autem corpori conservat æquabilem continentiam. Sup. Evagr. Pract. 29. * f. μᾶλλ

Ἠρώτησέ τις τὸν γέροντα, λέγων· ἀκηδιῶ πάτερ. ὁ δέ φησιν· οὔπω, τέκνον, ἔγνως οὔτε τὴν περιμένουσαν τοὺς σπουδαίους ἀπόλαυσιν, οὔτε τὴν κόλασιν τῶν ῥαθύμων. ἐπεὶ σκωλήκων εἰ πάντως ἐπέπλησό σου τὸ κελλίον, ἐκαρτέρεις ἂν, μηδόλως ἀκηδιῶν.

Quidam ad senem ita locutus est; Pater, acediâ teneor. Ille autem respondit; Nondum, fili, cognoscis, nec oblectationem quæ diligentes homines manet, nec ignavorum supplicium. Nam alioqui, etiamsi cellula tua vermibus scateret, tolerares tamen, nec ullo modo acediâ langueres. L. Vit. Pat. v. VII. 28. III. 107.

Ἡ ἀκηδία πασῶν τῶν τῆς ψυχῆς C δυνάμεων ἐπιδραττομένη, πάντα σχεδὸν ὁμοῦ πολλάκις κινεῖ τὰ πάθη. τοῦτο δὲ γινώσκων ὁ κύριος εἴρηκεν· ἐν τῇ ὑπομονῇ ὑμῶν, κτήσασθε τὰς ψυχὰς ὑμῶν.

Acedia omnes animæ facultates arripiens, cunctos propemodum simul affectus sæpenumero movet. Quod quidem perspectum habens Dominus, dixit; *In patientia vestra possidebitis animas vestras.* Luc. XXI. 19.

Ἰατρὸς μὲν ἕωθεν ἐπισκέπτεται νοσοῦντας, ἀκηδία δὲ, μεσούσης τῆς ἡμέρας, ἀσκητάς.

Medicus quidem ad ægrotantes manè se confert; acedia autem meridiano tempore ad Monachos.

Τοῖς ἐν ἡσυχίᾳ, μάλιστα πολεμεῖ τὸ πάθος τῆς ἀκηδίας.

Acediæ affectus iis potissimum qui in solitudine quietam vitam ducunt, bellum infert.

Acediæ eff.ctus est, pedes A inter precandum huc atque illuc movere. Efficit etiam, ut quis nunc parietes, nunc laquearia, nunc aliquid quod intus sit perspectet; & modò quidem trans fenestram cernat, modo aurem arrigat, quasi sono quodam eam feriente.

De Inani Gloria.

Inanis gloriæ aff.ctus multiformis est, subtilis, ac difficulter comprehensibilis. Aliorum quippe affectuum impetus per- B spicui sunt; hic autem affectus tanto difficiliùs vinci potest, quantò difficilius deprehenditur. Etenim in omni instituto suboritur, in formâ, habitu, incessu, voce, sermone, silentio, vestimento, nuditate, atque ut semel dicam, in omni re. Athletam namque per omnia configere conatur; & quem per honorem efferre non potuit, hunc per contemptûs tolerantiam dejicere molitur. Utrimque enim ac per contraria C obsidet, atque eum qui victus est, in extremum stuporem præcipitem agit. Porrò inter inanem gloriam & superbiam est discrimen. Nam inanis gloria tum exsistit, cùm humanæ gloriæ studio aliquid rectum agimus; superbia verò, cùm magnos & excelsos nos esse censemus, aliosque condemnamus. Atque illa quidem ob actionem oritur, hæc autem ob existimationem; illa elationis

* Al. κατακενουμ.

Ἔργον ἀκηδίας, μετακινεῖν τοὺς πόδας ἐν προσευχῇ, καὶ ποιεῖν ὁρᾷν, ποτὲ μὲν τοὺς τοίχους, ποτὲ δὲ τὸν ὄροφον, ποτὲ δέ τι τῶν ἐνδόντων· καὶ νῦν μὲν, προκύπτειν διὰ τῆς θυρίδος, νῦν δὲ, τὸ οὖς ὑπέχειν, ὡς ἤχου τινὸς προσβάλλοντος.

Περὶ κενοδοξίας.

Τὸ τῆς κενοδοξίας πάθος, πολύμορφόν ἐστι καὶ λεπτὸν, καὶ δυσκατάληπτον. τῶν μὲν ἄλλων παθῶν, αἱ προσβολαὶ φανεραί· τοῦτο δὲ τοσοῦτόν ἐστι δυσκαταγώνιστον, ὅσον καὶ δυσφωράτατον. παντὶ γὰρ ἐπιτηδεύματι παρυφίσταται, καὶ μορφῇ, καὶ σχήματι, καὶ βαδίσματι, καὶ φωνῇ, καὶ λόγῳ, καὶ σιωπῇ, καὶ περιβλήματι, καὶ γυμνότητι, καὶ ἁπλῶς εἰπεῖν, παντὶ πράγματι. διὰ πάντων γὰρ ἐπιχειρεῖ κατατοξεύειν τὸν ἀθλητήν· καὶ ὃν οὐκ ἠδυνήθη διὰ τιμῆς ἐπᾶραι, τοῦτον μηχανᾶται καταβαλεῖν διὰ τοῦ φέρειν τὴν ἀτιμίαν. ἑκατέρωθεν γὰρ πολιορκεῖ, καὶ διὰ τῶν ἐναντίων, καὶ εἰς ἐσχάτην ἀναισθησίαν κατακρημνίζει τὸν νενικημένον. διαφέρει δὲ κενοδοξία ὑπερηφανίας. κενοδοξία μὲν γὰρ γίνεται, ὅταν τι κατορθῶμεν δόξης ἀνθρωπίνης ἕνεκεν· ὑπερηφανία δὲ, ὅταν μεγάλους καὶ ὑψηλοὺς ἑαυτοὺς κρίνωμεν, καὶ ἄλλους * κατακρίνοντες· καὶ ἡ μὲν, ἐπὶ πράξει φύεται, αὕτη δὲ, ἐπὶ ὑπολήψει· καὶ ἡ μὲν

μὲν, ἀρχή ἐστιν οἰήσεως, ἡ δὲ ὑπερηφανία, τέλος. ἀγωνιστέον τοίνυν πᾶσι τρόποις, ἀποφυγεῖν τὸ ποικιλόμορφον τοῦτο θηρίον, καὶ ὑπεροπτέον δόξης ἀνθρωπίνης, καὶ κατορθωτέον ἐπὶ παντὸς κατορθώματος, τὸ ἀθεάτριστον καὶ ἀκόμπαστον. χρὴ γὰρ ἀγαθόν τι διαπεπραξαμένους, ἐπιλέγειν ἑαυτοῖς τὸ ἀποστολικὸν, τό· οὐκ ἐγὼ δὲ, ἀλλ' ἡ χάρις τοῦ θεοῦ ἡ σὺν ἐμοί. καὶ τὸ δεσποτικὸν, ὅτι χωρὶς ἐμοῦ οὐ δύνασθε ποιεῖν οὐδέν. καὶ τὸ Δαυιτικόν· ἐὰν μὴ κύριος οἰκοδομήσῃ οἶκον, εἰς μάτην ἐκοπίασαν οἱ οἰκοδομοῦντες. καὶ αὖθις τὸ ἀποστολικόν· τί γὰρ ἔχεις ὃ οὐκ ἔλαβες; εἰ δὲ καὶ ἔλαβες, τί καυχᾶσαι ὡς μὴ λαβών;

Γῆ μὲν σήπει βότρυν ἐπισυρόμενον· ἀρετὴν δὲ φθείρει κενοδοξία.

Μοναχὸς κενόδοξος, ἄμισθος ἐργάτης· ὑπέστη τὸν κόπον, καὶ τὸν ἐπὶ τούτῳ μισθὸν ἀπώλεσε.

Βαλλάντιον τετρημμένον οὐ φυλάσσει χρυσὸν, οὐδὲ κενοδοξία θησαυρὸν ἀρετῆς.

Ἴχνος ἄνεμος ἀφανίζει, καὶ ἀρετὴν πνεῦμα κενοδοξίας.

Ὕφαλος πέτρα, κενοδοξία· ταύτῃ προσρήξας, ἀπώλεσας τὸν φόρτον τῆς ἀρετῆς.

Ἀνὴρ ἄφρων, δημοσιεύει πλοῦτον αὐτοῦ, καὶ μοναχὸς κενόδοξος, ἀρετὰς αὐτοῦ.

A principium est, hæc, superbia videlicet, finis. Quapropter omnibus certaminum modis contendendum est, ut multiplicem hanc belluam effugiamus. Debemus gloriam humanam aspernari, atque in omni præclaro facinore id rectè efficere, ut absit theatralis fastus, & ambitionis aucupium. Operæ precium est enim, ut qui boni quidpiam peregerint, Apostolicum illud sibi accinant; *Non ego autem, sed gratia Dei mecum.* (1. Cor. xv. 10.) atque etiam illud Domini; *Sine me nihil potestis facere.* (Joh. xv. 5.) ac illud Davidis; *Nisi Dominus ædificaverit domum, in vanum laboraverunt qui ædificant eam.* (Ps. cxxvi. 1.) & rursus illud Apostoli; *Quid enim habes quod non accepisti? Si autem accepisti; quid gloriaris quasi non acceperis?* (1. Cor. iv. 7.)

B

Terra racemum curvum putrefacit; virtutem autem corrumpit inanis gloria.

Monachus inani gloria laborans, operarius est mercedis expers; laborem subiit, & laboris mercedem perdidit.

C

Pertusa crumena aurum non servat; nec inanis gloria thesaurum virtutis.

Ut ventus pedis vestigium delet; sic virtutem, inanis gloriæ spiritus.

Scopulus sub aquis latens est inanis gloria; huic tu allisus, virtutis merces amisisti.

Vir stolidus opes suas evulgat; & Monachus inanis gloriæ studio captus, virtutes suas.

Virtus hominis vanæ gloriæ studiosi, vitiosa est victima, neque in altare inferetur. A

Acedia vigorem animæ frangit; inanis gloria etiam confracto nervos dat.

Qui inani gloria afficitur, ea interdum quæ vires superant aggressus, maximam sibi ipsi ignominiam conflat.

Evagr. sup. cap. 20. Gravis est Cenodoxiæ dæmon. Nam quod facis, ut eum evertas, hoc ipse rursus inanis gloriæ principium adversùm te facit. Quocirca attendendum est contrariis artificiis. B

I. Evagr. Pract. c. 58. Inanis gloriæ dæmon, impuritatis dæmonibus adversatur; neque fieri potest, ut quemquam ii simul adoriantur. Ille enim honorem, isti dedecus conciliant. Itaque vincentibus istis, fugit ille; victis autem, redit.

Quisquis inanis gloriæ levitate vectatur, numquam ad veræ gloriæ amorem pennas proferet.

Leg. Clim. Grad. 22. 27. Tribulus verè est inanis gloria. Nam in quamcumque partem ceciderit, rectum semper statuit stimulum.

De Superbia.

Gravissimus atque omnium truculentissimus est superbiæ affectus; perfectos potissimùm oppugnat, eosque qui ad virtutum fastigium evecti sunt, evertere contumaciter nititur: & ut contagiosus morbus

Ἀρετὴ κενοδόξου, μωμητὸν ἱερεῖον, καὶ οὐκ ἀνενεχθήσεται εἰς θυσιαστήριον.

Ἀκηδία μὲν ἐκλύει τόνον ψυχῆς· κενοδοξία δὲ νευροῖ καὶ τὸν παρειμένον.

Ἔστιν ὅτε τοῖς ὑπὲρ δύναμιν ἐπιχειρήσας ὁ κενόδοξος, αἰσχύνην ἑαυτῷ μάλιστα προεξένησεν.

Χαλεπὸς ὁ τῆς κενοδοξίας δαίμων. ὃ γὰρ ποιεῖς πρὸς καθαίρεσιν αὐτοῦ, τοῦτο πάλιν αὐτὸς ἀρχὴν κενοδοξίας ποιεῖται κατὰ σοῦ. διὸ χρὴ προσέχειν τοῖς ἀντισοφίσμασι.

Ὁ τῆς κενοδοξίας δαίμων ἀντίκειται τοῖς δαίμοσι τῆς ἀκαθαρσίας· καὶ τούτοις ἅμα προσβάλλειν τινὶ, τῶν οὐκ ἐνδεχομένων ἐστίν. ὁ μὲν γὰρ, τιμῆς, οἱ δὲ, ἀτιμίας πρόξενοι. νικώντων μὲν οὖν, φεύγει, νικωμένων δὲ, ἐπανέρχεται.

Ὅστις ἐποχεῖται κουφότητι κενῆς δόξης, οὐδέποτε πτεροφυήσει πρὸς C τὸν τῆς ἀληθοῦς δόξης ἔρωτα.

Τρίβολος ὄντως ἡ κενοδοξία. πίπτουσα γὰρ καθ' οἱονδήποτε μέρος, ὀρθὸν ἵστησι τὸ κέντρον ἀεί.

Περὶ ὑπερηφανίας.

Χαλεπώτατόν ἐστι τὸ πάθος τῆς ὑπερηφανίας, καὶ πάντων ἀγριώτερον, ὃ τοῖς τελείοις μάλιστα πολεμοῦν, καὶ τοὺς εἰς τοὔψος ἐπαναβεβηκότας τῶν ἀρετῶν, καταστρέφειν ἀπαυθαδιαζόμενον· καὶ καθάπερ νόσος λοιμικὴ, κατὰ

παντὸς ἔρπει τοῦ σώματος, οὕτω καὶ A αὕτη κατὰ πάσης τῆς ψυχῆς. καὶ τῶν μὲν ἄλλων παθῶν ἕκαστον, εἰ καὶ ταράσσει τὸν νοῦν, ἀλλὰ μίαν τῶν ἀντικειμένων ἀρετὴν ἐπιχειρεῖ διαφθείρειν· ἡ γαστριμαργία, τὴν ἐγκράτειαν· ἡ πορνεία, τὴν σωφροσύνην· ἡ φιλαργυρία, τὴν ἀκτημοσύνην· ἡ ὀργὴ, τὴν πραότητα· καὶ τὰ λοιπὰ τῆς κακίας εἴδη, τὰς ἐναντίας αὐτοῖς ἀρετάς. ἡ δὲ ὑπερηφανία κυριεύσασα τῆς ψυχῆς, ὅλην καταστρέφει· καθάπερ μεγάλην πόλιν χαλε- B πώτατος τύραννος. αὕτη γὰρ καὶ τὸν διάβολον ἀπὸ τοῦ οὐρανοῦ κατεκρήμνισεν. ὅταν οὖν αἰσθώμεθα ταύτης, ἐξουδενώσωμεν ἑαυτοὺς, ὡς ἐρήμους παντὸς ἀγαθοῦ, καὶ ἀχρήστους καὶ ἀποβλήτους, καὶ θεὸν ἀεὶ παροργίζοντας, καὶ πρόσκομμα κειμένους τοῖς ἀδελφοῖς. ἴαμα γὰρ, κενοδοξίας μὲν, καταφρόνησις δόξης, ὑπερηφανίας δὲ, ἡ μακαρία ταπείνωσις.

in totum corpus, sic ipsa quoque in totam animam serpit. Quinetiam aliorum quidem affectuum unusquisque, etsi mentem perturbat, tamen unam virtutem sibi oppositam labefactare conatur; gula continentiam, fornicatio pudicitiam, avaritia voluntariam paupertatem, ira lenitatem, cætera denique vitii genera contrarias ipsis virtutes. At superbia cùm animæ dominium obtinuerit, eam prorsus evertit, non secus atque ingentem civitatem acerbissimus tyrannus. Nam & Diabolum ipsa è cœlo præcipitem ejecit. Quocirca simulatque illam senserimus, nos ipsos statim, ut omni bono vacuos, & inutiles atque abjectos, Deumque ad iracundiam semper provocantes, denique fratribus velut in offendiculum positos nihili ducamus. Inanis siquidem gloriæ medicina est contemptio gloriæ; superbiæ verò, beata humilitas.

Ὑπερηφανία ἐστὶν, οἴδημα ψυ- C χῆς, ἰχῶρος πεπληρωμένον.

Superbia est, animæ tumor sanie plenus.

Ὁ ὑπερήφανος, ἢ ἑαυτῷ, καὶ οὐ τῷ θεῷ ἐπιγράφει τὰ κατορθώματα, ἢ τοὺς μὴ κατορθοῦντας ἐξουθενεῖ. διπλῆ γὰρ ἡ κακία τῆς ὑπερηφανίας.

Superbus, aut sibi ipsi, & non Deo, quæ recta gerit, adscribit; aut eos qui bona opera non faciunt, aspernatur. Duplex enim superbiæ malitia est.

Κλίμακος.

Climaci.

Μοναχὸς κυρίως ἐστὶν, ἀμετεώριστον ὄμμα ψυχῆς, καὶ ἀκίνητος σώματος αἴσθησις.

Monachus propriè agnoscitur, in animæ oculo minimè distracto ac suspenso, & corporis sensu immoto.

Monachus est, qui hostes instar ferarum ad pugnam provocat, & cùm ab eo fugiunt irritat.

Monachus est, perpetuus mentis excessus, ac vitæ mæror.

Monachus est, qui virtutum qualitatibus imbutus est, ut alius voluptatibus.

Superbiæ nuncius est, inanis gloriæ præsentia.

Fugienda est superbia, non secus ac profundum quoddam præcipitium, quod omnem salutis viam præcidit.

Altercatio, superbiæ argumentum est; superbia verò, sterilitatis ac paupertatis animæ indicium.

Superbus Monachus, remoto etiam dæmone, ad exitium sibi ipsi sufficit.

Imbecillis & putris scala, eum qui ascendit, dejicit; at superbiæ scala, eum qui illam scandit.

Superbia, arbor est sublimis, putrida tamen, ramos habens admodum fragiles, quique facilè dejiciant ascendentem.

Cætera vitia, ignavis & desidia languentibus hominibus insidiantur; superbia verò studiosis potiùs atque industriis. Eoque nomine Christus etiam dicebat; *Cùm feceritis omnia quæ præcepta sunt vobis, dicite; Servi inutiles sumus.* ac si diceret; Cùm bellua hæc in animos vestros subire parat, tum per hujusmodi verba fores illi occludite.

Luc. xvii. 10.

A Μοναχός ἐστιν, ὁ τοὺς πολεμίους δίκην θηρῶν προσκαλούμενος, καὶ ἐρεθίζων ἐν τῷ φεύγειν ἀπ᾽ αὐτοῦ.

Μοναχός ἐστιν, ἀδιάστατος ἔκστασις, καὶ λύπη ζωῆς.

Μοναχός ἐστιν, ὁ ποιωθεὶς ταῖς ἀρεταῖς, ὡς ἄλλος ταῖς ἡδοναῖς.

Ὑπερηφανίας ἄγγελος, παρουσία κενοδοξίας.

Φευκτέον τὴν ὑπερηφανίαν, ὡς κρημνὸν βαθὺν περιῃρημένον σωτηρίας ἁπάσης ἄνοδον. B

Ἀντιλογία μὲν, ἀπόδειξις ὑπερηφανίας· ὑπερηφανία δὲ, τεκμήριον ἀκαρπίας καὶ πενίας ψυχῆς.

Μοναχὸς ὑπερήφανος, αὐτάρκης ἑαυτῷ καὶ δίχα δαίμονος εἰς ἀπώλειαν.

Σαθρὰ κλίμαξ καταβάλλει τὸν ἐπιβαίνοντα, καὶ ὑπερηφανίας κλίμαξ, τὸν ἐποχούμενον.

Ὑπερηφανία, δένδρον ὑψηλὸν σεσηπὸς, εὐθλάστους ἔχον κλάδους, ῥᾳδίως τὸν ἐπιβαίνοντα καταβάλλοντας. C

Τὰ μὲν ἄλλα κακὰ, ῥαθυμοῦσιν ἐπιτίθενται τοῖς ἀνθρώποις· ἡ δ᾽ ὑπερηφανία, μᾶλλον σπουδάζουσι. Διὰ τοῦτο καὶ ὁ Χριστὸς ἔλεγεν· ὅταν ποιήσητε πάντα τὰ διαταχθέντα ὑμῖν, λέγετε, ὅτι ἀχρεῖοι δοῦλοί ἐσμεν. μονονουχὶ λέγων, ὅτε ἐπεισιέναι μέλλῃ τὸ θηρίον, τότε διὰ τῶν ῥημάτων τούτων ἀποκλείετε τὰς θύρας αὐτῷ.

A Τὰ μὲν ἄλλα πάθη περὶ τὴν ἀνθρωπίνην στρέφεται φύσιν· ἡ δ' ὑπερηφανία δύναμιν ἀγγελικὴν κατεπάλαισεν.

Ἡ ὑπερηφανία, φαντασίας ἐπάγει τῇ ψυχῇ φοβεράς.

Ἐνεδρεύει τῆς ὑπερηφανίας ἡ πτῶσις, καὶ γίνεται χαλινὸς αὐτῆς.

Πρὸ δὲ τῆς πτώσεως, πάσῃ ἰσχύϊ φυλάσσου τὰς τῆς ὑπερηφανίας ἄρκυς διαφυγεῖν.

Ὁ μὲν ταπεινόφρων, τοῦ Χριστοῦ μαθητής ἐστιν, εἰρηκότος· μάθετε B ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι, καὶ ταπεινὸς τῇ καρδίᾳ. ὁ δὲ ὑπερήφανος, τοῦ διαβόλου μιμητής ἐστι, δι' ὑπερηφανίαν καταβληθέντος.

Σάρκα μὲν λέπτυνε κατὰ τῆς πορνείας· ψυχὴν δὲ ταπείνου κατὰ τῆς ὑπερηφανίας.

Μοναχός ἐστιν, ἄληκτον φῶς ἐν ὀφθαλμῷ καρδίας.

Μοναχός ἐστιν, ἄβυσσος ταπεινώσεως, ἐν αὐτῇ πᾶν πνεῦμα κρημνίσας καὶ ἀποπνίξας. C

Ἀναιρεῖ, κενοδοξίαν μὲν, ἡ κρύπτη ἐργασία, ὑπερηφανίαν δὲ, τὸ τῷ θεῷ ἐπιγράφειν τὰ κατορθώματα, ἑαυτὸν δὲ ἐξουθενεῖν.

Μέμνησο τοῦ προτέρου σου βίου, καὶ τῶν ἀρχαίων παραπτωμάτων, καὶ λογίζου πῶς ἠνέχετό σε τοιοῦτον ὄντα ζῆν ὁ θεός· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ἔτρεφε, καὶ ἐφύλαττε· καὶ πάντως ταπεινοφρονήσεις, εἰ μή τις εἴης δυσαίσθητος καὶ πεπωρωμένος.

Reliqui affectus circa humanam naturam versantur; at superbia Angelicam potentiam superavit.

Superbia, horrenda spectra inducit animæ.

Lapsus insidias struit superbiæ, ipsiusque frenum efficitur.

Sed ante lapsum, omnibus viribus excuba, ut superbiæ retia effugias. διαλαθεῖν

Qui humiliter de se sentit, Christi discipulus est; cujus hæc verba fuerunt; *Discite à me, quia mitis sum, & humilis corde.* Superbus autem Diaboli, qui ob superbiam dejectus est, imitatorem se præbet. Matt. xi. 29.

Carnem quidem adversùs fornicationem extenua; animam verò adversùs superbiam per humilitatem dejice.

Monachus est, perpetuum lumen in cordis oculo.

Monachus est abyssus humilitatis, in ea omnem spiritum *malum* præcipitans & suffocans.

Inanem gloriam pessumdat occulta operatio; superbiam verò, Deo adscribere bona opera, & seipsum nihili putare.

Recordare prioris tuæ vitæ, ac veterum delictorum, illudque tecum reputa, quo pacto te, cùm talis esses, vivere Deus sustinuerit; neque id solum; sed etiam aluerit & conservarit: ac tum proculdubio humilitatem concipies, nisi sensus ferè omnis expers atque obduratus sis.

Elationem tibi negotium exhibentem his verbis alloquere; Facesse à me. Quis enim ego sum? quid enim à me præclari gestum est? Etenim sancti viri partim lapidati, partim secti sunt, partim denique sexcentis mortis generibus Christi caussâ de medio sunt sublati. Hebr. xi. 37.

Impossibile est, sine navi mare trajicere; & salutem consequi absque humilitate.

Junge justitiam cum superbia, atque alia rursus ex parte peccatum cum humilitate; ac peccati, quàm justitiæ, jugum celeriùs currere atque vincere conspicies, non quidem ob potestatem suam, sed ob conjunctæ humilitatis vires; atque alterum rursus superari, non propter justitiæ imbecillitatem, sed propter superbiæ grave pondus. Exempla tibi præsto sunt in Pharisæo ac Publicano. Quamquam humilitas propriè in eo non consistit, ut qui peccator est, peccatorem se putet; (judicii enim æquitas hoc est, ac propriæ infirmitatis agnitio) verùm in hoc, ut qui justitia præditus est, peccatorem sese ducat, nihilque magni de seipso mente concipiat.

Peccator justum vicit, Publicanus Pharisæum. Ille quidem justitiæ opera ostendit, dicens; *Jejuno bis in sabbato*, & quæ deinceps sequuntur. hic verò dictum dumtaxat protulit humilitatis; *Deus propitius esto mihi peccatori*; & sermo opera Luc. xviii. 12. 13.

A Λέγε πρὸς τὴν ἐνοχλοῦσαν οἴησιν· ἀπόστηθι ἀπ' ἐμοῦ. τίς γὰρ ἐγώ; τί γάρ μοι κατώρθωται μέγα; καὶ γὰρ τῶν ἁγίων, οἱ μὲν ἐλιθάσθησαν, οἱ δὲ ἐπρίσθησαν, οἱ δὲ μυρίοις εἴδεσι θανάτου διὰ Χριστὸν ἀνῃρέθησαν.

Ἀδύνατον διαπεράσαι πέλαγος, δίχα πλοίου, καὶ σωθῆναι χωρὶς ταπεινοφροσύνης.

Ζεῦξον δικαιοσύνην καὶ ὑπερηφανίαν, καὶ αὖθις ἑτέρωθεν ἁμαρτίαν B καὶ ταπείνωσιν, καὶ ὄψει τὸ ζεῦγος τῆς ἁμαρτίας, παρὰ τὸ ζεῦγος τῆς δικαιοσύνης ἐλαῦνον καὶ νικῶν, οὐ δι' οἰκείαν δύναμιν, ἀλλὰ διὰ τὴν ἰσχὺν τῆς συζύγου ταπεινοφροσύνης· κἀκεῖνο πάλιν ἐλαττούμενον, οὐ δι' ἀσθένειαν τῆς δικαιοσύνης, ἀλλὰ διὰ τὸ βάρος τῆς ὑπερηφανίας. ἔχεις παραδείγματα τὸν φαρισαῖον καὶ τὸν τελώνην. καίτοι ταπεινοφροσύνη κυρίως, οὐ τὸ, ὄντα ἁμαρτωλὸν, ἔχειν ἑαυτὸν ἁμαρ- C τωλόν· εὐγνωμοσύνη γὰρ τοῦτο, καὶ τῆς ἰδίας ἀσθενείας ἐπίγνωσις· ἀλλὰ τὸ, ὄντα δίκαιον, ἔχειν ἑαυτὸν ἁμαρτωλὸν, καὶ μηδέν τι μέγα περὶ ἑαυτοῦ φαντάζεσθαι.

Ἁμαρτωλὸς ἐνίκησε δίκαιον, ὁ τελώνης τὸν φαρισαῖον. ὁ μὲν ἔργα δικαιοσύνης ἔδειξεν, εἰπὼν, ὅτι νηστεύω δὶς τοῦ σαββάτου, καὶ τὰ ἑξῆς· ὁ δὲ, ῥῆμα μόνον εἶπε ταπεινοφροσύνης· ὁ θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ· καὶ ὁ λόγος, ἔργων

A περιεγένετο. καὶ τὸν μὲν τοσοῦτον θησαυρὸν ἐξεφύσησε τὸ πνεῦμα τῆς ὑπερηφανίας, καὶ διὰ τῆς γλώσσης αὐτοῦ, καθάπερ διὰ θυρίδος, ἐξεφόρησε τὸν ἐναποκείμενον πλοῦτον· ἡ δὲ πενία, μετέβαλεν εἰς πλοῦτον, διὰ τὴν ταπεινοφροσύνην.

Μᾶλλον δίκαιος ὀφείλει φοβεῖσθαι τὴν ὑπερηφανίαν. τὸν μὲν γὰρ ἁμαρτωλὸν κάμπτει τὸ συνειδὸς ἀεὶ κατηγοροῦν, καὶ μὴ συγχωροῦν ἀνανεύειν· τὸν δὲ δίκαιον, ἐπαίρει τὸ κατόρθωμα, μὴ προσέχοντα. καὶ καθάπερ οἱ πει- B ραταὶ τῷ πεφορτισμένῳ μάλιστα πλοίῳ προσβάλλουσιν· οὕτω καὶ ὁ διάβολος οὐ πάνυ τι πολεμεῖ τοῖς ἁμαρτωλοῖς, ἀλλὰ σφοδρότατα τοῖς δικαίοις.

Σκοπὸς τοῦ μοναχοῦ, καθαρὰν παντὸς πάθους * τηρεῖν τὴν καρδίαν· οὗ τινος ἀποτυχὼν, πλανᾶται.

Πηγὴ καὶ ῥίζα καὶ κεφαλὴ καὶ σύνδεσμος πάσης ἀρετῆς, ἐστὶν ἡ διάκρισις, ἣν κτήσεταί τις, τοῖς προωδευκόσι τὴν ὁδὸν τῆς ἀρετῆς, πάντα σκο- C πὸν οἰκεῖον ἀνακοινούμενος. οὕτω γὰρ * ἄν ποτε λάθοι τῷ φαύλῳ περιπίπτων ὡς ἀγαθῷ.

Ἐχθρὸς ἡσυχίας, ἅπας φιλήδονος.

Ὅταν συνδῆσαί τινας εἰς αἰσχρὰν διάθεσιν ἀγάπης ὁ ἐχθρὸς βουληθῇ, δοκιμάζει καὶ τοῦτον κἀκεῖνον, ἵνα τούτων ἑκάτερος, ἢ πάντως ὁ ἕτερος, ἐπιτήδειος εὑρεθείη.

superavit. Atque tantum thesaurum spiritus superbiæ exsufflavit, perque ipsius linguam, quasi per fenestram reconditas opes exportavit; contrà paupertas ob humilitatem in divitias mutata est.

Justo potiùs metuenda est superbia. Nam peccatorem conscientia deprimit, quæ semper eum accusat, nec caput attollere permittit: at justum, nisi attendat, præclara facinora attollunt. Et quemadmodum piratæ navem mercibus onustam potissimùm adoriuntur; sic etiam Diabolus, peccatores non admodum impugnat, vehementissimè verò eos qui justi sunt.

Scopus Monachi, cor suum ab omni pravo affectu purum servare: quod si non assequitur, aberrat. * Al. inser. κοινωνοῦ

Omnis virtutis fons, & radix, & caput, atque vinculum est discretio; quam hac ratione quispiam sibi comparabit, si cum iis qui virtutis iter jam obierunt, quidquid instituit, communicet. Sic enim numquam imprudenter in malum, tamquam in bonum, prolabetur. * Al. καὶ l. οὐκ ἄν

Solitudinis hostis est, quisquis voluptatis amore flagrat.

Quando Inimicus quosdam ad turpem amoris affectum connectere vult, tunc & hunc & illum explorat, ut eorum uterque, aut certè alter, aptus inveniatur.

Faciles & humani ut plurimùm, atque misericordes sunt, qui libidini student. A

Egestiones quæ in somnis fiunt, varijs de caussis oriuntur. Aut enim à natura exsistere solent, aut à renum imbecillitate, aut à relaxatione, aut ab indumentorum & straguli mollitie, aut ex ingluvie, aut ex crapula, aut ex affectu, aut ex

* Al. ἐξ ἐμπαθείας inflatione ob effluxionem à longo tempore non factam, aut à proximi condemnatione,

* Al. ἀῤῥωστίᾳ * " ἀῤῥωστίᾳ aut à dæmonum invidia. Ac prima quidem & secunda omni reprehensione carent, quandoquidem & simulacro: reliquæ autem præter postremam, vitio vertuntur: quæ postrema non modò nullam reprehensionem habet, sed etiam fiduciam conciliat. Huic enim invidetur qui inclarescit.

Obscœnas noctis species interdiu mente volvere non oportet. Id enim sibi proponunt dæmones, ut earum recordatione vigilantes etiam inficiant.

Maximæ libidinis ille est, qui spurcitiem suam persæpe non

* Al. ἐμπαθείας fine voluptatis sensu confitetur.

Hæc quoque dæmonum versutia est, ut eos qui cum perniciosis personis consuetudinem habent, sæpe non protinus detrimento afficiant, sed aliquanto pòst intervallo, neque erga easdem personas; quò nimirum, aliunde nobis detrimentum inferri existimantes, has interim minimè caveamus.

A Συμπαθεῖς ὡς ἐπίπαν καὶ ἐλεήμονες, οἱ φιλήδονοι.

Αἱ κατὰ τοὺς ὕπνοις ἐκκρίσεις, διαφόρους ἔχουσι τὰς αἰτίας. ἢ γὰρ ἐκ φύσεως γίνεσθαι πεφύκασιν, ἢ ἐξ ἀσθενείας νεφρῶν, ἢ ἐξ ἀνέσεως, ἢ ἐκ μαλακότητος περιβλημάτων καὶ στρωμνῆς, ἢ ἐξ ἀδηφαγίας, ἢ ἐκ πολυποσίας, ἢ * ἐκ συμπαθείας, ἢ ἐκ φυσιώσεως ἐπὶ χρονίᾳ * ἀῤῥωστίᾳ, ἢ ἐκ κατακρίσεως B τοῦ πλησίον, ἢ ἐκ φθόνου δαιμόνων. ἡ μὲν οὖν πρώτη καὶ δευτέρα, ἀνεπίληπτοι, ἐπεὶ καὶ ἀνείδωλοι· αἱ δὲ λοιπαὶ, πλὴν τῆς τελευταίας, καταδικάζονται· ἡ δὲ τελευταία, οὐ μόνον ἀνεπιτίμητος, ἀλλὰ καὶ θάρσους αἰτία. φθονεῖται γὰρ ὁ εὐδοκιμῶν.

Τὰς αἰσχρὰς φαντασίας οὐ χρὴ μεθ' ἡμέραν ἀναλογίζεσθαι. σκοπὸς γὰρ τοῖς δαίμοσι, καὶ νήφοντας μο- C λύνειν τῇ μνήμῃ τούτων.

Ἐμπαθέστατος ὁ τὴν αὐτὴν πολλάκις τῶν μολυσμῶν ἐξομολόγησιν μετὰ * ἡδυπαθείας ποιούμενος.

Καὶ τοῦτο πανουργία δαιμόνων, τὸ βλαβεροῖς προσώποις ὁμιλοῦντας, μὴ παραυτίκα βλάπτειν πολλάκις, ἀλλὰ μετὰ χρόνον, μηδ' εἰς αὐτὰ τὰ πρόσωπα· ἵνα δοκοῦντες ἑτέρωθεν βλαβῆναι, τέως ταῦτα μὴ φυλαττώμεθα.

Τὸ

Τὸ αὐτὸ ἁμάρτημα, διαφόρως A ἐν διαφόροις κρίνεσθαι εἴωθεν ἐξ ἡλικίας, ἐκ τόπου, ἐκ τρόπου, καὶ ἐξ ἑτέρων.

Εἰ μὴ προνοητικῶς τὴν τοῦ θήλεος ὁρμὴν αἰδοῖ κύριος ἐχαλίνωσεν, ηὐτομάλει δὲ τοῦτο πρὸς τὸ ἄρσεν, οὕτως οὐκ ἂν ἐσώθη πᾶσα σάρξ.

Τινὲς εὐλαβεῖς θεάμενοι προσώπου κάλλος, ὑπόθεσιν τοῦτο ποιοῦνται τῆς εἰς θεὸν δοξολογίας, ὅπως ἐξ οὕτω φαυλοτάτης ὕλης B τοιαύτην ὡραιότητα διεμόρφωσε· καὶ δακρύουσι, τοῦτο μὲν ὑφ᾽ ἡδονῆς, τοῦτο δὲ καὶ ὅτι τοιαύτη φαιδρότης ὑπὸ φαύλης ἡδονῆς καταμιαίνεται. καὶ ὄντως θαυμαστὸν, πῶς ὁ ἑτέρων βόθρος, ἑτέροις ἀφορμὴ στεφάνων καθίσταται. τὸ αὐτὸ δὲ καὶ περὶ τὰς μελῳδίας ποιοῦσιν, εἰς ἔκπληξιν κινούμενοι τῆς μεγαλουργίας τοῦ θεοῦ, καὶ θερμὴν ἀγάπην.

Πολεμοῦσι τοῖς ἡσυχασταῖς οἱ C δαίμονες τῆς πορνείας· ἵν᾽ ὡς μάτην ἡσυχάζοντας, καταγάγωσιν εἰς τὰς πόλεις.

Οὐκ ἐνοχλοῦσι πολλάκις τοῖς ἐν ταῖς πόλεσι μοναχοῖς· ἵν᾽ ὡς μὴ πολεμούμενοι, μένωσιν ἐν ταύταις.

Ἔνθα πολεμοῦνται, πάντως ἐκεῖ καὶ πολεμοῦσι. μὴ πολεμούμενοι γὰρ, οὐδὲ πολεμοῦσιν.

Πολλοὺς τῶν μοναχῶν,

Unum idemque peccatum variè in variis hominibus judicari consuevit; nempe ex ætate, ex loco, ex modo, aliisque rebus.

Nisi Dominus pro sua providentia, feminæ impetum pudoris freno compressisset, verùm ipsa ad masculum ultro proficisceretur, certè non fieret salva omnis caro. *Matt. XXIV. 22.*

Quidam pii viri, cùm elegantem formam conspexerint, hinc Deum celebrandi occasionem arripiunt; quòd ex materia usque adeo vili tantam pulcritudinem effinxerit: atque etiam illacrymant, partim lætitiâ, partim quòd tantus splendor turpi voluptate contaminetur. Et sanè mirum est, quo pacto quod aliis fovea est, aliis coronarum occasio fiat. Idem quoque in modulatis cantibus faciunt; hinc quippe in admirationem divinæ magnificentiæ, inque ardentem Dei amorem impelluntur.

Dæmones fornicationis, solitariis bellum inferunt, quò videlicet eos tamquam incassum solitudinem colentes, in urbes detrahant.

Monachis iis qui in urbibus commorantur, sæpe molestiam non exhibent; ut veluti minimè bello vexati, in iis maneant.

Ubi bello lacessuntur, illic quoque omnino bellum gerunt. Cùm enim non oppugnantur, nec impugnant.

In plerisque Monachis,

quoties feminas alloquuntur, A Malus ille id efficit, ut lacrymas emittant & ingemiscant, ac de mortis memoria & castitatis cultu mirificas cohortationes habeant; quò scilicet his rebus miseræ illæ inescatæ, ad lupum accurrant tamquam ad pastorem; ortaque familiaritate & fiducia, in foveam incidant.

ἡνίκα γυναιξὶ διαλέγονται, δακρύειν ποιεῖ καὶ στένειν ὁ πονηρὸς, καὶ θαυμασίως παραινεῖν, περί τε μνήμης θανάτου, καὶ σωφροσύνης· ἵνα τούτοις δελεασθεῖσαι αἱ ἄθλιαι, προσδράμωσιν ὡς ποιμένι τῷ λύκῳ, καὶ ἐκ συνηθείας καὶ παρρησίας γινομένης, εἰς τὸν βόθρον ἐμπέσωσιν.

Fugiamus eum fructum, à cujus esu abstenturos nos professi sumus; ne fortè cernentes eum, in cupiditatem veniamus. Etenim ex aspectu affectus seu B amor oritur, ut aiunt qui in hujusmodi rebus sciti atque eruditi sunt.

Φύγωμεν καρπὸν, οὗ μὴ ἐσθίειν ἐπηγγειλάμεθα· μή ποτε βλέποντες αὐτὸν, πρὸς ἐπιθυμίαν ἔλθωμεν. ἐκ τοῦ ὁρᾷν γὰρ, τὸ ἐρᾷν, ὡς λέγουσιν οἱ τὰ τοιαῦτα σοφοί.

Possibile est, ex salacitate ad castitatem se referre; etsi quidam affirment impossibile esse, post gustum peccati effici castum. casti enim omnes planè sunt qui sunt sancti.

Δυνατόν ἐστιν, ἐκ λαγνείας εἰς ἁγνείαν ἐλθεῖν, εἰ καί τινές φασιν ἀδύνατον γενέσθαι μετὰ τὴν γεῦσιν τῆς ἁμαρτίας ἁγνόν. ἁγνοὶ γὰρ πάντες ἁπλῶς οἱ ἅγιοι.

Varius est libidinis dæmon. Etenim iis qui inexperti sunt, suggerit ut semel experientiam capiant, ad solam voluptatis notionem; eos verò qui experti C sunt, per recordationem ad novum experimentum pertrahit.

Ποικίλος ὁ τῆς λαγνείας δαίμων· τοῖς μὲν ἀπείροις ὑποτίθησι, πεῖραν ἅπαξ λαβεῖν, πρὸς μόνην ἡδονῆς διάγνωσιν· τοὺς δ' ἐν πείρᾳ ὄντας, διὰ τῆς μνήμης ἐπὶ τὴν πεῖραν ἐφέλκεται.

Multi, tum ex iis qui experientiâ edocti non sunt, ob voluptatis ignorationem, ab omni bello liberi, tum rursus ex iis qui experientiâ didicerunt, ob satietatem, ab omni molestia & obturbatione immunes, permanserunt.

Πολλοὶ, καὶ τῶν μὴ λαβόντων πεῖραν, ἀπολέμητοι διὰ τὴν ἄγνοιαν τῆς ἡδονῆς μεμενήκασι, καὶ τῶν ἐν πείρᾳ γεγενημένων, ἀνενόχλητοι διὰ τὸν κόρον.

Qui corpus vicit, idem naturam superavit; qui autem naturam superavit, is naturam

Ὁ τὸ σῶμα νικήσας, ἐνίκησε τὴν φύσιν· ὁ δὲ νικήσας τὴν φύσιν, ὑπὲρ τὴν φύσιν

ἐγένετο· καὶ λοιπὸν, ἠλάττωται βραχύ τι παρ' ἀγγέλους· καὶ θαῦμα, πῶς ὁ ἔνυλος τὸν ἄϋλον ἀντίπαλον κατεπάλαισεν.

A excessit; ac deinceps minoratus est paullo minùs ab Angelis: mirumque est, quo modo qui materiâ constat adversarium materiâ carentem prostraverit. *Heb.* II. 7.

Καὶ πάντες μὲν οἱ δαίμονες, πρῶτον σκοτίζειν σπουδάζουσι τὸν ἡγεμόνα νοῦν· ὁ δὲ τῆς πορνείας μάλιστα.

Cùm omnes dæmones, tum is potissimum qui libidini præest, primùm id student, ut menti, hoc est principi animæ parti, tenebras offundant.

Τοὺς ἐν τῇ καρδίᾳ ῥυπαροὺς καὶ ἀκαθάρτους λογισμοὺς, ὑποβάλλει μὲν τὸ πνεῦμα τῆς πορνείας, ἐκβάλλει δὲ ἐγκράτεια καὶ ταπείνωσις, καὶ περιφρόνησις αὐτῶν.

Impuras & obscœnas cogitationes, quæ in pectore insident, immittit quidem libidinis spiritus; ejicit autem B continentia, & humilitas, suique contemptus.

Ἀμέλεια μὲν μήτηρ ἀναισθησίας· ταύτης δὲ θυγάτηρ ἀναλγησία.

Incuria, stuporis mater est; hujus autem filia, indolentia.

Διαφόρους τὰς αἰτίας ἔχει ὁ ὕπνος. γίνεται γὰρ ἐκ φύσεως, ἐκ βρωμάτων, ἐκ νηστείας, ἐκ θλίψεως.

Varias caussas somnus habet. Nam à natura contrahitur, à cibis, à jejunio, ab afflictione.

Μέγα μὲν, ὑπενεγκεῖν ὕβριν· μεῖζον δὲ, παρελθεῖν ἀβλαβῶς ἔπαινον.

Magnum quidem & præclarum est, contumeliam perferre; majus verò, laudem sine detrimento præterire.

Ὁ μὴ τῆς ἄνω δόξης γευσάμενος, οὐκ ἂν τῆς κάτω ῥᾳδίως καταφρονήσει.

Qui supernam gloriam minimè degustavit, terrenam non facilè contempturus est.



Decemb. v.

VITA SANCTI PATRIS nostri Sabæ.

II. Cor. I. 3. I. BEnedictus Deus & Pater Domini nostri Jesu Christi, qui vestram in virtute perfectionem excitavit ad injungendum extremæ vilitati meæ, ut ipsi sanctorum patrum nostrorum Euthymii & Sabæ, qui hinc jam præmigrarunt, Deo gratas conversationes atque actiones scripto mandatas mitterem; quique mihi misero pro ineffabili misericordia sua guttam sermonis per eosdem ipsos in apertione oris mei instillavit, ad exsequendum hoc adeò utile mandatum. Et jam quidem de Euthymio venerabili patre quædam à me, pauca prorsus, & magno ejus animo indigna relata sunt. Neque plura invenire potui, cùm jam octogesimus annus ab ejus ad Deum migratione præterierit; ita ut etiam hæc pauca vix in unum contulerim, hinc & inde circumcursans, eaque sic coacervans & colligens, tamquam ex profundo longi temporis ac oblivionis educens, ne animabus utiles de ipso narrationes injuriâ temporis è memoria nostra exolescerent.

* Al. εὐτελείᾳ
* Al. ὡς Euthymii Vita cap. ult.
B
Eph. vi. 19.
* Al. ἐπιταγῇ
* Al. ἀνωφελῶν
* Al. ὥς γε
C

II. Nunc autem me vocat tempus ad finem ei imponendum quod restat ex mandatis vestris, ad pauca quædam de celeberrimo patre nostro Saba

ΒΙΟΣ ΤΟΥ ΟΣΙΟΥ πατρὸς ἡμῶν Σάβα.

α'. ΕΥλογητὸς ὁ θεὸς καὶ πατὴρ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ διεγείρας τὴν ὑμετέραν ἐπ' ἀρετῇ τελειότητα, ἐπιτάξαι τῇ ἐμῇ * οὐδενίᾳ ἀναγράπτους αὐτῇ ἀποστεῖλαι τὰς θεαρέστους τῶν προοδευκότων ἁγίων πατέρων ἡμῶν Εὐθυμίου καὶ Σάβα ἀναστροφάς· * ὁ καὶ ἐμοὶ τῷ ἐλεεινῷ κατὰ τὴν ἄφατον αὐτοῦ εὐσπλαγχνίαν σταγόνα λόγου δι' αὐτῶν ἐπιστάξας, ἐν ἀνοίξει τοῦ στόματός μου, πρὸς τὸ ὑπουργῆσαι τῇ τοιαύτῃ ὀνησιφόρῳ * ὑποταγῇ. ἤδη μὲν οὖν εἴρηταί μοι περὶ Εὐθυμίου τοῦ σεβασμίου πατρὸς μικρά τινα πάνυ, καὶ τῆς ἐκείνου μεγαλονοίας ἀνάξια. οὔτε γὰρ * ἂν εὑρεῖν πλείονα ἠδυνήθην, ὀγδοηκοστοῦ ἤδη χρόνου παρεληλυθότος τῆς ἐκείνου πρὸς θεὸν ἀναλύσεως· * ὥστε καὶ αὐτὰ τὰ ὀλίγα συνερανισάμην μόλις, ὧδέ τε κἀκεῖσε περιθέων καὶ περιαθροίζων αὐτὰ καὶ συλλέγων, ὥσπερ ἐκ τινὸς βυθοῦ τοῦ μακροῦ χρόνου καὶ τῆς λήθης ἀναλεγόμενος, ἵνα μὴ ἐξίτηλα τῷ χρόνῳ γένηται ἡμῖν τὰ περὶ ἐκείνου ψυχωφελῆ διηγήματα.

β'. Νυνὶ δὲ κέκληκέ με ὁ καιρὸς εἰς πέρας ἀγαγεῖν τὸ ἐλλεῖπον τοῖς παρ' ὑμῶν ἐπιταχθεῖσιν, καὶ ὀλίγα τινὰ περὶ τοῦ πολυθρυλλήτου πατρὸς ἡμῶν Σάβα

συγγράψασθαι· ἀπὸ φροντίσας καὶ A * πονέσας ἐξελεξάμην παρ' ἀληθευόντων * ὁσίων ἀνδρῶν, φοιτητῶν τε αὐτοῦ καὶ συναγωνιστῶν γεγονότων, καὶ μέχρι τῆς νῦν τὴν ἐκείνου μιμουμένων πολιτείαν, καὶ φωτιζόντων * ἡμῶν τὰ κατὰ θεὸν * διαβήματα. τοῦτο γὰρ πεποιηκέναι ἤδη ἐν τῷ προλαβόντι ὑπεσχόμην λόγῳ. πλὴν ὅτι τὴν μὲν ἐμαυτοῦ ἰδιωτείαν καὶ ἀναξιότητα οὐκ ἀγνοῶ· μείζοσι δὲ ἐμβατεύω, * αὐθαδείᾳ χρώμενος γνώμῃ, ἀλλὰ τόν τε τῆς B παρακοῆς κίνδυνον ὑφορώμενος, καὶ * φοβερὰν ἐκείνην ἐννοῶν ἀπειλὴν τὴν λέγουσαν· δοῦλε πονηρέ, * ἔδει σε βαλεῖν τὰ ἀργύριά μου τοῖς τραπεζίταις. δυσωπῶ τοίνυν τοὺς ἐντευξομένους τοῖσδε τοῖς πόνοις, καὶ τὴν ὁσιότητα τὴν σὴν, ὦ πατέρων ἄριστε καὶ φιλοτεκνότατε Γεώργιε, πρῶτον μὲν τὸν δεσπότην δυσωπῆσαι * θεὸν, συγγνώμης ἀξιωθῆναί με τὸν ἐλεεινὸν, ἐπὶ τῷ πεφαυλισμένῳ μου βίῳ, καὶ τοῖς πολ- C λοῖς μου ἁμαρτήμασιν· ἔπειτα δὲ * μηδενὶ ἀπιστεῖν, τῶν τε ἤδη προλεχθέντων, καὶ τῶν νυνὶ ῥηθησομένων. διὰ γὰρ τοῦτο καὶ χρόνων ἀκριβείας καὶ τόπων καὶ προσώπων καὶ ὀνομάτων ἐμνημόνευσα, πρὸς τὸ ἐγγύθεν ἔχειν τε καὶ ποιεῖσθαι τὴν τῆς ἀληθείας περὶ τούτων ἐξέτασιν. τοιγὰρ ἐντεῦθεν βοηθοῦντα καὶ συνεργοῦντα τὸν θεὸν ἔχειν πιστεύσας, τοῦ περὶ Σάβα λόγου ποιήσομαι τὴν ἀρχήν.

conscribenda; quæ cum cura & labore decerpsi à veridicis sanctis viris, qui ipsius fuerunt discipuli necnon certaminum socii, & usque in præsens ejusdem vivendi rationem imitantur, ac illuminant nostros secundùm Deum gressus. Hoc enim fecisse jam in præcedenti libro professus sum. Equidem imperitiam meam & indignitatem non ignoro; majora verò viribus meis aggredior, non temerariâ usus sententiâ, sed inobedientiæ periculum veritus, ac terribilem illam considerans comminationem, quæ ita habet; *Serve male & piger, oportuit te committere pecuniam meam nummulariis.* Obsecro igitur tum eos qui in hæc opera inciderint tum sanctitatem tuam, Georgi patrum optime idemque filiorum amantissime, primùm quidem, Christum Dominum flectere, quò ego miser veniam consequar pravæ vitæ meæ, multorumque meorum peccatorum; deinde verò nulli non credere tam eorum quæ jam dicta fuere, quam eorum quæ nunc proferentur. Nam idcirco temporum, locorum, personarum nominumque accuratam feci mentionem, ut de proximo habeatur & fiat veritatis de iis rebus examen. Hinc ergo Deum adjuvantem & cooperantem habere me credens, sermonis de Saba faciam principium.

** Al.* πονήσας ἀνελεξάμην
** Abest ab al.*
** Al.* ἡμῶν
** Al.* δρομήματα
** Al.* ἐν θρασείᾳ / αὐθάδει νῷ
Matt. xxv. 26. 27.
** Al. infer.* καὶ ὀκνηρέ,
** Al.* Χριστὸν
** Al.* μηδὲν

III. Hic Sabas civis Metropoleos cœlestis, patriam habuit in Cappadocum regione Mutalascam vicum, sub Metropoli Cæsareensium constitutum, qui quidem antea propter parvitatem & humilitatem incognitus fuit, cunctis verò evasit spectatissimus ob divinum hunc adolescentem ex eo productum. Quandoquidem & vicus Armathem, ignobilis priùs ac vilissimus, celebris toti orbi extitit, ab eo tempore quo ex ipso ortus est Samuel ille Deo ab infantia consecratus. Ex parentibus fuit Christianis & nobilissimus, Johanne & Sophia nuncupatis, à quibus procreatus est, uti clarè comperimus ex accurata temporum vitæ ipsius computatione, decimoseptimo consulatu Theodosii. Nec multò post cùm pater in copias Alexandrinas allectus fuisset in numero eorum qui Isauri nuncupantur, & cum uxore è Cappadocia migrasset, dispositione Dei sacer iste adolescens, ferè ætate quinquennis, relinquitur in memorato Mutalascorum vico, cum parentum facultatibus, apud avunculum suum, nomine Hermiam, qui pravorum morum uxorem habebat. Quam ob caussam anxius, secedit ad Gregorium patruum, qui ad tertium illinc lapidem habitabat in vico Scando appellato.

1. Reg. 1. 1.

A γ'. Οὗτος ὁ τῆς ἐπουρανίου μητροπόλεως γεγονὼς πολίτης Σάβας, πατρίδος μὲν ὑπῆρχε τῆς Καππαδοκῶν χώρας, Μουταλάσκης τῆς κώμης, ὑπὸ μητρόπολιν τελούσης τῆς Καισαρέων, ἀγνώστου μὲν τὸ πρὶν οὔσης διὰ σμικρότητα καὶ ταπεινότητα, πᾶσι δὲ περιφανεστάτης γενομένης διὰ τὸν ἐξ αὐτῆς βλαστήσαντα θεῖον τοῦτον νεανίαν. ἐπεὶ καὶ ἡ Ἀρμαθὲμ, ἄσημός τε καὶ εὐτελεστάτη οὖσα τὸ πρὶν, περίφημος γέγονε πάσῃ τῇ B κτίσει, ἀφ' οὗπερ ἐξ αὐτῆς ἔφυ ὁ ἐκ βρέφους ἀνακείμενος τῷ Θεῷ Σαμουήλ. γονέων δὲ ἐτύγχανεν Χριστιανῶν τε καὶ εὐγενεστάτων, Ἰωάννου καὶ Σοφίας προσαγορευομένων, ἀφ' ὧν ἐγεννήθη, ὡς ἐκ τῆς ἀκριβείας τῶν τῆς ζωῆς αὐτοῦ χρόνων διέγνωμεν σαφῶς, ἐπὶ ἑπτακαιδεκάτης Θεοδοσίου ὑπατίας. καὶ μετ' οὐ πολὺ τοῦ πατρὸς στρατευθέντος ἐν Ἀλεξανδρείᾳ, ἐν νουμέρῳ τῶν Ἰσαύρων προσαγορευομένων, καὶ μετὰ τῆς συμβίου τῆς Καππαδοκῶν μετοικήσαντος χώρας, C καταλιμπάνεται ἐκ Θεοῦ οἰκονομίας ὁ ἱερὸς οὗτος νεανίας πενταετὴς ὢν σχεδὸν τὴν ἡλικίαν, ἐν τῇ μνημονευθείσῃ κώμῃ Μουταλάσκων, μετὰ τῶν γονικῶν αὐτοῦ πραγμάτων, παρὰ τῷ αὐτοῦ ἐκ μητρὸς θείῳ, Ἑρμίᾳ καλουμένῳ, ἔχοντι γυναῖκα κακότροπον· οὗπερ ἕνεκεν ἀθυμήσας ἀναχωρεῖ πρὸς Γρηγόριόν τινα ἐκ πατρὸς θεῖον, ὡς ἀπὸ τριῶν σημείων οἰκοῦντα ἐν κώμῃ Σκανδῷ καλουμένῃ.

δ'. Ὀλίγου δέ τινος χρόνου διελθόντος, καὶ τῶν αὐτοῦ θείων Ἑρμία τε καὶ Γρηγορίου περί τε αὐτοῦ καὶ τῶν γονικῶν αὐτοῦ πρὸς ἀλλήλους διαμαχομένων, ὁ Σάβας προωρισμένος ὢν ὑπὸ τοῦ θεοῦ ἐκ μήτρας καὶ προεγνωσμένος πρὸ διαπλάσεως, κατὰ τὸν μέγαν προφήτην Ἱερεμίαν, πάντων ὁμοῦ τῶν τοῦ βίου περιφρονήσας, ἐκδέδωκεν ἑαυτὸν μοναστηρίῳ, Φλαβιαναῖς μὲν καλουμένῳ, εἴκοσι δὲ σταδίοις διέχοντι τῆς κώμης Μουταλάσκης, καὶ ὑπὸ τοῦ ἀρχιμανδρίτου εἰσδεχθεὶς, καὶ τῇ αὐτόθι συνοδίᾳ συναρίθμιος γεγονὼς, τὴν τῆς μοναχικῆς πολιτείας ἐξεπαιδεύθη ἀκρίβειαν· καὶ ἐν ὀλίγῳ χρόνῳ τό τε Ψαλτήριον ἐκμανθάνει, καὶ τὴν λοιπὴν τοῦ κοινοβιακοῦ κανόνος κατάστασιν. Τῶν δὲ εἰρημένων αὐτοῦ θείων εἰς σύμβασιν ἐλθόντων, καὶ πειραθέντων πολλάκις τοῦ μοναστηρίου αὐτὸν ἀποσπάσαι, πρὸς τὸ, φησὶν, ἀντιλαμβάνεσθαι τῶν ἑαυτοῦ γονικῶν χωρίων, καὶ εἰς ἐπιγαμβρείαν ἐκκαλουμένων, αὐτὸς ὑπὸ τοῦ θεοῦ φρουρούμενος, ἐξελέξατο μᾶλλον παραρρίπτεσθαι ἐν τῷ οἴκῳ τοῦ θεοῦ, ἢ τοῖς κοσμικοῖς θορύβοις ἑαυτὸν ἐπιδιδόναι. ὅθεν οὐ κατεδέξατο παντελῶς τῆς σεμνῆς ἐκείνης πολιτείας ἀποστῆναι· τὴν εὐαγγελικὴν ἀπόφασιν ἐννοῶν τοῦ κυρίου λέγοντος· οὐδεὶς ἐπιβαλὼν τὴν χεῖρα ἐπ' ἄροτρον καὶ στραφεὶς εἰς τὰ ὀπίσω, εὔθετός ἐστιν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν· ἐνθυμούμενος καὶ ἐν αὐτῷ τὰ τοιαῦτα λέγων· ἐγὼ

A IV. Pauco autem interjecto tempore, cúmque avunculus Hermias & Gregorius patruus tum de ipso tum de bonis ipsi per parentes relictis inter se contenderent, Sabas qui à Deo prædestinatus erat ex utero, & præcognitus antequam formaretur, quemadmodum magnus propheta Hieremias, cunctis *Jer.* I. 5.
simul sæculi hujus rebus contemptis, tradidit semetipsum Monasterio quod vocabatur Flavianæ, distabatque viginti B stadiis à vico Mutalasca, atque ad Archimandrita susceptus, illiusque loci conventui aggregatus, Monastici instituti accuratam edoctus est disciplinam; brevique tempore Psalterium, reliquasque didicit Cœnobiacæ regulæ constitutiones. Cùm verò memorati patruus & avunculus in concordiam venissent, sæpeque cum tentassent à Monasterio abducere; quò scilicet, inquiebant, parentum prædia reciperet, necnon ad nuptias provocarent, C ipse à Deo custoditus, elegit *Ps.*
magis abjectus esse in domo LXXXIII, 11.
Dei, quàm mundi tumultibus ipsum se tradere. Quocirca nullatenus admittere voluit, ut à præclaro illo vitæ genere abscederet; Evangelicam dum considerat sententiam Domini dicentis; *Nemo mittens ma-* *Luc.* IX.
num suam ad aratrum, & con- 62.
versus retrò, aptus est regno cœlorum. atque reputans dicensque apud se hujusmodi; Ego

eos qui mihi consilium dant à Deo recedendi, tamquam serpentes fugio: *Corrumpunt enim mores bonos colloquia mala:* & metuo ne assiduitate emollitus, in maledictum incidam prophetæ qui ait; *Maledicti qui declinant à mandatis tuis.* Talis erat à pueritia Sabas in affectu pietatis.

1. Cor. xv. 33.

Ps. cxviii. 21.

v. Aliquando eum in horto Monasterii operantem desiderium subiit manducandi ante præstitutam horam malum quod apparebat speciosum omninoque delectans & jucundissimum; atque à cupiditate incensus, abstulit quidem malum ab arbore, verùm postquam decerpsisset, semetipsum strenuè continuit, tum objurgavit, pia ratiocinatione dicens; Speciosus aspectu & suavis esu erat ille fructus qui me per Adamum morti tradidit; quando is sub intelligentiam cadenti pulcritudini id prætulit quod carneis oculis videbatur jucundum, ac spiritualibus voluptatibus preciosiorem censuit ventris saturitatem; unde mors introivit in mundum. Non igitur bonum continentiæ rejiciam, animæ quodam veterno gravatus. Sicut enim omnem fructuum productionem præcedit flos, ita continentia omnem boni operationem anteit. Atque ad hunc modum præstantiori ratione cupiditatem superans, malum humi projecit, suisque pedibus calcavit,

Nilus De octo vitiis cap. 1. Vita Iohannis Silentiarii n. 6.

A τοὺς συμβουλεύοντάς μοι τοῦ θεοῦ ἀποστῆναι, ὡς ἀπὸ ὄφεων φεύγω· φθείρουσι γὰρ ἤθη χρηστὰ ὁμιλίαι κακαί· καὶ φοβοῦμαι μήποτε τῷ ἐνδελεχισμῷ χαυνωθεὶς, κατάρας ἐπιτεύγκωμαι τοῦ προφήτου λέγοντος· ἐπικατάρατοι οἱ ἐκκλίνοντες ἀπὸ τῶν ἐντολῶν σου. τοιοῦτος ἦν ἐκ παιδὸς πρὸς τὸν τῆς εὐσεβείας πόθον ὁ Σάβας.

έ. Τούτῳ ποτὲ εἰς τὸν κῆπον τοῦ μοναστηρίου ἐργαζομένῳ, ἐπιθυμία τις ἐπῆλθεν φαγεῖν μῆλον, φανὲν B ὡραῖον καὶ λίαν τερπνότατον, πρὸ τῆς ὁρισμένης ὥρας· ὅστις ὑπὸ τῆς ἐπιθυμίας ἐξαφθεὶς, ἀφείλατο μὲν τοῦ δένδρου τὸ μῆλον, ἐπιλεγόμενος δὲ, ἐκράτησε μὲν ἑαυτὸν γενναίως, ἐπετίμα δὲ ἑαυτῷ εὐσεβεῖ λογισμῷ, λέγων· ὡραῖος εἰς ὅρασιν καὶ καλὸς εἰς βρῶσιν ὁ ἐμὲ θανατώσας καρπὸς διὰ τοῦ Ἀδάμ· αὐτοῦ προτιμήσαντος τοῦ νοητοῦ κάλλους, τὸ τοῖς σαρκίνοις ὀφθαλμοῖς φανὲν τερπνὸν, καὶ τῶν πνευματικῶν C ἀπολαύσεων, τὴν πλησμονὴν τῆς γαστρὸς τιμιωτέραν θεμένου δι' οὗ καὶ ὁ θάνατος εἰς τὸν κόσμον εἰσῆλθεν. μὴ τοίνυν ἀπονεύσω τοῦ καλοῦ τῆς ἐγκρατείας, ψυχικῷ τινὶ νυσταγμῷ βαρυνθείς. ὥσπερ γὰρ πάσης καρποφορίας προηγεῖται ἄνθος, οὕτως ἡ ἐγκράτεια πάσης προηγεῖται ἀγαθοεργίας. καὶ οὕτως τῷ κρείττονι λογισμῷ τὴν ἐπιθυμίαν νικήσας, ἔρριψε τὸ μῆλον χαμαὶ, καὶ τοῖς ἑαυτοῦ κατεπάτει ποσὶ,

συγκαταπαίζων

συγκαταπατῶν τῷ μήλῳ τὴν ἐπιθυμίαν· καὶ δίδωσιν ἑαυτῷ ἀπὸ τότε τοιαύτην νομοθεσίαν, τὸ μέχρι θανάτου τῇ τοῦ μήλου βρώσει μὴ κεχρῆσθαι. ἐντεῦθεν δύναμιν ἐξ ὕψους λαβὼν, τῇ ἐγκρατείᾳ ἑαυτὸν ἐπεδίδου, ὡς τὴν πονηροὺς ἀναστελλούσῃ λογισμοὺς, καὶ τὴν τοῦ ὕπνου ἀνακοπτούσῃ βαρύτητα. πρὸς δὲ τῇ ἐγκρατείᾳ, καὶ σωματικῶς ἐκοπία, μεμνημένος τῆς πρὸς θεὸν λεγούσης Δαυιτικῆς μελῳδίας· ἴδε τὴν ταπείνωσίν μου καὶ τὸν κόπον μου, καὶ ἄφες πάσας τὰς ἁμαρτίας μου. διὸ πάσῃ σπουδῇ καὶ προθυμίᾳ τὴν μὲν ψυχὴν ἐταπείνου τῇ ἀσιτίᾳ, τὸ σῶμα κόπῳ καὶ μόχθῳ ἐδάμαζε. καὶ ἑξήκοντα ἢ καὶ ἑβδομήκοντα ἔχων ἐν τῷ εἰρημένῳ Φλαβιανῶν μοναστηρίῳ συναγωνιστὰς, ὑπερηκόντισεν ἅπαντας, τῇ τε ταπεινοφροσύνῃ καὶ ὑπακοῇ καὶ τοῖς ὑπὲρ εὐσεβείας πόνοις.

ϛʹ. Καὶ τοῦτο φέρεται ἐν τοῖς περὶ τῶν παιδικῶν αὐτοῦ ἀγωνισμάτων διηγήμασιν, ὅτι ὁ ἀρτοκόπος τοῦ μοναστηρίου, ἐν ὥρᾳ χειμῶνος ἁπλώσας τὰ ἑαυτοῦ βραχέντα ἱμάτια, ἔνδον ἐν τῇ θέρμῃ τοῦ φούρνου, πρὸς τὸ αὐτὰ ξηρανθῆναι, ἡλίου μὴ ἐπιφαίνοντος, ἐπελάθετο, καὶ μετὰ μίαν ἡμέραν, ἄρτων λειψάντων, τινὲς τῶν πατέρων ἐπιταχθέντες εἰργάζοντο εἰς τὸ ἀρτοκοπεῖον, μεθ' ὧν ὑπῆρχεν καὶ ὁ θαυμάσιος. αὐτῶν δὲ τὸν φοῦρνον ὑποκαιόντων, ὑπομνησθεὶς ὁ μάγκιψ, καὶ ταραχῆς περὶ τῶν ἱματίων γινομένης, καὶ μηδενὸς

A unà cum malo conculcatâ cupiditate; hancque ab eo tempore sibi legem imposuit, abstinendi usque ad mortem mali esu. Inde virtute ex alto acceptâ, continentiæ se dedidit, ut virtuti quæ malas cogitationes reprimit, somnique impedit gravitatem. Præter continentiam autem, etiam corpore laborabat, memor Davidicæ illius modulationis ad Deum prolatæ; *Vide humilitatem meam & laborem meum;* Ps. xxiv. 18.
B *& dimitte universa delicta mea.* Quare omni studio & alacritate animam demittebat inediâ, corpus labore ac defatigatione domabat; cúmque sexaginta vel etiam septuaginta haberet in prædicto Flavianarum Monasterio socios piorum certaminum, cunctos humilitate, obedientia, laboribus pro pietate susceptis superavit.

VI. Hoc quoque fertur inter narrationes quæ ad puerilia ejus certamina pertinent; Mo-
C nasterii pistor hyemali tempore cùm vestes suas madefactas intra furnum ad calorem expandisset, ut siccarentur, quòd non appareret sol; earum oblitus est; post unum verò diem, panibus deficientibus, quidam patrum ex mandato operabantur in pistrino, inter quos erat etiam admirandus noster. Cúmque furnum succenderent, recordatus est manceps seu pistor, tumultuque ob vestes orto, ac nemine ingredi auso, quia

furnus magnus erat, & admodum accensus, juvenis senex fide indubia corroboratus, postquam se signo crucis armasset, insiliit in furnum, acceptisque vestibus egressus est illæsus. Deus enim qui in Babylonia miraculum edidit, tresque pueros cum sarabaris & tiaris incombustos servavit, idem ipse vestimentum in furno ab igne intactum custodivit, ac per illud divinam gratiam aliquando in famulo suo Saba refulsuram omnibus prædicavit. At patres inopinatum hoc miraculum videntes, Deum glorificaverunt, dicendo; Qualis, putas, erit adolescens iste, qui tantâ gratiâ à prima ætate donatus fuerit. Cæterùm hæc retuli, à Gregorio Presbytero patruele ipsius accepta, ostendere lectoribus cupiens, quantus à puero fuerit, tum fide, tum intelligentia, tum optimis prærogativis. Itaque à gloria in gloriam proficere festinans, & ascensiones in corde disponens, decem annis eo in Monasterio transactis, Deo gratum desiderium suscepit, ad sanctam civitatem proficiscendi, & solitariam vitam in adjacente ei solitudine agendi. Oportebat quippe hanc per eum ædificari instar urbis, vocesque de ipsa per altiloquum Esaiam prolatas adimpleri. Et Archimandritam conveniens, obsecrabat ut cum prece

Vide cap. 10. Philon. p. 1012

Dan. III. 21. 94.

Luc. I. 66.

* f. διεξῆλθον

Is. LVIII. 12.

A τολμῶντος εἰσελθεῖν, μεγάλου ὄντος τοῦ φούρνου, καὶ ἱκανῶς ἀποκαέντος, ὁ νεανίας πρεσβύτης πίστει ἀδιστάκτῳ κραταιωθεὶς, καὶ τῷ σημείῳ τοῦ σταυροῦ ἑαυτὸν καθοπλίσας, εἰσεπήδησεν εἰς τὸν φοῦρνον· καὶ λαβὼν τὰ ἱμάτια, ἐξῆλθεν ἀβλαβής. ὁ γὰρ ἐπὶ τῆς Βαβυλωνίας θαυματουργήσας θεὸς, καὶ σὺν τοῖς σαραβάροις καὶ ταῖς τιάραις τοὺς τρεῖς παῖδας ἀφλέκτους διαφυλάξας, αὐτὸς καὶ τὴν ἐσθῆτα τὴν ἐν τῷ φούρνῳ, ἄκαυστον διετήρησεν, δι' αὐτῆς τὴν B ἐπὶ τῷ οἰκείῳ αὐτοῦ παιδὶ Σάβα μέλλουσαν ἐκλάμπειν θείαν ἅπασιν ἀνακηρύττων χάριν. οἱ δὲ πατέρες τὸ παράδοξον τοῦτο θαῦμα ἰδόντες, ἐδόξαζον τὸν θεὸν, λέγοντες· ἄρα ὁποῖος ἔσται ὁ νεανίας οὗτος, τοσαύτης χάριτος ἐκ πρώτης ἡλικίας ἀξιωθείς. ταῦτα δὲ * διεξελθὼν, παρὰ μὲν Γρηγορίου τοῦ πρεσβυτέρου καὶ ἀνεψιοῦ αὐτοῦ παραλαβὼν, ἐπιδεῖξαι δὲ τοῖς ἐντυγχάνουσι βουλόμενος, ὁποῖος ἦν ἐκ παιδὸς, τῇ τε πίστει καὶ τῇ συνέσει καὶ C τοῖς ἀρίστοις πλεονεκτήμασιν. ἀπὸ δόξης τοίνυν εἰς δόξαν προκόπτειν ἐπειγόμενος, καὶ ἀναβάσεις ἐν τῇ καρδίᾳ διατιθέμενος, δέκα χρόνους πληρώσας ἐν ταὐτῷ τῷ μοναστηρίῳ, ἐπιθυμίαν θεάρεστον εἰσδέχεται, τὸ τὴν ἁγίαν πόλιν καταλαβεῖν, καὶ ἡσυχάσαι ἐν τῇ περὶ αὐτὴν ἐρήμῳ. ἔδει γὰρ δι' αὐτοῦ ταύτην πολισθῆναι, καὶ τὰς ἐπ' αὐτῇ τοῦ μεγαλοφώνου Ἡσαΐου πληρωθῆναι φωνάς. καὶ προσελθὼν τῷ ἀρχιμανδρίτῃ, ἐδυσώπει ἀπολυθῆναι μετ'

εὐχῆς. τῷ δὲ μὴ βουληθέντι, θεία τις A ἀποκαλύπτεται ὀπτασία λέγουσα· ἀπόλυσον τὸν Σάβαν, ἵνα μοι λατρεύσῃ ἐν τῇ ἐρήμῳ. τότε ὁ ἀρχιμανδρίτης τοῦτον προσκαλεσάμενος, ἐν μυστηρίῳ λέγει· ἐγὼ μὲν ὦ τέκνον ὑπὸ θείας ὀπτασίας ἐπιτραπεὶς, ἀπολύω σε· σὺ δὲ μηδενὸς τῆς συνοδίας γινώσκοντος, ἄπιθι ἐν εἰρήνῃ, καὶ κύριος ἔστω μετὰ σοῦ. καὶ οὕτως ὑπὸ τοῦ θεοῦ ὁδηγούμενος, ἔρχεται εἰς Ἱεροσόλυμα, ὀκτωκαιδέκατον ἔ- B τος ἄγων τῆς ἡλικίας, περὶ τὸ τέλος τῆς εὐσεβοῦς Μαρκιανοῦ βασιλείας, καὶ τῆς ἐν Ἱεροσολύμοις ἱεραρχίας Ἰουβεναλίου. καὶ δεξιοῦται παρά τινι Καππαδόκῃ γέροντι, ἐν τῷ τοῦ ἀββᾶ Πασσαρίωνος μοναστηρίῳ, τῷ τηνικαῦτα κυβερνουμένῳ ὑπὸ Ἐλπιδίου τοῦ ἀρχιμανδρίτου. ἐν ᾧ παραχειμάσας ὁ δοῦλος τοῦ θεοῦ Σάβας, καὶ ὑπὸ τοῦ γέροντος προτραπεὶς αὐτόθι καταταγῆναι, οὐκ ἠνέσχετο. ὁμοίως ὑπὸ πολλῶν εἰς διαφό- C ρους τόπους ταγμάτων τε καὶ διαιτείων ἑλκόμενος, φιλήσυχος ὢν ἐκ παιδὸς, καὶ τῷ θεῷ ἀνακείμενος, οὐδενὶ παντελῶς συνυπήχθη.

ζ. Ἀκούων δὲ σχεδὸν παρὰ πάντων, τὰ κατὰ τὸν μέγαν Εὐθύμιον, ἐναθλοῦντα τὸ τηνικαῦτα ἐν τῇ ἐξ ἀνατολῶν τῆς ἁγίας πόλεως ἐρήμῳ, καὶ φωστῆρος δίκην ἐκλάμποντα, καὶ τὰς τῶν θαυμάτων ἀκτῖνας πανταχοῦ ἐκλάμποντα· καὶ ἀναπτερωθεὶς τὴν διάνοιαν, ἐπεπόθησε τὸν ἅγιον θεάσασθαι·

A dimitteretur. Cui nolenti dimittere, divinum manifestatur visum, cum hoc præcepto; Dimitte Sabam, ut mihi serviat in deserto. Tunc Archimandrita ipsum advocat, clamque ita alloquitur; Ego quidem, ô fili, à divina visione admonitus, dimitto te; tu verò, nullo sociorum fratrum sciente, abi in pace, & Dominus tecum sit. Sicque à Deo per viam ductus, venit Hierosolymam, decimum B octavum ætatis annum agens, sub finem regni Marciani pii Imperatoris, & pontificatûs Juvenalis Hierosolymis. Atque à quodam sene Cappadoce suscipitur, in Monasterio Abbatis Pasarionis, quod eo tempore ab Elpidio Archimandrita gubernabatur. In quo cùm hyemasset servus Dei Sabas, & à sene invitaretur ut illic cooptaretur, non sustinuit. Pari modo à multis ad varia loca ordinum & diariorum tractus, C tamen quòd à pueritia quietis studiosus esset, ac Deo consecratus, à nullo prorsus inductus est.

VII. Audiens verò ferè ab omnibus de rebus magni Euthymii, qui tunc in solitudine ad Orientem sanctæ civitatis positâ piè decertabat, & instar luminaris splendebat, radiosque miraculorum ubique emittebat; atque animo excitatus, sanctum conspicere gestiit;

quare accedens ad beatæ me- A
moriæ Elpidium, ipsique desi-
derium suum exponens, di-
missus est cum prece, cumque
quodam monstratore. Venit
igitur ad monstratum locum,
& cum patribus loci illius per-
manens, die Sabbati, cùm vi-
disset magnum Euthymium ve-
nisse ad Ecclesiam, orabat cum
lacrymis, ut unus de numero
eorum qui sub ipso erant fie-
ret. Verùm magnus Euthymius
admonuit eum, his verbis; Fili,
non puto æquum esse, te qui B
juvenis es, in Laura manere:
neque enim Lauræ conducit,
juvenem habere, neque juveni
convenit, in medio Anacho-
retarum versari. Abi ergo ad
inferius Monasterium, ad Ab-
batem Theoctistum, tibique
res magno erit emolumento.
At beatus Sabas respondit:
Novi venerande pater, cun-
ctorum provisorem Deum, quia
me vult salutem consequi, ideo
me eò deduxisse, ut in sanctas
tuas manus venirem: quocirca C
prout mihi jusseris, ita faciam.
Tunc magnus Euthymius mi-
sit eum ad felicis recordationis
virum Theoctistum, cui signi-
ficavit, ut ejus curam gereret,
utpote qui per Dei gratiam in
Monachica professione reful-
surus esset. Porrò hoc non mi-
hi videtur temere fecisse ma-
gnus Euthymius, quin potiùs
oculo perspicaci: scilicet qui
prævidebat Sabam fore ali-
quando cunctorum Palæstinæ

καὶ προσελθὼν τῷ μακαρίτῃ Ἐλ-
πιδίῳ, καὶ τὴν ἐπιθυμίαν αὐτῷ ἀ-
ναθέμενος, μετὰ εὐχῆς, καί τινος
ὑποδεικνύοντος ἀπελύθη. καὶ ἐλ-
θὼν εἰς τὸν ὑποδειχθέντα τόπον,
καὶ τοῖς ἐκεῖσε πατράσι προσκαρ-
τερήσας, τῷ σαββάτῳ θεωρή-
σας τὸν μέγαν Εὐθύμιον, ἐπὶ τὴν
ἐκκλησίαν ἐρχόμενον, παρεκά-
λει μετὰ δακρύων τοῖς ὑπ' αὐτὸν
συναρίθμιος γενέσθαι. ὁ δὲ μέγας
Εὐθύμιος ἐνουθέτει αὐτὸν, λέ-
γων· τέκνον οὐ νομίζω δίκαιον εἶ-
ναι, νεώτερόν σε ὄντα, εἰς λαύ-
ραν μένειν· οὔτε γὰρ τῇ λαύρᾳ
ὄνησιν φέρει, τὸ νεώτερον ἔχειν,
οὔτε νεωτέρῳ πρέπει, ἐν μέσῳ
εἶναι ἀναχωρητῶν. ἄπελθε τοίνυν
εἰς τὴν κάτω μονὴν, πρὸς τὸν
Ἀββᾶν Θεόκτιστον, καὶ ἔχεις [μά-
λα] ὠφεληθῆναι. ὁ δὲ μακά-
ριος ἀπεκρίθη Σάβας· γινώσκω
τίμιε πάτερ, ὅτι ὁ πάντων προ-
νοητὴς θεὸς, σωθῆναί με βουλό-
μενος, ὡδήγησέ με εἰς τὰς ἁ-
γίους σου χεῖρας ἐλθεῖν· ὡς ἂν οὖν
μοι κελεύσῃς ποιῶ. τότε ὁ μέ-
γας Εὐθύμιος τῷ μακαρίτῃ αὐ-
τὸν ἀπέστειλε Θεοκτίστῳ, δηλώσας
αὐτῷ ποιεῖσθαι αὐτοῦ φροντίδα, ὡς
μέλλοντος τῇ τοῦ Χριστοῦ χάριτι
ἐν τῇ μοναχικῇ διαπρέψαι πολι-
τείᾳ. τοῦτο δὲ οὐκ ἀσκόπως ἔμοιγε
δοκεῖ ὁ μέγας Εὐθύμιος, ἀλλὰ διο-
ρατικῷ ὄμματι μᾶλλον· προβλέ-
πων πάντων τῶν ἐν Παλαιστίνῃ

ἀναχωρητῶν ἀρχιμανδρίτην μέλλειν ἔσεσθαι, οὐ μὴν ἀλλὰ καὶ τῆς μεγίστης τε καὶ περιφανεστάτης λαύρας τῆς ὑπερεχούσας πασῶν τῶν ἐν Παλαιστίνῃ λαυρῶν καθιστᾶν μέλλοντα, καὶ ἔσεσθαι αὐτὸν ἀρχηγέτην τε καὶ νομοθέτην ἁπάντων τῶν καθ' ἑαυτοὺς ἀναχωρησάντων, ἐκ τοῦ καθ' ἑαυτὸν ὑποδείγματος, νομοθεσίαν αὐτῷ δίδωσι μὴ δέχεσθαι ἐν λαύρᾳ ἀγένειον, ἀλλὰ καὶ τοῖς τῶν ἄλλων λαυρῶν ἡγουμένοις τὸν τοιοῦτον παραδοῦναι νόμον, παλαιὸν ὄντα καὶ παρὰ τοῖς ἀρχαίοις πατράσι κρατήσαντα· πρόδηλον δὲ ὅτι πᾶν τὸ ἀρχαιότητι διαφέρον, αἰδέσιμον.

η'. Γεγονὼς δὲ ὑπὸ τὸν μακαρίτην Θεόκτιστον ὁ πατὴρ ἡμῶν Σάβας, ἐκδέδωκε μὲν ὅλον ἑαυτὸν τῷ θεῷ· ἅπερ δὲ εἶχεν ἀπὸ τῶν ἰδίων αὐτοῦ, δέδωκεν εἰς τὰς [χεῖρας αὐτοῦ. καὶ] ἀποδύεται [πρὸς πᾶσαν ἄσκησιν, ἐν] κόπῳ μὲν σω [ματικῷ διημερεύων,] τὴν ταπεινοφροσύνην δὲ καὶ τὴν ὑπακοὴν, [βάσι]ν καὶ θεμέλιον τῆς ἑαυτοῦ πολιτείας ποιούμενος· ἐπιτήδειος ὢν ἐν τῷ κανόνι τῆς θείας λειτουργίας καὶ προθυμότατος, πρὸ πάντων ἐν τῇ ἐκκλησίᾳ εἰσερχόμενος, καὶ πάντων ὕστερον ἐξερχόμενος. πρὸς δὲ τοῖς ψυχικοῖς ἀνδραγαθήμασιν, ὑπῆρχε καὶ τῷ σώματι εὐμεγέθης καὶ γενναῖος· καὶ πάντων πρὸς ἓν φορτίον μανουθίων κοπτόντων ἐν τῇ ἐρήμῳ, καὶ τῷ κοινοβίῳ κομιζόντων, αὐτὸς τρία

A Anachoretarum Archimandritam, prætereaque maximam & illustrissimam Lauram, omnibus Palæstinæ Lauris eminentiorem constituturum, eumdemque futurum principem, ducem & legislatorem cunctorum qui secessuri, solique apud semetipsos mansuri erant, eapropter ex proprio suo exemplo, sanctionem ei dedit, ut in Laura imberbem non reciperet, sed & aliarum Laurarum præpositis eamdem legem tra-B deret, quæ vetus esset, & apud antiquos patres obtinuisset: porrò liquet omne quod antiquitate præstat, venerandum esse.

VIII. Cùm autem pater noster Sabas fuisset in potestate beati Theoctisti, totum quidem se Deo tradidit; quæ verò ex propriis suisque rebus habebat, in manus ipsius dedit, & ad omne pietatis exercitium accinxit se; in labore C corporis dies transigens, humilitatem autem & obedientiam pro basi & fundamento instituti sui habens: idoneus ad divini officii regulam & promptissimus, ante cunctos in Ecclesiam ingrediens, & post cunctos inde egrediens. Præter animæ verò strenuitatem & fortia facinora, exstitit etiam corpore prægrandis ac eximius. nam cùm cæteri unum dumtaxat manuthiorum fascem in eremo secarent, atque ad Cœnobium deferrent, ipse tres

A fasces quotidie secans deportabat. Ad hæc divinæ liturgiæ ministrabat alacriter. Tum modò aquam ferens & ligna portans, cunctis inserviens, multoque tempore factus burdonarius seu mulio, variisque aliis ministeriis susceptis, citra reprehensionem & lapsum permansit; adeò ut Cœnobii patres tantam in juvenili ætate virtutem & habilitatem admirarentur.

φορτία καθημέραν κόπτων ἀπεκόμιζε· καὶ πρὸς τούτοις τῇ [ἡ θεία λειτουργία ὑπηρετούμενος]. προθύμως· [καὶ νῦν ὑδροφορῶν] καὶ ξύλα κομίζων, [καὶ πᾶσι] διακονούμενος, [καὶ γενόμενος] ἐπὶ ἱκανὸν χρόνον βουρδουνά[ριος,] καὶ ἄλλας διαφόρους διακονίας ἐγχειρισθεὶς, ἀνεπιλήπτως καὶ ἀπταίστως διετέλεσεν, ὥστε θαυμάζειν σὺν τοῦ κοινοβίου πατέρας τὴν τοσαύτην ἐν νεαζούσῃ ἡλικίᾳ ἀρετήν τε καὶ ἐπιτηδειότητα.

B IX. Cæterùm quidam frater in Cœnobio degebat, Alexandrinus genere, nomine Johannes, qui à longo tempore obsecrabat beatum Theoctistum, ut Alexandriam dimitteretur, ad rectè disponenda parentum bona, quòd illos paullo ante obiisse comperisset; rogabatque ut socius itineris illi ex Monachis daretur Abbas ipse Sabas, laborum & molestiarum particeps futurus. Itaque beatus Theoctistus, C Johannis precibus cedens, mittit Abbatem Sabam cum eo Alexandriam. Cúmque Alexandriam pervenissent, & in Johannis paternis rebus quærendis occuparentur, agnitus est beatus Sabas à Sophia matre, & Johanne patre, qui mutato nomine Conon dicebatur, & Isaurorum numero seu cohorti imperabat; atque invitatus ab iis, ut illic maneret ac militaret, fieretque numeri veteranus & primus,

θ'. Ἦν δέ τις ἀδελφὸς ἐν τῷ κοινοβίῳ, Ἀλεξανδρεὺς μὲν τῷ γένει, Ἰωάννης δὲ τῇ κλήσει, ὅστις ἐπὶ συχνὸν χρόνον ἐδυσώπει τὸν μακάριον Θεόκτιστον ἀπολυθῆναι ἐπὶ Ἀλεξάνδρειαν, πρὸς τὸ τὰ γονικὰ πράγματα διαθεῖναι καλῶς, μαθὼν τετελευτηκέναι σὺν ἑαυτοῦ [γονεῖς πρὸ βραχέος καὶ] παρεκάλει [γενέσθαι συνέκδημον μοναχῶν αὐτὸν] Ἀββᾶν Σάβαν, [κοινωνὸν πόνων] καὶ κακοπα[θείας] ἐσόμενον. ὁ μὲν μακαρίτης Θεόκτιστος, C τοῦ τοῦ Ἰωάννου παρακλήσεσιν εἴξας, ἀποστέλλει τὸν Ἀββᾶν Σάβαν μετ' αὐτοῦ εἰς Ἀλεξάνδρειαν. αὐτῶν δὲ ἐν Ἀλεξανδρείᾳ γεγονότων, καὶ τῆς περὶ τῶν Ἰωάννου γονικῶν πραγμάτων ζήτησιν ἀδολεσχούντων, ἀνεγνωρίσθη ὁ μακαρίτης Σάβας, Σοφίᾳ τε τῇ μητρὶ, καὶ Ἰωάννῃ τῷ πατρὶ, Κόνωνι μετονομασθέντι, καὶ τῶν τῶν Ἰσαύρων νουμέρων κρατοῦντι καὶ προτραπεὶς ὑπ' αὐτῶν αὐτόθι μεῖναι καὶ στρατεύεσθαι, καὶ πρεσβύτερος τοῦ νουμέρου γενέσθαι,

ἀποπεμψάμενος αὐτοὺς ἔλεγε· ἐγὼ μὲν ἐστρατεύθην τῷ παμβασιλεῖ, [καὶ στρατεί]αν ἀρνήσασθαι οὐ δύναμαι· [ἐγκειμένους δὲ] ἀποστῆσαί με, [καὶ λιπαροῦν]τας, γονεῖς λέγειν οὐκ ἀνέχομαι. [διαμέ]νω γὰρ τῇ ἐμαυτοῦ ὁμολογίᾳ, ἕως τῆς ἐσχάτης ἀναπνοῆς, τελειωθῆναι ἐλπίζων ἐν τῇ σεμνῇ τῆς ἀσκήσεως πολιτείᾳ. ὡς οὖν πολλὰ μηχανησάμενοι οὐκ ἴσχυσαν χαυνῶσαι αὐτὸν καὶ κρατῆσαι παρ' ἑαυτοῖς, εἴκοσι νομίσματα παρεῖχον αὐτῷ εἰς ἀνάλωμα. ὁ δὲ οὐ κατεδέχετο. ἀλλ' ἰδὼν αὐτοὺς σφόδρα λυπηθέντας, λαβὼν τρία νομίσματα μόνα διὰ τὸ θεραπεῦσαι αὐτούς, ἐξῆλθεν εὐθέως ἀπὸ Ἀλεξανδρείας ἅμα τῷ συναποσταλέντι αὐτῷ Ἰωάννῃ· καὶ ἐλθὼν εἰς τὸ κοινόβιον, τὰ τρία νομίσματα εἰς τὰς χεῖρας τοῦ μεγάλου δέδωκε Θεοκτίστου.

ι'. Αὐτοῦ δὲ ἐν αὐτῷ τῷ κοινοβίῳ τὸν δέκατον διατελοῦντος ἐνιαυτὸν συνέβη τελευτῆσαι τὸν [τρισ]μακάριον Θεόκτιστον τρίτῃ τοῦ Σεπτεμβρίου μηνὸς, τῆς τετάρτης ἰνδικτιόνος. ὁ δὲ μέγας Εὐθύμιος ἐκεῖσε κατελθὼν, καὶ τὸ νικηφόρον κηδεύσας σῶμα, Μάριν τινὰ θαυμαστὸν, διάδοχον τῆς ἡγεμονίας κατέστησεν· ὅντινα ἐπὶ δύο χρόνους τῆς μονῆς κρατήσαντα, καὶ θεαρέστως τελειωθέντα, πάλιν ὁ μέγας κατελθὼν Εὐθύμιος, καὶ ἐν τῇ τοῦ μακαρίου Θεοκτίστου σορῷ καταθέμενος, Λογγίνῳ τινὶ ἐναρέτῳ

A rejecit eos, & dixit; Ego cooptatus sum in militiam omnium regis, neque eam abdicare possum; eos autem qui nituntur desertorem me facere atque obtestantur, parentes vocare non sustineo. In mea enim professione persevero usque ad extremum spiritum, atque spero me in sancto Asceseos proposito moriturum. Ut ergo post multas adhibitas machinas non potuerunt emollire ipsum, & apud se retinere, viginti num- B mos ad sumptum ei tradere volebant. Ille verò non accepit. Quòd tamen videret illos valde ideo esse tristes, tribus dumtaxat nummis sumptis, ut iis obtemperaret, statim Alexandriâ egressus est, unà cum Johanne, quicum missus fuerat; & ad Cœnobium reversus, tres nummos in manus magni Theoctisti tradidit.

x. Ubi autem eo in Cœnobio decimum annum Sabas C peregisset, contigit beatissimum Theoctistum mori, tertio mensis Septembris, indictione quartâ. Magnus verò Euthymius profectus, postquam corpus victoriosum sepelisset, Marim quemdam admirabilem virum successorem præfecturæ constituit. Quo post duos annos in Monasterii gubernatione transactos ex voluntate Dei defuncto, iterum descendens magnus Euthymius, & in beati Theoctisti tumulo eum deponens, Longino cuidam virtute

prædito committit Cœnobii præposituram. Tunc porrò pater noster Sabas jam trigesimum agens ætatis annum, verùm qui cunctos in Cœnobio majores natu superaret ratione jejunii, vigiliæ, lenitatis, humilitatis & obedientiæ, rogavit Abbatem Longinum, ut ei permitteret degere solitariè in spelunca quæ est extra Cœnobium in præcipitio ad Austrum. Qui Abbas Longinus considerans ipsius excellentem virtutem, morum constantiam & puritatem, ac in precibus studium & contentionem; petitione ejus ad magnum Euthymium relatâ, cùm hoc responsum accepisset; Noli impedire eum, quo minùs quæ vult certamina adeat; permittit ei, ut quinque hebdomadis diebus in spelunca ad Austrum vergente quietè ageret. At pater noster Sabas exoptatâ acceptâ permissione, annos quinque ibi transegit, hac usus vivendi ratione; ad vesperam quæ Dominicam subsequitur, exibat è Monasterio, cum ramis palmarum, in hebdomadæ usum, & quinque diebus perseverabat, absque ullo planè cibo, Sabbato autem manè veniebat in Cœnobium, secumque ferebat quæ per quinque dies manibus elaboraverat, quinquaginta videlicet sportulas plenas & integras. Quod vitæ institutum cùm eum tenere cognosceret magnus Euthymius, secum decimaquartâ

A τῆς τοῦ κοινοβίου ἐγχειρίζει προστασίαν. τότε δὴ ὁ πατὴρ ἡμῶν Σάβας τὸν τριακοστὸν ἤδη [ἄγων] τῆς ἡλικίας χρόνον, πλὴν ἅπαντας τοὺς ἐν τῷ κοινοβίῳ προβεβηκότας ὑπερακοντίζων, ἔν τε νηστείᾳ καὶ ἀγρυπνίᾳ καὶ [ἀορ]γησίᾳ, καὶ τῇ ταπεινοφροσύνῃ καὶ ὑπακοῇ, παρεκάλεσε τὸν Ἀββᾶν Λογγῖνον ἐπιτρέψαι αὐτῷ ἡσυχάσαι ἐν σπηλαίῳ, ὅ τι ἔξωθεν τοῦ κοινοβίου εἰς τὸν κατὰ νότον κρημνόν. ὅστις Ἀββᾶς Λογγῖνος θεωρῶν αὐτοῦ τὴν διαφέρουσαν ἀρετὴν, τὸ εὐσταθές τε τοῦ ἤθους, καὶ τὸ καθαρὸν τοῦ τρόπου, καὶ τὸ ἐν ταῖς προσευχαῖς σπουδαῖόν τε καὶ εὔτονον, καὶ ἀνενέγκας τὰ κατ' αὐτὸν τῷ μεγάλῳ Εὐθυμίῳ, καὶ ἀκούσας ὅτι μὴ ἐμποδίσῃς αὐτῷ ἀγωνίσασθαι ὡς βούλεται, [ἐπιτρέπει αὐτῷ] τὰς πέντε τῆς ἑβδομάδος ἡμέρας ἡσυχάζειν ἐν τῷ [πρὸς νότον] σπηλαίῳ. ὁ δὲ πατὴρ ἡμῶν Σάβας τήν τε περιπόθητον δεξάμενος ἐπιτροπὴν, ἔμεινεν ἐπὶ πέντε χρόνοις, τοιαύτην ἔχων διαγωγήν· κατὰ τὴν ἑσπέραν C τῆς μετὰ τὴν κυριακὴν ἐξήρχετο τοῦ κοινοβίου, ἔχων θάλλους βαΐων, τὴν χρείαν τῆς ἑβδομάδος, καὶ διέμενε τὰς πέντε ἡμέρας, μηδενὸς τὸ σύνολον μεταλαμβάνων, καὶ τῷ σαββάτῳ ἕωθεν ἤρχετο εἰς τὸ κοινόβιον, φέρων μεθ' ἑαυτοῦ τῶν πέντε ἡμερῶν ἐργόχειρον, πεντήκοντα μαλάκια πεπληρωμένα. ταύτην ἔχειν αὐτὸν τὴν πολιτείαν γνοὺς ὁ μέγας Εὐθύμιος, ἐλάμβανεν αὐτὸν μεθ' ἑαυτοῦ κατὰ τὴν τεσσαρεσκαιδεκάτην

τοῦ

τοῦ Ἰαννουαρίου [μηνὸς] εἰς τὴν πανέρημον τῆς Ῥουβᾶ σὺν ἅμα Δομετιανῷ τῷ μακαρίῳ, [πληροφο] ρίαν ἔχων εἰς αὐτὸν, καὶ παιδαριογέροντα αὐτὸν ὀνομάζων, καὶ [ὡς] καλὸς παιδοτρίβης προεβίβαζεν αὐτὸν καὶ ἐγύμναζεν εἰς ὑψηλοτέρας ἀρετάς. αὐτόθι γὰρ διετέλουν, ἕως τῆς τῶν βαΐων ἑορτῆς, πάσης ἀνθρωπίνης χωριζόμενοι ἀναστροφῆς. A

ια'. Ἐξῆλθε δέ ποτε ἐκ τῆς Ῥουβᾶ ὁ μέγας Εὐθύμιος, τὴν ἔρημον διοδεῦσαι βουλόμενος, τὴν ἐπέκεινα τῆς νεκρᾶς B θαλάσσης πρὸς μεσημβρίαν, ἑπομένους ἔχων Δομετιανὸν καὶ Σάβαν· καὶ ἐλθόντων εἰς τόπους ἀνύδρους, καὶ χρονισάντων, σφοδροῦ [καύματος] ὄντος, διψήσας λίαν ὁ μακαρίτης Σάβας, ἔπεσεν μηκέτι ἰσχύων βαδίσαι· τῆς ἐν τῷ βάθει τῶν σπλάγχνων ὡς οἶμαι ὑγρότητος ὑπὸ τοῦ σφοδροῦ καύσωνος ἀναλωθείσης. ὁ δὲ γέρων σπλαγχνισθεὶς, καὶ διαχωρίσας ἑαυτὸν ὡσεὶ λίθου βολὴν, ἔπεσεν ἐπὶ πρόσωπον δεόμενος τοῦ C θεοῦ καὶ λέγων· Κύριε ὁ θεὸς δὸς ὕδωρ ἐν γῇ διψώσῃ, τὴν τοῦ νεωτέρου δίψαν παραμυθούμενον. καὶ μετὰ τὴν εὐχὴν καλέσας αὐτὸν, καὶ τρίτον τῷ σκαλιδίῳ ὀρύξας, ἔδειξεν αὐτῷ ὕδωρ ζῶν. καὶ πιὼν ὁ Σάβας ἦλθεν εἰς ἑαυτὸν, καὶ ἐξ ἐκείνου δύναμιν θείαν ἐδέξατο πρὸς τὸ ὑποφέρειν τὰ δυσχερῆ τῆς ἐν ἐρήμῳ διαγωγῆς. ὀλίγου δέ τινος χρόνου παραπτάσαντος ὁ μέγας πατὴρ ἡμῶν Εὐθύμιος

mensis Januarii ducebat in vastam Rubæ solitudinem una cum beato Domitiano, utpote de eo planè certus, cumque nominans puerosenem; atque velut præclarus puerorum educator, provehebat ipsum exercebatque ad excelsiores virtutes. Illic quippe usque ad festum palmarum commorabantur, ab omni humana conversatione sejuncti.

Vide cap. 6. Sozom. III. 14. Pallad. Laus. 19.

XI. Exiit aliquando è Ruba magnus Euthymius, trajicere volens solitudinem quæ est ultra mare mortuum meridiem versùs, comitibus Domitiano & Saba: cúmque venissent in loca aquæ expertia, ibique diu morarentur, inter magnum æstum, vehementi siti correptus beatus Sabas, cecidit, nec ampliùs progredi valebat; humore, opinor, qui in imo viscerum insitus est, per ingentem æstum consumpto. Senex autem misericordiâ tactus est, sejunxit se quasi ad jactum lapidis, & in faciem procidit, Deum precatus ad hunc modum; Domine Deus, da in terra sitienti aquam, quæ juvenis sitim sedet. Atque post precem, vocavit eum, cúmque ter sarculo parvo fodisset, aquam vivam ei ostendit. Bibit Sabas, & ad se rediit; atque ab eo tempore vim divinam accepit, ad ferendas vitæ eremiticæ difficultates. Pauco autem tempore ab hinc præter lapso, magnus pater noster Euthymius

Ps. iv. 9. 10 in pace inidipsum dormivit & A requievit, quòd Dominus singulariter in spe ipsum constituisset; anno decimoquinto pontificatûs Anastasii Hierosolymis.

XII. Tunc magnus Sabas, completo anno ætatis trigesimoquinto, intuitus Cœnobii disciplinam mutatam esse, utpote morte consummatis Monasterii patribus, in solitudinem Orientalem secessit, ubi sanctus Gerasimus per illud tempus instar luminaris reful- B geret, ac in solitudine quæ est circa Jordanem pietatis semina spargeret. Cùm ergo pater noster Sabas in solitudine quæ ad Cutilam * degeret, ac Davidicum illud eloquium opere
Ps. liv. 8. ipso psalleret; *Ecce elongavi fugiens, & mansi in solitudine*: indeque quieti, silentio, jejunio, & precibus assiduis vacaret; necnon mentem suam speculum immaculatum Dei divinorumque efficeret, secundùm id quod scriptum est; C
Ps. xlv. 11. *Vacate, & cognoscite quoniam ego sum Deus*: invidiâ motus Diabolus, multas adversùs eum excogitavit tentationes, quò ab hujusmodi vitæ instituto illum abstraheret. Et aliquando quidem, Sabâ super arenam recumbente ad medium noctis, transfiguratus in serpentes & scopios, terrere ipsum nitebatur. Is verò parùm veritus, intellexit Diaboli improbam vexationem, &

A [ἐν εἰρήνῃ] ἐπὶ τὸ αὐτὸ ἐκοιμήθη καὶ [ὕπνωσε,] τοῦ κυρίου καταμόνας ἐπ' ἐλπίδι κατοικήσαντος αὐτόν· ἔτους πεντεκαιδεκάτου τῆς ἐν Ἱεροσολύμοις ἱεραρχίας Ἀναστασίου.

ιβ'. Τότε δὴ ὁ μέγας Σάβας τοῦ τριακοστοῦ πέμπτου τῆς ἑαυτοῦ ἡλικίας χρόνου πληρωθέντος, θεασάμενος τὴν τοῦ κοινοβίου διαγωγὴν ἀλλοιουμένην, ἅτε δὴ τῶν τῆς μονῆς πατέρων τελειωθέντων, ἀνεχώρησεν ἐπὶ τὴν ἀνατολικὴν ἔρημον, τοῦ ἐν ἁγίοις Γερασί- B μου τὸ τηνικαῦτα φωστῆρος δίκην ἐκλάμποντος, καὶ ἐν τῇ κατὰ τὸν Ἰορδάνην ἐρήμῳ τὰ τῆς θεοσεβείας κατασπείροντος σπέρματα. Τοῦ μέντοι πατρὸς ἡμῶν Σάβα ἐν τῇ κατὰ τὸν Κουπλὰν * διάγοντος ἐρήμῳ, καὶ [Δαυιτι] κἀκεῖνο λόγιον ἔργῳ ψάλλοντος, τό, ἰδοὺ ἐμάκρυνα φυγαδεύων, καὶ ηὐλίσθην ἐν τῇ ἐρήμῳ· [εἶτα] τῇ τε ἡσυχίᾳ καὶ τῇ ἀσιτίᾳ καὶ ταῖς ἀπαύστοις προσευχαῖς σχολάζοντος, καὶ τὴν ἑαυτοῦ διάνοιαν ἔσοπτρον C ἀκηλίδωτον θεοῦ καὶ τῶν θείων ἐργαζομένου, κατὰ τὸ γεγραμμένον· σχολάσατε καὶ γνῶτε ὅτι ἐγώ εἰμι ὁ θεός· φθονήσας ὁ διάβολος, πολλοὺς ἐπινόει κατ' αὐτοῦ πειρασμούς, βουλόμενος αὐτὸν τῆς τοιαύτης ἀποστῆσαι διαγωγῆς. καί ποτε ἀνακειμένου αὐτοῦ ἐπὶ τῆς ψάμμου ἐν μεσονυκτίῳ, μετασχηματισθεὶς εἰς ὄφεις καὶ σκορπίους, ἐπειρᾶτο ἐκφοβεῖν αὐτόν. ὁ δὲ μηδὲν δειλιάσας, ἐνόησε τοῦ διαβόλου τὴν [ἐπήρει]αν, καὶ

κατασφραγισάμενος, [καὶ] τὴν δειλίαν ἀποτιναξάμενος, ἀνέστη θαρρῶν καὶ λέγων· ὅταν κατισχύσῃς φοβῆσαί με, τότε ἡττηθήσῃ, ὅτι μετ' ἐμοῦ κύριος ὁ θεός ἐστιν, ὁ δοὺς ἡμῖν τὴν κατὰ σοῦ δυναστείαν εἰπών· ἰδοὺ δέδωκα ὑμῖν ἐξουσίαν πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ. καὶ ταῦτα αὐτοῦ λέγοντος, ἀφανῆ παραυτίκα γέγονε τὰ ἰοβόλα. ἄλλοτε πάλιν φαίνεται αὐτῷ ὁ σατανᾶς ἐν ὁμοιώματι λέοντος φοβερωτάτου, ἐπερχομένου καὶ βλοσυρὸν ἀπειλοῦντος. ὁ δὲ τὴν φοβερὰν τοῦ θηρίου ὁρμὴν θεασάμενος, ἔλεγεν· εἰ ἔλαβες κατ' ἐμοῦ ἐξουσίαν, τί ἀναμένεις; εἰ δὲ μήγε, τί μάτην κοπιᾷς; ἐμὲ γὰρ τοῦ θεοῦ ἀποστῆσαι μὴ ἰσχύσῃς· αὐτὸς γὰρ θαρρεῖν παρεκαλέσατό μοι λέγων· ἐπὶ ἀσπίδα καὶ βασιλίσκον ἐπιβήσῃ, καὶ καταπατήσεις λέοντα καὶ δράκοντα. καὶ τούτων λεχθέντων, εὐθέως τὸ τοιοῦτον θηρίον γέγονεν ἄφαντον. καὶ ἀπὸ τότε ὑπέταξεν αὐτῷ ὁ θεὸς πᾶν ἰοβόλον τε καὶ σαρκοβόρον θηρίον, καὶ τοῖς τοιούτοις ἐν ταῖς ἐρήμοις συναναστρεφόμενος οὐκ ἠδικεῖτο.

ιγ'. Κατ' αὐτὸν δὲ τὸν χρόνον συνηντήθη τρισὶν ἀνδράσι Σαρακηνοῖς, πεινῶσι καὶ ἐκλείπουσι, καὶ τούτοις συμπαθήσας, ἐπέτρεψε καθίσαι, καὶ ἐκένωσε τὸ ἑαυτοῦ μηλωτάριον ἔμπροσθεν αὐτῶν, μηδὲν ἕτερον ἔχον πλὴν ῥίζας

A signo crucis facto, timorem excussit, surrexitque confidens, ac dicens; Cùm invalueris ad perterrefaciendum me, tunc vinceris, quia mecum Dominus Deus est, qui adversùs te imperium nobis dedit dicendo; *Ecce dedi vobis potestatem calcandi supra serpentes & scorpiones, & super omnem virtutem inimici.* Luc. x. 19. Quibus per Sabam pronunciatis, confestim venenata animalia disparuerunt. Alia iterum vice Satanas B ei apparuit in similitudine formidabilissimi leonis adorientis & aspectu truculento minantis. Ille autem terribilem feræ impetum intuitus, dixit; Si accepisti contra me potestatem, quid exspectaveris? sin minus, cur frustra laboras? me quippe à Deo avellere non poteris: quoniam ipse ad capiendam fiduciam me adhortatus est hoc dicto; *Super aspidem & basiliscum ambulabis, & conculcabis leonem & draconem.* Ps. xc. 13. C Post quæ prolata, confestim ejusmodi bellua non ampliùs comparuit. Atque ex eo Deus ipsi subjecit omnia venenata & carnivora animalia, à quibus non lædebatur, etsi inter ea in solitudinibus degeret.

XIII. Eodem tempore tribus Saracenis obviam fit, esurientibus, eosque miseratus sedere jussit, & coram ipsis pelliculam suam ovillam vacuavit, qui nihil aliud haberet præter radices

melagriorum & medullis arundinum. Tum barbari quidem illi comederunt ac satiati sunt; postea verò exploraverunt in quanam Rubæ spelunca maneret; cúmque post aliquot dies copia suppeteret, panes & caseolos cum palmulis ei attulerunt. Pater autem noster Sabas admiratus barbarorum gratam mentem, & compunctione ductus, dixit cum lacrymis; Hei mihi, anima mea, quantum barbari isti adhibuerunt studium referendi gratiam de accepto nullius precii beneficio? Quid acturi sumus nos miseri & ingrati, qui tot tantisque divinis charismatibus ac donis quotidie perfruentes, sic tamen in negligentia & segnitie nostram vitam consumimus, nec studemus donatori Deo per exsecutionem præceptorum ejus placere, atque sine intermissione offerre ei *fructum labiorum confitentium nomini ejus?* Ac diu perseveravit in hac compunctione, dies noctesque in oratione ad Deum transigens.

* In Metaphr. οἴμοι

Hebr. XIII. 15.

XIV. Porrò in hoc ad Rubam deserto, accessit ad eum quidam Monachus commemoratione dignus, Anthus nomine, mansitque cum eo; qui & unà cum beatissimo Abbate Theodosio per tempus aliquod in Ecclesia Cathismatis seu sessionis conversatus fuerat. Ambobus ergo in eadem degentibus solitudine, ecce irruerunt in

A μελαγρίων καὶ καρδίας καλάμων. καὶ οἱ μὲν βάρβαροι φαγόντες καὶ χορτασθέντες, περιεργασάμενοι ἐν ποίῳ σπηλαίῳ τοῦ Ῥουβᾶ μένει, εὐπορήσαντες μεθ' ἡμέρας, ἤνεγκαν αὐτῷ ἄρτους καὶ τυρία καὶ φοίνικας. ὁ δὲ πατὴρ ἡμῶν Σάβας τὴν τῶν βαρβάρων εὐγνωμοσύνην θαυμάσας, καὶ κατανυγείς, ἔλεγε μετὰ δακρύων· * οἴμμοι ψυχή μου, πόσην ἔθεντο οὗτοι οἱ βάρβαροι σπουδὴν τοῦ μηδὲν οὔσης θεραπείας B τὴν χάριν ἀνταμείψασθαι; τί ποιήσωμεν ἡμεῖς οἱ ἐλεεινοὶ καὶ ἀγνώμονες, οἱ τοσούτων θείων χαρισμάτων καὶ δωρεῶν καθ' ἡμέραν ἀπολαύοντες, καὶ οὕτως ἐν ἀμελείᾳ καὶ ῥαθυμίᾳ τὸν ἑαυτῶν ἀναλίσκοντες βίον, μὴ σπουδάζοντες εὐαρεστεῖν [τῷ δωρεοῦντι] ἐν ῷ θεῷ διὰ τῆς ἐργασίας τῶν αὐτοῦ ἐντολῶν, καὶ ἀδιαλείπτως προσφέρειν αὐτῷ καρπὸν χειλέων ὁμολογούντων [τῷ ὀνόματι] τι αὐτοῦ; καὶ ἐπέμενεν ἐπὶ C [πολὺ] τῇ τοιαύτῃ κατανύξει, διημερεύων καὶ διανυκτερεύων ἐν τῇ προσευχῇ τοῦ θεοῦ.

ιδ'. Ἐν αὐτῇ δὲ τῇ κατὰ τὸν Ῥουβᾶν ἐρήμῳ, ἦλθε πρὸς αὐτὸν μοναχός τις ἀξιομνημόνευτος, Ἄνθος προσαγορευόμενος, καὶ συνέμεινεν αὐτῷ· ὅστις καὶ τῷ τρισμακαρίῳ Ἀββᾷ Θεοδοσίῳ ἐπὶ χρόνον ἐν τῇ τοῦ καθίσματος ἐκκλησίᾳ συναναστραφῇ. αὐτῶν τοίνυν ἐν τῇ αὐτῇ διαγόντων ἐρήμῳ, ἐπέρριψαν κατ'

αὐτῶν Σαρακηνοί, τὸν ἀριθμὸν ἕξ, τὸ ἦθος βάρβαροι, τῇ γνώμῃ κακοποιοί· οἵτινες [συναι] ρόμενοι, προέπεμψαν [ἑαυτῶν ἕνα] εἰς τὸ πειράσαι τοὺς μακαρίους, τοῦτο βουλευσάμενοι, ὥστε ἐλθεῖν, καὶ τοὺς ἀμφοτέρους αἰχμαλωτίσαι, εἰ τῷ ἑνὶ ἐναντιωθῶσιν. οἱ δὲ μακάριοι πατέρες, τὴν ἀνάγκην ἑωρακότες, καὶ μηδόλως εἰς δειλίαν καταπεσόντες, ἀλλὰ τῷ τῆς ψυχῆς ὄμματι πρὸς θεὸν ἀναδραμόντες, προσηύχοντο ἐκτενῶς τῆς τῶν ἀλιτηρίων ἐκείνων βαρβάρων ἐπιδρομῆς λυτρωθῆναι. καὶ παραχρῆμα ἠνοίχθη ἡ γῆ, καὶ κατέπιε τὸν πειράζειν αὐτοὺς ἐλθόντα βάρβαρον· οἱ δὲ λοιποὶ τὸ φοβερὸν θαῦμα ἑωρακότες, καὶ δέει συσχεθέντες, ἔφυγον. καὶ ἀπὸ τότε θεῖον ἐδέξατο χάρισμα ὁ πατὴρ ἡμῶν Σάβας, πρὸς τὸ μὴ πτοεῖσθαι ἐπιβουλὰς βαρβάρων. τότε δὴ ἐν πρώτοις διὰ τῆς τοῦ μακαρίου Ἄνθου συναναστροφῆς ἐγνωρίσθη ὁ μέγας πατὴρ ἡμῶν Σάβας τῷ μακαρίτῃ Ἀββᾷ Θεοδοσίῳ, πρὸ τῆς συστάσεως τῆς κατ' αὐτὸν εὐαγεστάτης μονῆς.

ιε'. Τετραετῆ δὲ χρόνον ἐν ἐκείναις ταῖς ἐρήμοις διατελέσαντι τῷ ἁγίῳ πατρὶ ἡμῶν Σάβᾳ, καὶ περιερχομένῳ τοὺς λοιποὺς ἐρημοτέρους τόπους, γενομένῳ αὐτῷ εἰς τὸν ὑψηλότατον βουνόν, ἔνθα ποτὲ ἡ μακαρία Εὐδοκία τῆς διδασκαλίας τοῦ μεγάλου ἀπήλαυσεν Εὐθυμίου, καὶ τῇ πρὸς θεὸν δεήσει

A eos Saraceni numero sex, moribus barbari, voluntate & animo malefici; qui consilio inter se sumpto, unum è suis ad tentandos beatos præmiserunt, hoc commenti, ut si ei uni sese opponerent, ipsi progrederentur, ac utrumque in captivitatem ducerent. At beati patres, conspectâ necessitate, nec ideo ullatenus in formidinem delapsi, sed animæ oculo ad Deum recurrentes, contentè precabantur, ut à bar-
B barorum illorum prædonum incursione eriperentur. Et illico aperta est terra, atque barbarum qui ad tentandos ipsos venerat absorpsit; reliqui verò duo post terribile miraculum conspectum, timore correpti, aufugerunt. Atque ex eo tempore divinum accepit munus pater noster Sabas, ut barbarorum insidias nequaquam expavesceret. Tunc etiam primùm per beati Anthi conversationem & societatem, magnus
C pater noster Sabas beato Abbati Theodosio notus evasit, antequam hic suum illud sanctissimum Monasterium constituisset.

XV. Post quatuor annos in illis solitudinibus transactos, dum sanctus pater noster Sabas reliqua magis deserta loca peragrat, venitque ad altissimum illum collem, in quo olim beata Eudocia magni Euthymii doctrinæ fructum cepit, & in precibus ad Deum fusis

A pernoctat, apparuit ei quædam forma Angelica, in veste refulgente, ac ostendit illi ad Austrum collis torrentem qui à Siloe delabebatur, dixitque; Si omnino cupis hanc solitudinem instar urbium habitatam reddere, sta ad Orientem illius torrentis, & cernes ex adverso speluncam intactam; ascende, in illa habita; atque ille *qui præbet jumentis escam ipsorum, & pullis corvorum invocantibus eum*, ipse tibi providebit. (Ps. CXLVI. 9.) Hucusque visum illud. Sabas verò B ad se veniens, & torrentem illum Australem sibi monstratum intuitus, perlætus è colle descendit, atque à Deo deductus, speluncam reperit, ut in apparitione pronunciatum ipsi fuerat; & ascendens habitavit eam, principio quadragesimi ætatis suæ anni; quo tempore Anastasius quidem Hierosolymorum Archiepiscopus, post impletos novemdecim in Patriarchatu annos, vivendi finem fecit, Martyrio in succes- C sorem relicto; Zeno autem Romanorum Imperator, occiso Basilisco tyranno, imperium suum recuperavit. Tunc pater noster Sabas dictam speluncam habitare incipiens, propter ascensûs difficultatem, funiculo ad ostium appenso, per illum ascendebat & descendebat. habebat autem aquam ab stadiis circiter circiter quindecim, ex lacu cui nomen Heptastomus sive septem habens ostia.

A διαγρυκτερεύοντι, ἐπιφαίνεταί τις μορφὴ ἀγγελική, ἐν ἐσθῆτι ἀστραπτούσῃ, δεικνύουσα [αὐτῷ] κατὰ νότον τοῦ αὐτοῦ βουνοῦ χείμαρρον τὸν ἀπὸ τοῦ Σιλωὰμ [κατα] φερόμενον, καὶ λέγουσα· εἰ ὅλως βούλει τὴν ἔρημον ταύτην πολίσαι, στῆθι κατὰ ἀνατολὰς τοῦ χειμάρρου ἐκείνου, καὶ ὁρᾷς ἀντικρὺς σπήλαιον ἀνεπηρέαστον, ἄνελθε καὶ οἴκισον εἰς αὐτό, καὶ ὁ παρέχων τοῖς κτήνεσι τροφὴν αὐτῶν, καὶ τοῖς νεοσσοῖς τῶν κοράκων τοῖς ἐπικαλουμένοις αὐτόν, B αὐτὸς σοῦ προνοήσεται· ἕως μὲν τούτων ἡ ὀπτασία. αὐτὸς δὲ εἰς ἑαυτὸν ἐλθών, καὶ τὸν κατὰ νότον ὑποδειχθέντα θεασάμενος χείμαρρον, καὶ περιχαρὴς γεγονώς, κατῆλθεν ἐκ τοῦ βουνοῦ, καὶ ὑπὸ τοῦ θεοῦ ὁδηγούμενος, εὗρε [σπήλαιον] καθὼς ἐλαλήθη πρὸς αὐτὸν ἡ ὀπτασία. καὶ ἀνελθὼν [ᾤκησεν] ἐν αὐτῷ, ἐν ἀρχῇ τοῦ τεσσαρακοστοῦ τῆς ἑαυτοῦ ἡλικίας χρόνου. ἐν ᾧ χρόνῳ ὁ μὲν ἀρχιεπίσκοπος Ἱεροσολύμων Ἀναστάσιος, τὸν ἐννεακαιδέκατον ἐν τῇ πατριαρχίᾳ C πληρώσας ἐνιαυτόν, ἐτελεύτησε, Μαρτύριον διάδοχον καταλείψας· Ζήνων δὲ ὁ τῶν Ῥωμαίων αὐτοκράτωρ, τὸν τύραννον φονεύσας Βασιλίσκον, τὴν οἰκείαν ἀπέλαβε βασιλείαν. τότε δὴ ὁ πατὴρ ἡμῶν Σάβας, τὸ εἰρημένον οἰκήσας σπήλαιον, διὰ τὴν τῆς ἀναβάσεως δυσχέρειαν, σχοινίον περὶ τὸ στόμιον κρεμάσας, δι' αὐτοῦ ἀνήρχετο καὶ κατήρχετο. εἶχε δὲ τὸ ὕδωρ ὡς ἀπὸ σταδίων δεκαπέντε ἀπὸ λάκκου λεγομένου ἑπταστόμου.

χρόνου δέ τινος δι[ελθόντος] καὶ τεσσάρων Σαρακηνῶν ἐπελθόντων τῷ τόπῳ, καὶ εἰς τὸ σπήλαιον ἀνελθεῖν μὴ δυνηθέντων, θεωρήσας ὁ ἡγιασμένος Σάβας ἄνωθεν, καὶ τὸ χοινίον χαλάσας ἐπέτρεψεν αὐτοῖς ἀνελθεῖν. οἵτινες βάρβαροι ἀνελθόντες, καὶ μηδὲν αὐτῷ εὑρηκότες, ἐθαύμασαν τὴν αὐτοῦ ἀκτημοσύνην καὶ ἀρετήν· καὶ ἀναχωρήσαντες ἤρχοντο δι' ἡμερῶν πρὸς αὐτὸν, φέροντες ἄρτους ξηροὺς καὶ τυρία καὶ φοίνικας, καὶ εἴτι ἕτερον ἐνέπιπτεν αὐτοῖς. A B

ις'. Ἐποίησε δὲ ἐν τῷ χειμάρρῳ τούτῳ μόνος ἔτη πέντε, καθ' ἑαυτὸν ἐν ἡσυχίᾳ ὁμιλῶν [μόνῳ θεῷ] καὶ τὸν τῆς διανοίας ὀφθαλμὸν ἐκκαθαίρων, πρὸς τὸ ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν κυρίου κατοπτρίζεσθαι, ἡττηθέντων ἤδη τῶν πονηρῶν πνευμάτων, τῇ τε ἀπαύστοις προσευχαῖς, καὶ τῇ πρὸς θεὸν ἐγγύτητι. καὶ οὕτως λοιπὸν τῷ τεσσαρακοστῷ πέμπτῳ τῆς ἑαυτοῦ ἡλικίας χρόνῳ, ψυχῶν προστασίαν παρὰ θεοῦ πιστεύεται, προτραπεὶς ὑπὸ τοῦ θείου λόγου, μὴ τοῖς ἡττημένοις ἐχθροῖς, μάτην προσασχολεῖσθαι, ἀλλ' ἀπὸ τῆς πολεμικῆς ἕξεως μετασκευάσαι τὰς τῆς πολεμικῆς δυνάμεις, ἐπὶ τὸ γεωργεῖν τοὺς ὑλομανοῦντας τοῖς τῆς κακίας λογισμοῖς, ἐπ' ὠφελείᾳ τῶν πολλῶν· ἐν τῷ λέγειν τὸν προφήτην· συγκόψατε τὰς μαχαίρας ὑμῶν εἰς ἄροτρα, καὶ τὰς ζιβύνας εἰς δρέπανα. καὶ ἤρξατο πάντας δέχεσθαι τοὺς ἐρχομένους πρὸς αὐτόν. C

Interjecto verò pauco tempore, quatuor Saraceni ad locum supervenerunt, nec poterant in speluncam ascendere; tum desuper intuitus sacer Sabas, demisso fune, ascensum permisit. Qui barbari postquam ascendissent, nihilque apud eum reperissent, hominis inopiam ac virtutem admirati sunt; cúmque recessissent, per certos dies ad illum proficiscebantur, siccosque panes, caseolos, dactylos, & si quid aliud illis occurreret, afferebant.

XVI. Cæterùm solus in hoc torrente mansit ad annos quinque, apud semetipsum, in quiete ac silentio, cum solo Deo conversans, & mentis oculum purgans, ut specularetur Domini gloriam II.Cor. facie revelatâ, devictis jam III. 18. per assiduas preces & ad Deum propinquitatem malis spiritibus. Ad eumque modum jam quadragesimoquinto ætatis anno, animarum curam præfecturamque à Deo commissam recepit, inductus à divino verbo, ut circa superatos hostes non frustra occuparetur, sed ab habitu bellandi, facultates animæ ad excolendos eos qui vitiosis cogitationibus sylvescerent, in multorum utilitatem converteret; dicente propheta; *Contundite gladios vestros in* Is. II. *aratra, & lanceas in fal-* 4. *ces.* Tum cunctos qui ad se accederent cœpit admittere.

Quocirca è dispersis Anachoretis Boscisque plurimi re compertâ, cum eo manserunt; quos inter erant, tum sanctus Johannes, qui postea novæ Lauræ præfuit, tum beatus Jacobus, qui Lauram Turriculatum sequentibus temporibus constituit, beatus Firminus, qui ad tractum Machmas Lauram construxit, & ob Monachicas virtutes reverendus Severianus, qui deinde Monasterium Pericaparbaricha dictum ædificavit; præterque hos etiam Julianus cognomento curvus, Lauræ in Jordane appellatæ Neelceraba conditor, & alii cum eis, *quorum nomina sunt in libro vitæ*. Atque horum unicuique ad se venienti, idoneum locum præbuit, qui constabat parva cellula & spelunca: pervenitque per Dei gratiam ipsius congregatio usque ad septuaginta homines, cunctos à Deo inspiratos, cunctos Christiferos; quos si quis chorum Angelorum nuncupaverit, aut athletarum populum, aut religiosorum urbem, vel septuaginta Apostolorum alium novum chorum, à decoro non aberrabit. Et erat eorum præpositus, deductor, pastor. Post complexionem autem primùm in colle qui est in Aquilonari torrentis initio ædificat, meditatus turrem ponere, quòd locus esset inexpugnabilis. Hinc cœpit Lauram constituere, gratiâ & auxilio dirigentis cum

* Metaphr. Μαλιχᾶ

* An. ἕτεροι Philipp. IV. 3.

A πλεῖστοι τοίνυν τῶν διεσπαρμένων ἀναχωρητῶν καὶ τῶν βοσκῶν μαθόντες, συνέμενον αὐτῷ· ἐν οἷς ἦσαν ὅ τε ἐν ἁγίοις Ἰωάννης, ὁ τῆς νέας λαύρας ὕστερον ἡγησάμενος, καὶ ὁ μακαρίτης Ἰάκωβος, ὁ τὴν ἐν τῷ Ἰορδάνῃ τῶν πυργίων λαύραν μετὰ ταῦτα συστησάμενος, καὶ ὁ μακαρίτης Φιρμῖνος, ὁ ἐπὶ τὰ μέρη * Μαχμὰς λαύραν συστησάμενος, καὶ ὁ ἐν μοναχικοῖς κατορθώμασιν αἰδέσιμος Σευηριανός, ὁ τὴν Περικαπαρ- B βαριχᾶ μονὴν μετὰ ταῦτα οἰκοδομήσας· πρὸς τούτοις καὶ Ἰουλιανὸς ὁ ἐπίκλην Κυρ[τὸς, ὁ τὴν] ἐν τῷ Ἰορδάνῃ τὴν Νεελκεραβᾶ προσαγορευομένην λαύραν συστησάμενος· καὶ * ἕτεροι σὺν αὐτοῖς, ὧν τὰ ὀνόματα ἐν βίβλῳ ζωῆς. καὶ ἑκάστῳ τούτων ἐρχομένῳ πρὸς αὐτὸν, παρεῖχεν ἐπιτήδειον τόπον ἔχοντα μικρὸν κελλίον καὶ σπήλαιον· καὶ ἔφθασε τῇ τοῦ θεοῦ χάριτι ἡ αὐτοῦ συνοδία μέχρις ἑβδομήκοντα ὀνομάτων, πάντων θεοπνεύστων, πάν- C των Χριστοφόρων· οὓς ἐάν τις καλέσειε χορὸν ἀγγέλων, ἢ δῆμον ἀθλητῶν, ἢ πόλιν εὐσεβῶν, ἢ ἑβδομήκοντα ἀποστόλων ἕτερον νέον χορὸν, οὐ διαμαρτήσῃ τοῦ πρέποντος. καὶ ἦν ἡγούμενος αὐτῶν καὶ ὁδηγὸς, καὶ ποιμήν. καὶ κτίζει ἐν πρώτοις ἐν τῷ βουνῷ τῷ ἐν τῇ βορεινῇ ἀρχῇ τοῦ χειμάρρου μετὰ τὴν σύλληψιν, πύργον [θέσ]θαι τοῦ τόπου βουλευσάμενος ἀπαραλήπτου ὄντος. ἐκεῖθεν ἀρχὴν ἐποιήσατο συνιστᾶν τὴν λαύραν, τῇ τοῦ ὁδηγοῦντος αὐτὸν

ἁγίου

ἁγίου πνεύματος χάριτι καὶ συνεργ-A
ίᾳ. ἐν δὲ τῷ μέσῳ τοῦ χειμάῤῥου, μικρὸν εὐκτήριον ᾠκοδόμησε, καὶ θυσιαστήριον ἡγιασμένον ἔπηξεν· καὶ ὅτε τινὰ ξένον παραβάλλοντα ἐδέχετο, χειροτονίαν ἔχοντα πρεσβυτέρου, ἐποίει αὐτὸν ἐκτελεῖν ἐν τῷ εὐκτηρίῳ τὴν ἁγίαν ἀναφοράν. οὐ γὰρ κατεδέχετο αὐτὸς χειροτονίαν λαμβάνειν. εἶχε γὰρ πραότητα πολλὴν, καὶ ταπεινοφροσύνην ἀληθῆ· μιμούμενος ἐν τούτῳ Χριστὸν τὸν ἀληθινὸν θεὸν, ἑαυτὸν παρεχόντα B
τοῖς βουλομένοις εἰς μίμησιν, φήσαντα· μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι, καὶ ταπεινὸς τῇ καρδίᾳ. πρὸς τοῦτο τὸ ὑπόδειγμα βλέπων, καὶ ἐταπείνου ἑαυτὸν, πάντων τῶν ὑπ' αὐτὸν ἐλάχιστον καὶ ὑπηρέτην καθιστῶν ἑαυτόν. ἕνα δὲ ἕκαστον αὐτῶν, ὡς πάντων ἐν πείρᾳ γεγονὼς, ἐδίδασκε καὶ ἐνουθέτει στῆναι γενναίως πρὸς τὰς μεθοδείας τοῦ διαβόλου, καὶ μηδόλως ἐνδοῦναι, ἢ λύπῃ τινὶ καταπίπτειν ἐκ τῆς ποικίλης τῶν δαι-C
μόνων πονηρίας. δεῖν γὰρ ἔλεγε τὸν κεκαθαρμένον, καὶ ἑαυτὸν τῷ θεῷ καθιερώσαντα, τῇ ἐλπίδι τῶν μελλόντων ἀγαθῶν περιπεφράχθαι. ἀνάνδρου γὰρ ψυχῆς ἐστὶν ἴδιον, ὑποπίπτειν τοῖς [πόνοις.] τούτοις καὶ τοῖς τοιούτοις ἔργοις καὶ λόγοις τὰς ψυχὰς αὐτῶν ἔτι [εφε] καὶ ἀρδεύων οὐ διελίμπανε· καὶ πτερὰ αὐτοῖς ἐδίδου, καὶ πέτασθαι αὐτοὺς ἐδίδασκε, καὶ τὸν οὐρανὸν ὑπερβαίνειν παρεσκεύαζεν.

A sancti Spiritûs. In medio autem torrentis parvum oratorium ædificavit, & altare sanctificatum fixit; cúmque hospitem quemdam accedentem susceperat, qui Presbyteri ordinationem haberet, eum faciebat peragere in oratorio sanctam oblationem. Non enim ipse sacros ordines accipere sustinebat; quòd mansuetudinem multam, veramque obtineret humilitatem; in hoc imitatus Christum verum Deum, qui B semetipsum ad imitationem volentibus præbuit, quando dixit; *Discite à me, quia mitis sum, & humilis corde.* Matt. xi. 29. Hoc exemplar intuitus, semetipsum demittebat, cunctorumque sub sua cura positorum minimum & ministrum se constituebat. Porrò singulos, utpote quòd cunctos experimento cognosceret, docebat, admonebatque stare fortiter contra artes Diaboli, nec nullatenus cedere, aut in tristitiam delabi propter va-C riam Dæmonum nequitiam. Aiebat quippe eum qui purgatus fuit, seque Deo consecravit, futurorum bonorum spe circumseptum esse debere. quia proprium ignavæ animæ est, laboribus succumbere. His consimilibusque tum operibus tum verbis animas eorum alebat, nec rigare cessabat; iisque alas dabat, volare ipsos docebat, in cœlum ascendere faciebat.

Allatii Symmicta l. 100.

XVII. Quòd autem in angustia ob aquæ indigentiam degerent, quadam nocte precatus est his verbis; Domine Deus virtutum, si tua voluntas est, locum hunc ad gloriam sancti nominis tui habitari, dignare providentiâ tuâ nobis exiguam aquarum consolationem largiri. Hæc ubi in parvo oratorio precatus fuit, strepitus onagri auditus est, infrà in torrente editus. Cúmque despexisset, plenilunii beneficio, onagrum videt pedibus suis terram diu multumque fodere, eumque post factam sufficientem fossam, deprehendit supernè fossæ os apponere ac bibere; tum reputans Deum potiùs visitando seu opem ferendo, aquam servis suis eduxisse, illico descendit, locoque effosso, invenit aquam vivam: & ecce ad præsentem usque diem exstat aqua in medio Lauræ, multum solatii patribus præbens, quæ nec hyeme redundat, neque æstate, licèt à cunctis ferè hauriatur, desistit. Aliâ verò nocte egressus est ex spelunca sua beatus Sabas, solusque ad torrentem incedebat Psalmos Davidicos per versus recitans; & subitò in Occidentali torrentis præcipitio, ubi nunc preciosum ipsius corpus depositum est, inter duas quæ illic jam sunt Ecclesias, videt columnam ignis, in terram fixam, cujusque caput ad cœlum pertingebat.

A ιζ΄. Αὐτῶν δὲ στενουμένων διὰ τὴν τοῦ ὕδατος χρείαν, ηὔχετο ἐν μιᾷ νυκτὶ λέγων· κύριε ὁ θεὸς τῶν δυνάμεων, εἰ ἔστι σὸν θέλημα οἰκισθῆναι τὸν τόπον τοῦτον εἰς δόξαν τοῦ ἁγίου σου ὀνόματος, καταξίωσον προνοήσασθαι ἡμῖν ὀλίγην τινὰ ὑδάτων παραμυθίαν. ταῦτα αὐτοῦ ἐν τῷ μικρῷ εὐκτηρίῳ εὐχομένου, ἠκούσθη κτύπος ὀνάγρου ἀποτελούμενος κάτω εἰς τὸν χείμαρρον. ὁ δὲ παρακύψας, πλησισελήνου ὄντος, θεωρεῖ τὸν ὄναγρον τοῖς B ἑαυτοῦ ποσὶν ὀρύσσοντα τὴν γῆν ἐπιπολὺ, καὶ μετὰ τὸ ὀρύξαι ἱκανὸν ὄρυγμα κατεῖδεν αὐτὸν ἄνωθεν παραθέντα τῷ ὀρύγματι τὸ στόμα, καὶ πίνοντα, καὶ λογισάμενος ὅτι μᾶλλον ὁ θεὸς ἐπισκεψάμενος, ὕδωρ τοῖς δούλοις αὐτοῦ ἐξήγαγεν, κατέβη εὐθέως, καὶ τὸν τόπον ὀρύξας εὗρεν ὕδωρ ζῶν· καὶ ἰδοὺ μέχρι τοῦ νῦν ἐστὶ τὸ ὕδωρ κατὰ τὸ μέσον τῆς λαύρας, πολλὴν παραμυθίαν τοῖς πατράσι παρέχον, καὶ οὔτε ἐν τῷ χειμῶνι πλεονάζει, οὔτε ἐν C θέρει, ὑπὸ πάντων σχεδὸν ἀντλούμενον, διαλείπει. ἐν ἄλλῃ δὲ νυκτὶ ὁ μακάριος Σάβας ἐξῆλθε τοῦ σπηλαίου αὐτοῦ, καὶ διεκλίνει εἰς τὸν χείμαρρον μόνος, στιχολογῶν ψαλμοὺς Δαυιτικούς· καὶ ὁρᾷ ἄφνω ἐν τῷ δυτικῷ τοῦ χειμάρρου κρημνῷ, ἔνθα νῦν κατάκειται τὸ τίμιον αὐτοῦ λείψανον, ἀνὰ μέσον τῶν νυνὶ οὐσῶν δύο ἐκκλησιῶν, στῦλον πυρὸς ἐστηριγμένον ἐν τῇ γῇ, οὗ ἡ κεφαλὴ ἀφικνεῖτο εἰς τὸν οὐρανόν.

ὁ δὲ θεασάμενος τὸ φοβερὸν τοῦτο θέαμα, καὶ ἔμφοβος ἐν ταυτῷ καὶ ἐπιχαρὴς γενόμενος, ἐλογίζετο τὰ τῆς γραφῆς εἰρημένα περὶ τῆς τοῦ πατριάρχου Ἰακὼβ φανείσης κλίμακος, λέγων· ὡς φοβερὸς ὁ τόπος ἐκεῖνος, καὶ οὐκ ἔστιν ἀλλ' ἢ οἶκος θεοῦ. καὶ διακαρτερήσας τῇ προσευχῇ ἐν τῷ τόπῳ, ἕως τοῦ διαφαύματος, ἀνέβη μετὰ φόβου καὶ χαρᾶς μεγάλης, ἔνθα ὁ στῦλος τοῦ πυρὸς ἐδείχθη· καὶ εὗρε σπήλαιον μέγα τε καὶ θαυμάσιον, ἐκκλησίας θεοῦ ἐκτύπωμα ἔχον. κατὰ γὰρ τὸ ἀνατολικὸν μέρος κόγχη ἐστὶ θεόκτιστος· καὶ κατὰ τὸ βόρειον μέρος οἶκον εὗρε μέγαν διακονικοῦ τάξιν ἔχοντα· ἐκ δὲ τοῦ νότου εἴσοδον πλατεῖαν, καὶ τῆς φωταυγίας ἱκανῶς εἰσδεχομένην ἐκ τῆς ἡλιακῆς ἀκτῖνος. τοῦτο τὸ ἄντρον θείᾳ συνεργίᾳ διακοσμήσας, ἐκεῖσε τὸν κανόνα ἐπέτρεψε γίνεσθαι κατὰ σάββατον καὶ κυριακήν.

ιη'. Καὶ οὕτως κατὰ μικρὸν, τῇ τοῦ θεοῦ συνεργίᾳ ἐπληθύνθη ἡ συνοδία, καὶ ἔφθασε μέχρις ἑκατὸν πεντήκοντα πατέρων τὸν ἀριθμόν. τῆς οὖν συνοδίας πληθυνομένης, καὶ διαφόρων κελλίων ἔνθεν καὶ ἔνθεν τοῦ χειμάρρου κτιζομένων, λοιπὸν καὶ κτήνη ἐκτήσαντο, πρός τε σύστασιν τῆς λαύρας, καὶ ὑπηρεσίαν τῶν κατοικούντων ἐν αὐτῇ. πρόνοιαν γὰρ αὐτῶν ἐποιεῖτο, πρὸς τὸ ἔχειν αὐτοὺς τὰς ἀναγκαίας χρείας ἔνδον· ἵνα μὴ τούτου ἕνεκεν ἐπὶ τὸν κόσμον ἀναγκάζωνται ἐξιέναι οἱ

A Quod formidabile spectaculum intuitus, simulque perterritus & ingenti lætitia affectus, perpendebat ea quæ à Scriptura sacra referuntur de scala à Patriarcha Jacobo visa, dicens; *Quàm terribilis est locus ille; & non est aliud nisi domus Dei.* (Gen. xxviii. 17.) Cúmque eo loci perseverasset in oratione usque ad dilucucum, cum timore & gaudio magno eò ascendit ubi columna ignis ostensa fuerat, invenitque antrum magnum & mi-

B rabile, quod Ecclesiæ Dei effigiem gerebat. Nam ad Orientem est quædam concha à Deo condita; ad Aquilonem verò magnam ædem instar Diaconici reperit; ex Austro autem latum ingressum, qui per radios solis abundè lucis splendorem admittebat. Hoc antrum adjutorio Dei postquam exornasset, illic sacrum officium Sabbato & Dominicâ fieri demandavit.

C XVIII. Atque ita paullatim congregatio, Deo opitulante, crevit, & usque ad numerum centum quinquaginta patrum pervenit. Multiplicatâ ergo societate, variisque cellulis hinc & inde circa torrentem constructis, postea jumenta etiam compararunt, ad Lauræ constitutionem, & ministerium eorum qui eam incolebant: quorum scilicet curam gerebat, ut intus ad usum necessaria haberent, ne ea de caussa in mundum ii exire cogerentur,

qui ab externis tumultibus recedere vellent. At ipsi sponte eum pastorem ductoremque habentes, fructus ferebant vocatione sua dignos, & ante incorruptionem quæ speratur corpus reddebant spirituale. Cæterùm antri memorati, hoc est Ecclesiæ divinitus conditæ, dedicationem differebat, quòd in Presbyterum ordinationem, aut omnino in Clericum provectionem nollet. Aiebat enim Clericatûs desiderium initium esse & radicem cogitationum ambitiosarum. Est autem super Ecclesiam illam à Deo ædificatam petra dura seu prærupta & excelsissima, super quam pater noster Sabas sibi ædificavit turrim; cúmque ascensum occultum intra sanctum antrum quasi in cochlea invenisset, à Diaconico ad turrim, in eo Canonis sive officii gratia, reliquæque administrationis mansit. Itaque ipsius famâ multis in locis dispersâ, plurimi ad eum veniebant, afferebantque multa, maximè quia Angelicam illius vitam cernerent. At beatus vir, maximam oblatorum partem in ædificiis potiùs & loci structura insumebat; quodque Deo gratum esse arbitrabatur, id faciebat; nec ullus ipsi subjectorum audebat ei in re aliqua sese opponere; cùm Martyrius tunc pontificatum suscepisset, & à temporibus magni Euthymii ipsum cognosceret ac valde amaret.

A βουλόμενοι ἀναχωρεῖν τῶν ἔξω θορύβων αὐτοὶ δὲ ἑκουσίως ὑπ' αὐτοῦ ποιμαινόμενοι καὶ ὁδηγούμενοι, ἐκαρποφόρουν ἀξίως τῆς κλήσεως, καὶ πρὸ τῆς ἐλπιζομένης ἀφθαρσίας τὸ σῶμα πνευματικὸν ἀπετέλουν. τὸ μέντοι εἰρημένον ἄντρον, τουτέστι τὴν θεόκτιστον ἐκκλησίαν, ἐγκαινίσαι ὑπερέθετο, διὰ τὸ μὴ βούλεσθαι χειροτονηθῆναι πρεσβύτερον, ἢ ὅλως κληρικὸν προβαλέσθαι. ἔλεγεν γάρ, ὅτι ἀρχὴ καὶ ῥίζα ἐστὶ τῶν τῆς φιλαρχίας λογισμῶν, ἡ τοῦ κληρωθῆναι ἐπιθυμία. B ἔστι δὲ ὑπεράνω τῆς θεοκτίστου ἐκκλησίας, πέτρα ἀκρότομος καὶ ὑψηλοτάτη λίαν, ἐφ' ἧ ᾠκοδόμησεν ἑαυτῷ ὁ πατὴρ ἡμῶν Σάβας πύργον· καὶ ἀνάβασιν κρυπτὴν ἔνδον τοῦ ἁγίου ἄντρου ὡς ἐπὶ κοχλίου εὑρὼν ἀπὸ τοῦ διακονικοῦ ἐπὶ τὸν πύργον, εἰς αὐτὸν ἔμενε χάριν τοῦ κανόνος καὶ τῆς λοιπῆς διοικήσεως. πολλαχοῦ μὲν οὖν τῆς περὶ αὐτοῦ φήμης διαδοθείσης, πλεῖστοι ἤρχοντο πρὸς αὐτὸν πολλὰ φέροντες αὐτῷ, μάλιστα ὁρῶντες τὴν ἀγγελικὴν C αὐτοῦ πολιτείαν. ὁ δὲ μακαρίτης τὰ πλεῖστα τῶν προσφερομένων, εἰς οἰκοδομὰς μᾶλλον καὶ τὴν σύστασιν τοῦ τόπου ἀνήλισκεν· καὶ ὅπερ ἐνόμιζεν εὐάρεστον εἶναι τῷ θεῷ, τοῦτο ἐποίει· καὶ οὐδεὶς τῶν ὑπ' αὐτὸν ἐτόλμα ἔν τινι ἐναντιωθῆναι αὐτῷ· Μαρτυρίου τὸ τηνικαῦτα τὴν ἱεραρχίαν ἐγχειρισαμένου, καὶ ἀπὸ τῶν χρόνων τοῦ μεγάλου Εὐθυμίου γινώσκοντος αὐτόν, καὶ σφόδρα ἀγαπῶντος.

ιθ'. Τοῦ δὲ Ἀββᾶ Μαρτυρίου τὸν A ὄγδοον ἐν τῇ πατριαρχίᾳ διατελέσαντος ἐνιαυτὸν, καὶ πρὸς τὸν θεὸν ἐκδημήσαντος, καὶ Σαλουστίου τὴν ἱεραρχίαν διαδεξαμένου, τῷ τεσσαρακοστῷ ὀγδόῳ τῆς τοῦ πατρὸς ἡμῶν Σάβα ἡλικίας χρόνῳ, ἀνεφύησάν τινες ἐν τῇ αὐτοῦ λαύρᾳ, σαρκικοὶ τῷ φρονήματι, καὶ κατὰ τὴν γραφὴν, πνεῦμα μὴ ἔχοντες, οἵτινες ἐπὶ χρόνον ἱκανὸν συσκευὴν ποιησάμενοι, ἔθλιβον αὐτὸν παντοίως. ἐνδέχεται γὰρ καὶ τὸν Ἰούδαν ἐν τοῖς ἀποστόλοις ἔσεσθαι, καὶ B μετὰ Ἐλισσαίου τὸν * Γιεζὶ, ἕως καιροῦ, καὶ τὸν Ἡσαῦ ἐκ τοῦ Ἰσαὰκ γεννηθῆναι, καὶ ἀδελφὸν εἶναι τοῦ Ἄβελ τὸν Κάϊν. οὗτοι τοίνυν περὶ ὧν ὁ λόγος ὁμονοήσαντες ἀνέρχονται ἐν τῇ ἁγίᾳ πόλει, καὶ τῷ ἀρχιεπισκόπῳ προσέρχονται Σαλουστίῳ, λαβεῖν παρακαλοῦντες ἡγούμενον. ὁ δὲ ἀρχιεπίσκοπος λέγει πρὸς αὐτούς· ποίου τόπου ἐστέ; οἱ δὲ εἶπον· εἰς χείμαῤῥόν τινα τῆς ἐρήμου οἰκοῦ- C μεν. καὶ φησιν ὁ ἀρχιεπίσκοπος· εἰς ποῖον χείμαῤῥον; οἱ δὲ στενούμενοι λέγουσιν· εἰς τὸν παρά τισι, τοῦ Ἀββᾶ Σάβα καλούμενον. καὶ λέγει ὁ ἀρχιεπίσκοπος· καὶ ὁ Ἀββᾶς Σάβας ποῦ ἐστι; καὶ λέγουσιν ἐκεῖνοι· ἀνίκανός ἐστι διοικῆσαι τὸν τόπον, διὰ πολλὴν ἀγροικότητα· ἵνα δὲ καὶ τοῦτο εἴπωμεν, οὔτε αὐτὸς χειροτονίαν ἔχει, οὔτε ἄλλον κληρικὸν γενέσθαι συνεχώρησε, καὶ ἑκατὸν πεντήκοντα ὀνομάτων συνοδίαν πῶς

XIX. Verùm Abbate ſeu patre Martyrio poſt octavum annum in Patriarchatu peractum, ad Deum profecto, cùm Saluſtius pontificatum excepiſſet, quadrageſimo octavo Patris noſtri Sabæ ætatis anno, in Laura ipſius exorti ſunt quidam carnales ſenſu, & ſecundùm Scripturam, *ſpiritum non habentes*, qui per longum tempus adornatis inſidiis, omni modo affligebant eum. Uſu enim ita venire ſolet, ut ſit Judas inter Apoſtolos, & cum Eliſæo Giezi, ad tempus, utque Eſau ab Iſaaco procreetur, ſitque Cain Abelis frater. Iſti igitur, de quibus ſermo inſtituitur, uno conſenſu abeunt in ſanctam civitatem, ad Archiepiſcopum Saluſtium accedunt, poſtulant ut acciperent Hegumenum ſeu præpoſitum. Tum Archiepiſcopus dixit eis; E quonam loco eſtis? Reſponderunt; Ad torrentem quemdam ſolitudinis habitamus. Excipit Archiepiſcopus; In quo torrente? At illi ad anguſtias redacti, aiunt; In illo qui à nonnullis, Abbatis Sabæ vocatur. Dicit Archiepiſcopus; Abbas Sabas ubinam eſt? Illi inquiunt; Propter multam ruſticitatem ineptus inhabiliſque eſt loco adminiſtrando; ut autem & hoc adjiciamus, neque ipſe ordinem ſacrum habet, neque alium Clericum fieri permiſit; & centum quinquaginta nominum ſeu hominum cœtum quo

Jud. 19.

* Melius Γιεζῆ

modo poterit gubernare? Ce- A
rycus autem vel Quiricus qui-
dam vir memorabilis, Presby-
ter ac præpositus sanctæ Resur-
rectionis, & Crucis custos, qui
tunc aderat, cùm hæc verba
audiisset, dixit ad eos; Vos ne
ipsum eo in loco recepistis, an
potiùs ipse admisit vos? Res-
ponderunt; Ipse quidem rece-
pit nos; sed quia agrestior est,
nos gubernare multiplicatos
nequit. Et iterum ait ter bea-
tus Quiricus; Ille, sicut fate-
mini, eo loci vos congregavit, B
locumque desertum construxit
ad habitandum; quantò magis
nunc eumdem locum instar ur-
bis constructum, vosque in u-
num aggregatos gubernabit?
Qui enim ipsi opem tulit Deus,
ad colligendos vos, constituen-
dumque locum, multò magis
ad gubernationem adjuvabit.
Tunc Archiepiscopus dimisit
eos, dicens; Abite, interim
considerate, & crastino die re-
vertimini. Atque ubi beatum
Sabam quasi ob aliud quid ar- C
cessivisset, ipsiusque simul ac-
cusatores advocasset, coram o-
culis eorum ipsum ordinat
Presbyterum, & ait illis; Ecce
habetis patrem vestrum, Lau-
ræ vestræ Hegumenum seu præ-
fectum, quem Deus desuper, &
non homo elegit. Ego quippe
meipsum dumtaxat beneficio
afficiens, divinum confirmavi
suffragium. Quibus dictis, sum-
psit beatum Sabam & illos ip-
sos, ad Lauram devenit, secum

A δυνήσεται κυβερνῆσαι; Κύρυκος δέ
τις ἀξιομνημόνευτος πρεσβύτερος καὶ
ἡγούμενος ὑπάρχων τῆς ἁγίας ἀνα-
στάσεως, καὶ σταυροφύλαξ, παρὼν τό-
τε καὶ τῶν λεχθέντων ἐπακούσας εἶπε
πρὸς αὐτούς· ὑμεῖς αὐτὸν ἐδέξασθε
εἰς τὸν τόπον ἐκεῖνον, ἢ αὐτὸς μᾶλ-
λον ἐδέξατο ὑμᾶς; οἱ δὲ εἶπον· αὐ-
τὸς μὲν ἐδέξατο ἡμᾶς, ἀγροικότερος
δὲ ὤν, κυβερνῆσαι ἡμᾶς ἀδυνατεῖ
πληθυνθέντας. καὶ λέγει πάλιν ὁ τρι-
σμακάριος Κύρυκος· ἐκεῖνος ὡς
B ὑμεῖς φατὲ ἐν τῷ τόπῳ ὑμᾶς συ-
νήγαγε, καὶ τὸν τόπον ἔρημον ὄντα
ἐπόλισε· πόσῳ μᾶλλον νῦν τόν τε
πολισθέντα τόπον, καὶ ὑμᾶς εἰς ἓν
συναχθέντας κυβερνήσει; ὁ γὰρ συ-
νεργήσας αὐτῷ θεὸς εἰς τὸ συναγαγεῖν
ὑμᾶς καὶ τὸν τόπον συστήσασθαι, πολ-
λῷ μᾶλλον καὶ εἰς τὸ κυβερνᾶν συνερ-
γήσει. τότε ὁ ἀρχιεπίσκοπος ἀπέλυ-
σεν αὐτούς, λέγων· ὑπάγετε τέως
σκέψασθε, καὶ τῇ ἑξῆς μετέρχεσθε. καὶ
μεταστειλάμενος ὡς ἐπ' ἄλλο τι τὸν
C μακάριον Σάβαν, μεταπεμψάμε-
νος δὲ καὶ τοὺς κατηγόρους αὐτοῦ,
κατ' ὀφθαλμοὺς αὐτῶν χειροτονεῖ
αὐτὸν πρεσβύτερον, καὶ λέγει αὐ-
τοῖς· ἰδοὺ ἔχετε τὸν πατέρα ὑμῶν, καὶ
τῆς καθ' ὑμᾶς λαύρας ἡγούμενον, ὅν-
περ ὁ θεὸς ἄνωθεν ἐψηφίσατο καὶ οὐκ
ἄνθρωπος. ἐγὼ γὰρ μόνον ἐμαυτὸν
εὐεργετήσας, τὴν θείαν ἐκύρωσα ψῆ-
φον. καὶ ταῦτα εἰπών, λαβὼν τόν τε
μακαρίτην Σάβαν καὶ αὐτοὺς ἐκεί-
νους, κατῆλθεν εἰς τὴν λαύραν, ἔχων

μεθ' ἑαυτοῦ καὶ τὸν μνημονευθέντα σταυροφύλακα Κήρυκον· καὶ τὴν Θεοκτίστου ἐκκλησίαν ἐγκαινίσας, θυσιαστήριον ἡγιασμένον ἐν τῇ θεοκτίστῳ κόγχῃ κατέπηξε, πλεῖστα λείψανα ἁγίων καὶ καλλινίκων μαρτύρων ὑπὸ τὸ θυσιαστήριον καταθέμενος, μηνὶ Δεκεμβρίῳ, δωδεκάτῃ, τῆς τεσσαρεσκαιδεκάτης ἰνδικτιόνος, πεντηκοστῷ δὲ καὶ τρίτῳ τῆς τοῦ μακαρίου Σάβα ἡλικίας χρόνῳ· ἐν ᾧ χρόνῳ Ζήνωνος τοῦ βασιλέως τελευτήσαντος, Ἀναστάσιος τὴν βασιλείαν παρέλαβε.

κ'. Καθ' ὃν δὴ χρόνον ἐδέχθη εἰς τὴν λαύραν ἀνήρ τις θεοφόρος καὶ θείοις χαρίσμασιν ἠγλαϊσμένος, τῷ μὲν γένει * Ἀρμένιος, τῇ δὲ προσηγορίᾳ Ἱερεμίας, ἔχων μεθ' ἑαυτοῦ μαθητὰς δύο ὁμοτρόπους τε καὶ συναγωνιστὰς, Πέτρον καὶ Παῦλον ὀνομαζομένους. ἐπὶ τούτοις ἐχάρη λίαν ὁ πατὴρ ἡμῶν Σάβας ὡς εὐλαβέσιν οὖσι, καὶ δέδωκεν αὐτοῖς σπήλαιον, καὶ μικρὸν κελλίον, πρὸς βορρᾶν τοῦ ἑαυτοῦ σπηλαίου, ἔνθα καὶ ἐν πρώτοις ἔμενεν, ὅτε ἦν μόνος ἐν τῷ χειμάρρῳ· καὶ ἐπέτρεψεν αὐτοῖς ἐν τῷ μικρῷ εὐκτηρίῳ ἐπιτελεῖν Ἀρμενιστὶ τὸν κανόνα τῆς ψαλμῳδίας, τῷ τε σαββάτῳ καὶ τῇ κυριακῇ. καὶ οὕτως κατὰ μικρὸν ἐπληθύνθησαν οἱ Ἀρμένιοι ἐν τῇ λαύρᾳ. εἷς δὲ τῶν μνημονευθέντων μαθητῶν τοῦ μακαρίου Ἱερεμίου, Παῦλος ὁ θαυμάσιος,

ducens memoratum crucis custodem Cerycum; & Ecclesiâ Theoctistâ dedicatâ, sanctificatum altare in concha à Deo condita defixit, sub quo plurimas sanctorum ac victoriis clarorum Martyrum reliquias deposuit, mensis Decembris die duodecimo, indictione decimaquarta, anno autem ætatis beati Sabæ quinquagesimo tertio; quo tempore cùm Zeno Imperator vivere desiisset, Anastasius Imperium suscepit.

xx. Quo etiam tempore & anno in Lauram admissus est vir quidam Deum in se gerens ac divinis charismatibus donisque splendidus, genere Armenius, nomine Hieremias, qui habebat secum duos discipulos, morum cum ipso eorumdem, sociosque piorum certaminum, Petrum & Paulum nominatos. Super his valde gavisus est pater noster Sabas, utpote religiosis hominibus, deditque illis speluncam cum parva cella, ad Borealem speluncæ suæ partem, ubi primùm manserat, cùm solus torrentem incoleret; atque iis permisit demandavitque ut in parvo oratorio canonem Psalmodiæ Sabbato & Dominica Armenica lingua peragerent. Ad eum modum sensim Armenii in Laura numero amplificati sunt. Alter porrò memoratorum beati Hieremiæ discipulorum, divinus nempe Paulus,

* In MSS. Metaphr. Ἁρμ. & Ἀρμ.

A ad hunc uſque diem virtutibus ſecundùm Deum in maxima Laura clarus, tum multa de ipſo mirabilia refert, tum pleraque eorum quæ in hocce Hiſtorico ſcripto proferuntur, mihi tradidit.

XXI. Eodem ſanè tempore, quo Theoctiſta ſeu à Deo condita Eccleſia dedicata fuit, in Lauram adduxit Spiritus ſanctus divinum patrem noſtrum Johannem Epiſcopum & ſolitarium, qui plurimas valdeque B utiles de Euthymio & Saba narrationes mihi tradidit, ac ut eas conſcriberem me excitavit. Hunc ſanctus pater noſter Sabas in numerum Lauræ incolarum cooptavit, natum annos triginta & octo, quique nunc ſanctificatum vas ſanctiſſimi Spiritûs effectus eſt, divinorumque donorum ornamentis abundat, lucis lator eſt, adhucque in carne degit, atque Angelicè vivit, necnon noſtros ſecundùm Deum greſſus C illuminat; cujus virtutes præclaraque facinora nunc per digreſſionem conſcribi nequeunt; ſed ſi Deo placet, poſtquam opus quod præ manibus habeo, ad finem perduxero, pauca quædam de eo, quæque cunctis tantumnon manifeſta ſunt, & ea quæ per ſanctæ ipſius linguæ relationem accepi, in peculiari tractatu enarrabo, multa ſanè & valida. Neque enim æquum eſt, illa tacere, ac oblivioni mandare, cùm is per omnem, ut

μέχρι τοῦ νῦν ταῖς κατὰ Θεὸν ἀρεταῖς ἐν τῇ μεγίστῃ λαύρᾳ διαπρέπων, πολλά τε θαυμάσια περὶ αὐτοῦ διηγεῖται, καὶ πλεῖστα τῶν τῇδε τῇ συγγραφῇ ἐμφερομένων, ἐμοὶ παραδέδωκε.

κα΄. Κατὰ τὸν αὐτὸν δὴ χρόνον, καθ᾽ ὃν ἡ θεόκτιστος ἐκκλησία ἐνεκαινίσθη, ἤγαγε τὸ πνεῦμα τὸ ἅγιον εἰς τὴν λαύραν τὸν θεσπέσιον πατέρα ἡμῶν Ἰωάννην τὸν ἐπίσκοπον καὶ ἡσυχαστὴν, τὸν τὰ πλεῖστα περὶ Εὐθυμίου καὶ Σάβα ὀνησιφόρων διηγημάτων μοι παραδεδωκότα, καὶ εἰς τὸ ταῦτά με ἀναγράψαι διεγείραντα· ὅν τινα ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν Σάβας τοῖς ἐν τῇ λαύρᾳ ἐναρίθμιον πεποίηκε, τριάκοντα μὲν καὶ ὀκτὼ ἔτη τῆς ἡλικίας ἄγοντα, νῦν δὲ ἡγιασμένον σκεῦος τοῦ παναγίου πνεύματος γεγονότα, καὶ τοῖς θείοις κομῶντα χαρίσμασι, φωτοφόρον τε ὑπάρχοντα, καὶ μέχρι τοῦ νῦν ἐν σαρκὶ ὄντα, καὶ ἀγγελικῶς βιοῦντα, καὶ φωτίζοντα ἡμῶν τὰ κατὰ Θεὸν διαβήματα· οὗτινος τὰς ἀρετὰς καὶ τὰ κατορθώματα, οὐ δυνατὸν νῦν ἐν παρεκβάσει γραφῆναι· ἀλλ᾽ εἴπερ τῷ Θεῷ φίλον, τῆς ἐν χερσὶ πραγματείας εἰς πέρας ἀγαγὼν, ὀλίγα τινὰ περὶ αὐτοῦ, τά τε πᾶσι σχεδὸν πρόδηλα, καὶ ἅπερ τῆς ἁγίας αὐτοῦ ἀκήκοα διηγουμένης γλώττης, ἐν ἰδιαζούσῃ πραγματείᾳ διηγήσομαι, πολλὰ ὄντα καὶ δυνατά. οὔτε γὰρ δίκαιόν ἐστι ταῦτα σιωπῆσαι, καὶ λήθῃ παραπέμψαι, αὐτοῦ κατὰ πᾶσαν ὡς εἰπεῖν τὴν

καθ᾽

καθ' ἡμᾶς πολιτείαν περιφήμου καὶ περιβοήτου διὰ τὸν βίον καὶ τὴν ἀρετὴν ὑπάρχοντος.

κβ΄. Οὗτος ὁ πολὺς ἐν ἀρετῇ ἡσυχαστὴς καὶ ἐπίσκοπος Ἰωάννης διηγήσατό μοι λέγων, ὅτι ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν Σάβας, διὰ σπουδῆς εἶχε, παντοίως ἀκολουθεῖν τῇ τοῦ μεγάλου Εὐθυμίου διαγωγῇ. ἐπεὶ οὖν ἐκείνῳ ἤθιστο, κατὰ τὴν τεσσαρεσκαιδεκάτην τοῦ Ἰαννουαρίου μηνὸς ἀναχωρεῖν ἐπὶ τὴν πανέρημον, κἀκεῖσε διατελεῖν τὴν τεσσαρακοστὴν, μικρόν τι τοῦ ἔθους ὑπαλλάξας, μετὰ τὴν τοῦ ἁγίου Ἀντωνίου μνήμην ἀπήρχετο, καὶ ἐπετέλει τὴν τοῦ μεγάλου Εὐθυμίου μνήμην, τὴν κατὰ τὴν εἰκάδα τοῦ Ἰαννουαρίου μηνὸς ἐπιτελουμένην· εἶθ' οὕτως ἀνεχώρει ἐπὶ τὴν πανέρημον, πάσης ἀνθρωπίνης ἀφιστῶν ἑαυτὸν συναναστροφῆς, ἕως τῆς τῶν βαΐων ἑορτῆς· καὶ οὕτως ἐποίει σχεδὸν κατ' ἐνιαυτόν. καθ' ὃν τοίνυν εἴρηται τρόπον ἐξελθὼν, καὶ περὶ τὴν νεκρὰν θάλασσαν ὁδεύων τὴν ἐπὶ Ζώορα, ἴδεν ἐν τῇ θαλάσσῃ νησσίον τινα χέρσον καὶ μικροτάτην, καὶ ἐπεθύμησεν εἰσελθεῖν, καὶ ἡσυχάσαι ἐν αὐτῇ τὰς τῶν νηστειῶν ἡμέρας· καὶ ἐν τῷ αὐτὸν εἰσέρχεσθαι, συνέβη ἐξ ἐπιβουλῆς καὶ φθόνου δαιμόνων, καταπεσεῖν αὐτὸν εἰς τόπον τινὰ τῆς θαλάσσης σομφώδη· καὶ θερμῆς τινὸς αἰθάλης ἀναδοθείσης, κατεφλέχθη αὐτοῦ ἡ ὄψις μετὰ τῆς γενειάδος καὶ ἑτέρων τοῦ σώματος μερῶν, ὥστε αὐτὸν ἐπὶ ἡμέρας πλείους κεῖσθαι ἄφωνον, ἄχρις οὗ

ita dicam, nostram Rempublicam admodum clarus sit atque celebris, meritis vitæ ac virtutum.

XXII. Hic multæ virtutis solitarius & Episcopus Johannes retulit mihi ad hunc modum; sanctus pater noster Sabas, id studii habebat, ut omni modo magni Euthymii vivendi rationem sequeretur. Quia ergo solebat Euthymius quartodecimo Januarii mensis in vastam solitudinem recedere, illicque peragere Quadragesimam, Sabas more parumper immutato, post sancti Antonii memoriam proficiscebatur; atque magni Euthymii commemorationem celebrabat, quæ vigesimo Januarii mensis die peragitur; sicque postea in vastam secedebat solitudinem, ab omni humana conversatione sejungens se, usque ad festum palmarum; atque ita faciebat ferè quotannis. Quo igitur dictum est modo egressus, dum circa mare mortuum ad Zoora incedit, quamdam in mari videt insulam incultam & minimam; tum introire desideravit ac in ea jejuniorum dies quietè transigere; cúmque ingrederetur, ex insidiis & invidia Dæmonum contigit eum in aliquem maris locum fungosum delabi; unde ferventi emissâ fuligine, facies ipsius unà cum barba reliquisque corporis partibus exarsit, adeò ut pluribus diebus sine voce jacuerit, donec divina

quædam vis adstitisset, sanasset A eum atque adversùs impuros spiritus corroborasset. Verumtamen ab eo tempore, barbâ, ut dictum est, exustâ, nec ampliùs augmentum accipiente, mansit malè barbatus; ita ut cùm diebus completis in Lauram venisset, à patribus non sit nisi per vocem & habitum moresque agnitus. Tum gratias Deo egit de barbæ amissione, loco reputans divinæ dispensationis, quò humilis fieret, ac ne de barbæ coma gloriare- B tur.

XXIII. Consequenti tempore egressus est, uti solebat, in vastam solitudinem, unà cum discipulo quodam, qui vocabatur Agapetus; atque paucis diebus transactis, posuit se quadam nocte Agapetus supinum, ex labore & inedia; cúmque dormiret, beatus autem Sabas mente precaretur, leo planè maximus accedens, Agapetum à pedibus ad caput odorabatur. Et noster quidem C pater Sabas Deum pro eo orabat; leo verò per senis precem veluti per flagrum expulsus, postquam Agapeti vultum cauda leniter verberasset, eumque expergefecisset, abiit. Atque Agapetus quidem apertis oculis, leonem formidabilissimum intuitus, correptus timore, surrexit, & ad magistrum confugit: magnus autem senex suscepit eum, admonuitque per hæc verba; Averte,

θεία τις δύναμις ἐπιστᾶσα, ἰάσατο αὐτὸν, καὶ κατὰ τῶν ἀκαθάρτων ἐνίσχυσε πνευμάτων. πλὴν ὅμως ἀπὸ τότε τῆς γενειάδος ὡς εἴρηται καταφλεχθείσης, καὶ μηκέτι αὔξησιν δεξαμένης, ἔμεινε σπανός ὥστε αὐτὸν μετὰ τὸ συμπληρῶσαι τῶν ἡμερῶν ἐλθόντα εἰς τὴν λαύραν, μὴ γνωρισθῆναι ὑπὸ τῶν πατέρων, εἰ μὴ ἀπὸ τῆς φωνῆς καὶ τοῦ ἤθους. καὶ ηὐχαρίστει τῷ θεῷ ἐπὶ τῇ τῶν γενείων ἀφαιρέσει, θείαν οἰκονομίαν ταύτην ἀναλογισάμενος, πρὸς τὸ ταπεινοῦσθαι καὶ μὴ ἐναβρύνεσθαι ἐπὶ κόμῃ γενειάδος.

κγʹ. Κατὰ δὲ τὸν ἑξῆς χρόνον, ἐξῆλθε κατὰ τὸ εἰωθὸς αὐτῷ ἐπὶ τὴν πανέρημον, μετά τινος μαθητοῦ αὐτοῦ, Ἀγαπητοῦ καλουμένου· καὶ ὀλίγων ἡμερῶν διελθουσῶν, ἔθηκεν ἑαυτὸν ἐν μιᾷ τῶν νυκτῶν ὁ Ἀγαπητὸς ὕπτιος ἀπὸ τοῦ κόπου καὶ τῆς ἀσιτίας· καὶ αὐτοῦ καθεύδοντος, καὶ τοῦ μακαρίου Σάβα κατὰ νοῦν προσευχομένου, λέων παμμεγεθέστατος ἐλθὼν, ὠσφραίνετο τοῦ Ἀγαπητοῦ ἀπὸ ποδῶν ἕως κεφαλῆς· καὶ ὁ μὲν πατὴρ ἡμῶν Σάβας ἐδέετο τοῦ θεοῦ περὶ αὐτοῦ· ὁ δὲ λέων ὑπὸ τῆς εὐχῆς τοῦ γέροντος, ὡς ὑπὸ μάστιγος διωκόμενος, τῇ οὐρᾷ τὴν ὄψιν Ἀγαπητοῦ ἠρέμα πλήξας, καὶ διυπνίσας ᾤχετο. ὁ μὲν οὖν Ἀγαπητὸς τοὺς ὀφθαλμοὺς ἀνοίξας, καὶ τὸν λέοντα φοβερώτατον θεασάμενος, φόβῳ συσχεθεὶς, ἀνέστη, καὶ τῷ διδασκάλῳ προσέφυγεν· ὁ δὲ μέγας πρεσβύτης προσλαβόμενος αὐτὸν, ἐνουθέτει λέγων· ἀπόστησον

τέκνον τὸν πολὺν ὕπνον ἀπὸ τῶν ὀφθαλμῶν σου, καὶ τὴν ἀμέλειαν ἀπὸ τῆς καρδίας σου, ἵνα σώζῃ ὥσπερ δορκὰς ἐκ βρόχων, καὶ ὥσπερ ὄρνεον ἐκ παγίδος.

κδʹ. Καὶ τοῦτο δέ μοι ὁ θεσπέσιος ἡσυχαστὴς διηγήσατο, ὅτι ἐν ἄλλῳ καιρῷ μέλλων ἐξιέναι ἐπὶ τὴν πανέρημον, δέδωκεν Ἀγαπητῷ τὸ μηλωτάριον δέκα ἔχον χίζια ἄρτου ξηροῦ, ὡς ἀπὸ δέκα οὐγγιῶν σταθμὸν ἔχοντα· καὶ ἐξελθόντες ὥρμησαν ἐπὶ τὸν Ἰορδάνην· καὶ διοδεύοντες παρὰ τὸ (B) χεῖλος τοῦ Ἰορδάνου πρὸς δυσμὰς, ἐπὶ τὰ ἀρκτῷα μέρη πορευόμενοι, ἦλθον εἰς τόπον τινὰ κρημνώδη, ἐφ' ᾧ ὑπεράνω σπήλαιον ὑπῆρχε. κατανυγεὶς δὲ ὁ μακάριος Σάβας, μᾶλλον τοῦ θεοῦ αὐτῷ ἀποκαλύψαντος, λαβὼν τὸν Ἀγαπητὸν, ἀνέβη μετὰ δυσχερείας. καὶ εἰσελθόντες εἰς τὸ σπήλαιον, εὗρον ἔνδον ἀναχωρητὴν τινα διορατικόν. εὐχῆς δὲ ὑπὸ τῶν ἀμφοτέρων γενομένης, τρόπον τινὰ (C) θαυμάσας ὁ ἀναχωρητὴς εἶπεν· Σάβα δοῦλε τοῦ θεοῦ, τίς σοι τὸν τόπον τοῦτον ὑπέδειξεν; ἰδοὺ γὰρ σὺν θεῷ * τριάκοντα καὶ ὀκτὼ χρόνους ἐν τῷ σπηλαίῳ τούτῳ, καὶ ἀνθρώπῳ τὸ παράπαν οὐ συνέτυχον, καὶ νῦν αὐτὸς πῶς ἐλήλυθας ἐνταῦθα; ὁ δὲ μακάριος ἀπεκρίθη Σάβας· ὁ θεὸς ὁ ἀποκαλύψας σοι τὸ ὄνομά μου, αὐτὸς κἀμοὶ τὸν τόπον ὑπέδειξε. καὶ αὐτῶν ἀσπασαμένων ἀλλήλους, ἐξῆλθον οἱ περὶ τὸν Σάβαν· καὶ

A fili, multum somnum ab oculis tuis, & negligentiam à corde tuo, *ut salveris tamquam damula è laqueis, & tamquam avis è reti.* Prov. VI. 5.

XXIV. Hoc quoque mihi divinus ille solitarius enarravit; Alio tempore in vastam eremum egressurus, Agapeto pelliculam ovillam quæ decem panis sicci frusta, quasi decem unciarum pondo, habebat dedit; & egressi ad Jordanem tenderunt; ad cujus ripam incedentes versùs Occidentem & ad Septentrionales partes, in locum quemdam præruptum ac præcipitem venerunt, in quo erat spelunca desuper. Beatus vero Sabas exstimulatus, seu potiùs per Dei revelationem, sumens Agapetum, ascendit cum difficultate. Atque in speluncam ingressi, quemdam invenerunt in ea Anachoretam qui perspiciendi gratiâ prædictus erat. Factâ autem prece ab ambobus, in modum admirantis Anachoreta dixit; Saba serve Dei, quis tibi huncce locum indicavit? Ecce enim jam Dei ope à triginta & octo annis in ista spelunca versor, nullique omnino homini occurri; nunc verò tu quonam pacto venisti huc? Tum respondit beatus Sabas; Deus qui tibi nomen meum revelavit, ipse mihi etiam locum ostendit. Cúmque se mutuo salutassent, Sabas ipsiusque comes exierunt; &

*f. inser. ἐχ

postquam longum iter peregisſent, & inter mare Tiberiadis ac Jordanem pertranſiiſſent, precatique eſſent ad Chorſiam & Heptapegum ſeu locum ſeptem fontium, atque in reliquis regionis illius venerabilibus locis, uſque ad Spaniadem, revertuntur. Et cùm ad Anachoretæ ſpeluncam deveniſſent, dicit beatus Sabas; Aſcendamus, frater, ſervum Dei ſalutemus. Atque ubi aſcendiſſent, invenerunt eum flectere genua versùs Orientem. Unde arbitratus ſenex illum orare, diu exſpectavit: ut autem dies præteriit, neque ille ſurgebat, ait beatus; Commenda nos Chriſto, pater; eoque nihil reſpondente, accedens ac tangens eum, reperit morte conſummatum; aitque; Veni fili, ſepeliamus ipſum: ideo enim nos Deus miſit. Itaque adoraverunt, corpus funeraverunt, ſolitum ſuper eo precum canonem impleverunt, atque in ipſa ſpelunca depoſuerunt; quâ lapidibus magnis obſtructâ, iter ſuum perſecuti ſunt; ſicque in Lauram advenerunt Sabbato Palmarum. Porrò cunctos jejuniorum dies abſque cibo tranſigebat, communione Sabbati & Dominicæ contentus. At decem quæ acceperat fruſta, Agapeti neceſſitatem expleverunt.

XXV. Memorato Theoctiſtæ Eccleſiæ dedicationis tempore, Johannes cognomine Conon

A ἐπιπολὺ ὁδεύσαντες, καὶ διαπεράσαντες μεταξὺ τῆς θαλάσσης Τιβεριάδος, καὶ τοῦ Ἰορδάνου, καὶ δεξάμενοι εἰς τὴν Χορσιὰν καὶ τὴν ἑπτάπηγον, καὶ εἰς τοὺς λοιποὺς τοὺς αὐτόθι σεβασμίους τόπους, ἕως Σπανιάδος, ὑποστρέφουσι. καὶ ἐλθόντων αὐτῶν κατὰ τὸ σπήλαιον τοῦ ἀναχωρητοῦ, λέγει ὁ μακαρίτης Σάβας· ἀνέλθωμεν δὴ ἀδελφὲ, καὶ ἀσπασώμεθα τὸν δοῦλον τοῦ θεοῦ. καὶ ἀνελθόντες ηὗρον αὐτὸν κλίναντα τὰ γόνατα ἐπὶ ἀνα-

B τολάς. καὶ νομίσας ὁ γέρων ὅτι προσεύχεται, ἐξεδέχετο ἐπιπολύ. ὡς δὲ ἡ ἡμέρα παρῆλθε, καὶ οὐκ ἐγείρετο, λέγει ὁ μακαρίτης· παράθου ἡμᾶς τῷ Χριστῷ πάτερ. καὶ αὐτοῦ μὴ ἀποκριθέντος, ἐγγίσας καὶ ἁψάμενος αὐτοῦ, ηὗρεν αὐτὸν τελειωθέντα· καὶ λέγει· δεῦρο τέκνον, κηδεύσωμεν αὐτόν· εἰς γὰρ τοῦτο ἀπέστειλεν ἡμᾶς ὁ θεός. καὶ προσκυνήσαντες καὶ κηδεύσαντες τὸ σῶμα, καὶ πληρώσαντες ἐπ' αὐτῷ τὸν συνήθη κανόνα, ἐν αὐτῷ

C κατέθεντο τῷ σπηλαίῳ· καὶ τοῦτο φράξαντες λίθοις μεγάλοις, διήνυον τὴν ἑαυτῶν ὁδόν· καὶ οὕτως ἦλθον εἰς τὴν λαύραν τῷ σαββάτῳ τῶν βαΐων. πάσας δὲ τὰς ἡμέρας τῶν νηστειῶν διετέλει ἄσιτος, τῇ κατὰ σάββατον καὶ κυριακὴν κοινωνίᾳ ἀρκούμενος. τὰ μέντοι δέκα χίζια ἅπερ ἦν λαβὼν, τὴν τοῦ Ἀγαπητοῦ χρείαν ἐπλήρωσαν.

κε΄. Κατὰ τὸν μνημονευθέντα τοῦ ἐγκαινισμοῦ τῆς θεοκτίστου ἐκκλησίας χρόνον, Ἰωάννης ἐπικληθεὶς Κόνων

ὁ πατὴρ τοῦ Ἀββᾶ ἡμῶν Σάβα ἐν Ἀ- A λεξανδρείᾳ ἐτελεύτησε, πλεῖστα δυνηθεὶς, καὶ διαπρέψας ἐν τῷ τῶν Ἰσαύρων νουμέρῳ· ἡ δὲ μακαρία Σοφία, ἤδη προβεβηκυῖα ἐν ἡμέραις πολλαῖς, μαθοῦσα περιβόητον ἐν μοναχικοῖς κατορθώμασι τὸν ἑαυτῆς υἱὸν Σάβαν γεγονότα, πάντα τὰ ἑαυτῆς διαπωλήσασα, ἦλθεν εἰς Ἱεροσόλυμα, χρυσίον ἱκανὸν ἐπιφερομένη. ἣν τινα ὁ μακαρίτης δεξάμενος Σάβας, καὶ ἀποτάξασθαι πᾶσι τοῖς τοῦ κόσμου παρασκευάσας, μετ᾽ ὀλίγον χρόνον B κοιμηθεῖσαν αὐτὴν ἐκήδευσε καὶ κατέθετο ἐν θήκαις ὁσίαις· τὴν δὲ αὐτῆς περιουσίαν τῇ ἑαυτοῦ προσεκύρωσε λαύρᾳ. ἐξ ἧς περιουσίας, τό τε ἐν Ἱεριχὼ ξενοδοχεῖον περιεποιήσατο σὺν τοῖς αὐτόθι παραδεισίοις, ὕδωρ αὐτοῖς ὠνησάμενος, καὶ τὸ ἐν τῇ λαύρᾳ ἔκτισε * ξενοδοχεῖον πρὸς τὴν τῶν πατέρων ὑπηρεσίαν, καὶ ἄλλα πλεῖστα κατορθώματα διεπράξατο.

pater Abbatis nostri Sabæ, Alexandriæ obiit, post plurima fortiter gesta, potens, clarusque in Isaurorum numero seu cohorte; beata verò Sophia, jam in diebus multis provecta, ubi filium suum Sabam in Monachicis virtutibus celebrem evasisse didicisset, cuncta quæ possidebat vendidit, venitque Hierosolymam, auro multo onusta. Quam beatus Sabas susceptam, ut cunctis mundi rebus renunciaret effecit; eamque brevi post tempore mortuam, terræ mandavit, ac in sacris loculis deposuit; facultates autem ipsius, Lauræ suæ addixit; ex quibus tum Jerichuntis Xenodochium comparavit, una cùm hortulis qui illic sunt, aquâ iis acquisitâ, tum Lauræ condidit Xenodochium ad patrum ministerium, tum alia plurima præclarè fecit.

Cod sæpe Ἱεριχὼ. *In Metaphr. Codd.* Ἱεριχώ, Ἱεριχὼ. Ἱεριχῶ
* *Cod. interdum* ξενοδοχεῖον

κϛʹ. Τοῦ δὲ ξενοδοχείου τῆς λαύρας κτιζομένου, ἀπέστελεν ὁ πα- C τὴρ ἡμῶν Σάβας ἀδελφόν τινα εἰς τὴν Ἱεριχὼ ξύλα ἐνέγκαι ἐργάσιμα, μετὰ τῶν τῆς λαύρας ἀλόγων· ὅστις ἀδελφὸς κατελθὼν, καὶ τὰ ἄλογα φορτώσας, ἤρχετο διὰ τῆς ἐρήμου ἐπὶ τὴν λαύραν. καύσωνος δὲ τότε σφοδροτάτου γεγονότος, ἐδίψησε λίαν, καὶ ὀλιγοψυχήσας κατὰ τὸ μέσον τῆς ὁδοῦ, ἔπεσε, καὶ ὑπόμνησιν τοῦ ἁγίου γέροντος λαβὼν, ηὔξατο

XXVI. Cæterùm constructo Lauræ Xenodochio, pater noster Sabas misit fratrem quemdam Jerichuntem, uti ligna elaborationi apta, Lauræ jumentis afferret: qui frater eò cùm devenisset, & jumenta onerasset, per solitudinem ad Lauram revertebatur. Ob vehementissimum autem æstum qui tunc vigebat, in magnam sitim incidit, atque medio in itinere deliquium animi passus, cecidit; at recordatus sancti senis, precatus est his

verbis; Domine Deus Abbatis A mei Sabæ, noli me derelinquere: statimque qui aliquando in columna nubis Israelem deduxit Deus, in hujus quoque tegmen nubem expandit, quæ rorem refrigerationis ipsi præberet, viresque daret. Atque ita assectantem habens nubem in Lauram venit.

Ex. XIII. 21.

XXVII. Quinquagesimo quarto ætatis magni Sabæ anno, secundo autem à dedicatione Ecclesiæ per Deum constructæ, adventuque Episcopi B Johannis in Lauram, vicesima prima Januarii mensis, indictione decima quinta, accessit sanctus pater noster Sabas in Castelli seu Castellii collem; qui à Laura viginti circiter stadiis distat, ad partem Septentrionalem quæ est versùs Orientem. Erat autem ille collis formidandus & inaccessus, propter multitudinem dæmonum in eo latitantium; unde nullus pastorum illius solitudinis incolarum audebat loco appro- C pinquare. Hic itaque venerandus senex, postquam Altissimum posuisset refugium suum, & oleo veneratione dignissimæ crucis aspersisset locum, illic dies Quadragesimæ transegit: atque assiduis Dei glorificationibus mansuefactus est locus. Multas tamen tribulationes à dæmonibus eo in colle sustinuit. Quocirca ipse quidem, veluti homo, perterritus, volebat recedere. Verùm

Vita Johannis n. 6.

Ps. XC. 9.

* Allat. ἑαυτοῦ

λέγων· κύριε ὁ θεὸς τοῦ Ἀββᾶ μου Σάβα, μή με ἐγκαταλίπῃς· καὶ εὐθέως ὁ ἐν στύλῳ νεφέλης ποτὲ ὁδηγήσας τὸν Ἰσραὴλ θεός, καὶ τούτου εἰς σκέπην νεφέλην διεπέτασε, καὶ δρόσον αὐτῷ ἀναψύξεως παρέχουσαν καὶ ἐνδυναμοῦσαν. καὶ οὕτως ἔχων τὴν νεφέλην ἀκολουθοῦσαν, ἦλθεν εἰς τὴν λαύραν.

κζ'. Τῷ πεντηκοστῷ τετάρτῳ τῆς τοῦ μεγάλου Σάβα ἡλικίας χρόνῳ, δευτέρῳ δὲ ἔτει τοῦ ἐγκαινισμοῦ τῆς θεοκτίστου ἐκκλησίας, καὶ τῆς τοῦ ἐπισκόπου Ἰωάννου ἐν τῇ λαύρᾳ παρουσίας, τῇ εἰκάδι πρώτῃ τοῦ Ἰαννουαρίου μηνός, τῆς πεντεκαιδεκάτης ἰνδικτιόνος, ἦλθεν ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν Σάβας εἰς τὸν τοῦ Καστελλίου βουνόν, ὡς ἀπὸ εἴκοσι σταδίων ὄντα τῆς λαύρας, κατὰ τὸ πρὸς ἀνατολὰς ἀρκτῷον μέρος· ἦν δὲ ὁ βουνὸς ἐκεῖνος φοβερός τε καὶ ἄβατος, διὰ τὸ πλῆθος τῶν εἰς αὐτὸν ἐμφωλευόντων δαιμόνων, ὅθεν οὐδεὶς ἐτόλμα τῶν κατὰ τὴν ἔρημον ποιμένων προσεγγίσαι τῷ τόπῳ. ὁ μὲν οὖν σεβάσμιος οὗτος πρεσβύτης, τὸν ὕψιστον θέμενος καταφυγὴν * αὐτοῦ, καὶ ἐκ τοῦ ἐλαίου τοῦ πανσέπτου σταυροῦ ἐπιῤῥάνας τὸν τόπον, ἔμεινεν αὐτόθι τὰς ἡμέρας τῆς τεσσαρακοστῆς· καὶ ταῖς ἀπαύστοις θείαις δοξολογίαις ἡμερώθη ὁ τόπος. πολλὰς δὲ θλίψεις ὑπέμεινεν ἐν ἐκείνῳ τῷ βουνῷ ὑπὸ τῶν δαιμόνων. πλὴν ὅτι αὐτὸς μὲν ὡς ἄνθρωπος δειλανδρήσας, ἠβουλήθη ἀναχωρῆσαι. ἀλλ'

ὁ τῷ μεγάλῳ Ἀββᾷ Ἀντωνίῳ ἐπιφανείς ποτε, καὶ τούτῳ ἐπεφάνη, θαῤῥεῖν παρακαλούμενος τῇ τοῦ σταυροῦ δυνάμει. καὶ οὕτως θάρσος λαβὼν, τῇ πίστει καὶ τῇ ὑπομονῇ περιεγένετο τῆς τῶν δαιμόνων θρασύτητος. αὐτοῦ γὰρ ἐγκαρτεροῦντος τῇ ἀνενδότῳ προσευχῇ καὶ τῇ ἀσιτίᾳ, περὶ τὸ τέλος τῶν τεσσαράκοντα ἡμερῶν, ἐν μιᾷ νυκτὶ ἀγρυπνοῦντος αὐτοῦ, καὶ δεομένου τοῦ θεοῦ καθαρισθῆναι τὸν τόπον ἀπὸ τῶν ἐμφωλευόντων ἀκαθάρτων πνευμάτων, ἤρξαντο ἄφνω οἱ δαίμονες κτύπους ἀποτελεῖν, καὶ φαντασίας δεικνύειν, ποτὲ μὲν ἑρπετῶν θηρίων, ποτὲ δὲ κοράκων ὁμοιώματα, βουλόμενοι αὐτὸν ταῖς τοιαύταις ἐκφοβῆσαι φαντασίαις. ὡς δὲ οὐκ ἴσχυσαν, αὐτοῦ τῇ προσευχῇ προσκαρτεροῦντος, ἐξῆλθον ἐκεῖθεν, ἀνθρωπίνῃ φωνῇ βοῶντες καὶ λέγοντες· ὢ βία ἀπὸ σοῦ Σάβα, οὐκ ἀρκεῖ σοι ὁ χείμαῤῥος ὁ πολισθεὶς ὑπὸ σοῦ, ἀλλὰ καὶ τῷ τόπῳ ἡμῶν ἐπέβης. ἰδοὺ ὑποχωροῦμεν τῶν ἰδίων ἡμῶν· ἀντιστῆναι γάρ σοι οὐ δυνάμεθα, ἔχοντι τὸν θεὸν ὑπέρμαχον. ταῦτα καὶ τὰ τοιαῦτα λέγοντες, ἀνεχώρησαν ἄφνω ἐκ τοῦ ὄρους ἐκείνου ὁμοθυμαδὸν, ἐν αὐτῷ τῷ μεσονυκτίῳ, ὡς πλῆθος κοράκων φαινόμενοι, μετὰ κτύπου τινὸς καὶ θορύβου ἀτάκτου. καὶ ποιμένες ἦσαν κατὰ τὴν περὶ τὸ ὄρος ἐκεῖνο ἔρημον, ἀγραυλοῦντες καὶ φυλάσσοντες τὴν ἑαυτῶν ποίμνην, οἵτινες τὸν τῶν κοράκων θόρυβον βλέποντες, καὶ τῶν φωνῶν ἀκούοντες, καὶ λίαν φοβηθέντες,

A qui magno Abbati Antonio olim apparuerat, huic etiam apparuit, adhortatusque est ut in virtute crucis confideret. Atque sic sumptâ fiduciâ, per fidem & patientiam ferocitatem dæmonum superavit. Nam cùm in oratione & jejunio constanter perseveraret, circa dierum quadraginta finem, nocte quadam dum vigilat, Deumque precatur purgari locum à latentibus impuris spiritibus, cœperunt derepente dæmones strepitus edere, & spectra exhibe- B re, interdum reptilium bestiarum seu serpentum, interdum corvorum simulacra, quò ipsum hujusmodi visis perterrefacerent. Ut autem non valuerunt, quòd nimirum in precibus perduraret, illinc egressi sunt, humanâ voce clamando ac dicendo; O vis à te Saba! Non sufficit tibi torrens, à te inhabitatus & constructus, sed nostrum quoque locum invasisti. C Ecce propriis nostris cedimus: non enim possumus tibi resistere, qui Deum propugnatorem habeas. Hæc & similia dicentes subitò uno consensu è monte recesserunt, ipsa media nocte, velut multitudo corvorum visi, cum strepitu & tumultu incomposito. Porrò in solitudine illa quæ montem ambit pastores pernoctabant gregemque suum custodiebant; qui corvorum tumultum spectantes, & vociferationem audientes, valdeque territi,

dixerunt inter se; Sancti quidam potiùs viri manent in Castellio, & quæ illic versabantur dæmonia fugaverunt; verumtamen transeamus usque ad collem, & videamus quid contigerit, atque si illic sunt sancti viri, veneremur eos. Tum orto mane in collem Castellii ascenderunt, inventoque sancto sene prorsus solò, narraverunt ei quæ per noctem vidissent & audivissent. Sanctus verò dixit illis; Filii, vadite in pace, & *timorem eorum ne timueritis*. Sicque fiduciâ donatos dimisit in pace. Porrò completis jejunii diebus, in Lauram rediit; & post peractum Paschale festum, quosdam ex patribus assumpsit, ad Castellium perrexit, cœpitque purgare locum, ac ex inventa materia cellulas condere. Cùm igitur purgant, sub strue magnam domum sæcularem miris lapidibus fornicatam nanciscuntur; ex qua effossa & adornata Ecclesiam fecit: indeque jam locum Cœnobium reddere meditatus est; quod etiam evenit. Dum ipse autem in hoc Castellio unà cum fratribus laboraret, careretque cunctis ad alimoniam accommodatis; circa mensem Augustum, tunc Abbati Marciano, qui circa sanctam Bethlehem Cœnobiis præerat, de divino sene revelatur. Vidit enim unâ nocte formam quamdam Angelicam refulgentem, eique dicentem;

1. Pet. III. 14.

A ἔλεγον πρὸς ἑαυτούς· μᾶλλον ἅγιοί τινες ἄνδρες μένουσιν ἐν τῷ Καστελλίῳ, καὶ τὰ ἐκεῖσε δαιμόνια ἐφυγάδευσαν· ἀλλὰ διέλθωμεν δὴ ἕως τοῦ βουνοῦ, καὶ ἴδωμεν τί τὸ γεγονός, καὶ εἰ εἰσὶν ἐκεῖ ἅγιοι ἄνδρες προσκυνήσωμεν αὐτοῖς. καὶ γενομένης πρωΐας ἀνέβησαν εἰς τὸν τοῦ Καστελλίου βουνὸν, καὶ εὑρέντες τὸν ἅγιον γέροντα μονώτατον, διηγήσαντο αὐτῷ ὅσα τῇ νυκτὶ ἴδον καὶ ἤκουσαν. ὁ δὲ ἅγιος εἶπεν πρὸς αὐτούς· ὑπάγετε τέκνα ἐν εἰρήνῃ, καὶ
B τὸν φόβον αὐτῶν μὴ φοβηθῆτε. καὶ οὕτως θαρσοποιήσας αὐτοὺς ἀπέλυσεν ἐν εἰρήνῃ. πληρωθέντων δὲ τῶν ἡμερῶν τῆς νηστείας, ἦλθεν εἰς τὴν λαύραν, καὶ ποιήσας τὴν πασχαλίαν ἑορτὴν, ἔλαβέ τινας τῶν πατέρων, καὶ ἦλθεν εἰς τὸ Καστέλλιν, καὶ ἤρξατο ἀνακαθαίρειν τὸν τόπον, καὶ κτίζειν κελλία ἐκ τῆς εὑρεθείσης ὕλης. ἐν τῷ οὖν ἀνακαθαίρειν, εὑρίσκουσιν ὑποκάτωθεν τῆς ὕλης, οἶκον βιωτικὸν μέγαν ἀπὸ λίθων θαυμαστῶν κεκαμαρωμένον· ὅντινα ἐκχώσας καὶ
C διακοσμήσας, ἐκκλησίαν πεποίηκε· καὶ ἐκ τούτου λοιπὸν ἐσκέψατο τὸν τόπον κοινόβιον ποιῆσαι· ὅπερ καὶ γέγονεν. αὐτοῦ δὲ ἐν τούτῳ τῷ Καστελλίῳ κοπιῶντος μετὰ τῶν ἀδελφῶν, καὶ μηδὲν ἔχοντος τῶν πρὸς τροφὴν ἐπιτηδείων, περὶ τὸν Αὔγουστον μῆνα, ἀποκαλύπτεται τότε τῷ Ἀββᾷ Μαρκιανῷ περὶ τὴν ἁγίαν κοινοβιαρχοῦντι Βηθλεέμ, τὰ κατὰ τὸν θεῖον πρεσβύτην. ἑώρα γὰρ ἐν μιᾷ νυκτὶ μορφήν τινα ἀγγελικὴν ἀπαστράπτουσαν καὶ λέγουσαν πρὸς αὐτόν·

ἰδοὺ

ἰδοὺ σὺ Μαρκιανὲ καθέζῃ ἐν ἀνέσει, ἔχων πάντα τὰ πρὸς τροφὴν τοῦ σώματος· ὁ δὲ δοῦλος τοῦ θεοῦ Σάβας κοπιᾷ ἐν τῷ Καστελλίῳ μετὰ ἀδελφῶν τινῶν διὰ τὴν πρὸς θεὸν ἀγάπην, πεινῶν, καὶ μηδενὸς τὴν ἐπιτηδείαν πρὸς τροφὴν εὐπορῶν· ἀλλὰ θέλησον ἀνυπερθέτως ἀποστεῖλαι αὐτοῖς τροφὰς, ἵνα μὴ ἀθυμήσωσιν. ὁ δὲ Ἀββᾶς Μαρκιανὸς αὐτίκα διαναστὰς ἐκέλευσε στρωθῆναι τὰ τοῦ κοινοβίου ἄλογα, καὶ ταῦτα φορτώσας διάφορα ἀναλώματα, ἀπέστειλεν εἰς τὸ Καστέλλιν μετὰ ἀδελφῶν. οὕστινας ἀδελφοὺς μετὰ τοῦ φόρτου ὁ θεῖος δεξάμενος πρεσβύτης, τὰς εὐχαριστηρίους φωνὰς τοῦ τε Δαβὶδ καὶ τοῦ Δανιὴλ ἐπὶ τῇ τοῦ θεοῦ ἐπισκοπῇ προσφόρως ἐμελέτα, καὶ γέγονε περὶ τὴν τοῦ κοινοβίου οἰκοδομὴν προθυμότερος. ὁ μέντοι Ἀββᾶς Μαρκιανὸς μετὰ τὴν εἰρημένην ἀποκάλυψιν τέσσαρας μῆνας ἐπιβιώσας, εἰς τὸν ἀγήρω καὶ ἄλυπον μετέστη βίον. ὁ δὲ μέγας πατὴρ ἡμῶν Σάβας πληροφορηθεὶς θεραπεύεσθαι τὸν θεὸν ἐπὶ τῷ ἑαυτοῦ κόπῳ, ἐπλήρωσεν τὴν τοῦ κοινοβίου οἰκοδομὴν, σπουδῇ πολλῇ καὶ προθυμίᾳ χρησάμενος· καὶ συνοδίαν ἱκανὴν αὐτόθι περιποιησάμενος, Παῦλόν τινα ἀρχαῖον ἀναχωρητὴν, ἅμα Θεοδώρῳ μαθητῇ ἑαυτοῦ διοικητὴν τοῦ τόπου κατέστησε. τοῦ δὲ Παύλου τελειωθέντος κρατήσας τῆς διοικήσεως Θεόδωρος, τόν τε ἴδιον ἀδελφὸν Σέργιον καὶ Παῦλον τὸν ἑαυτοῦ

A Ecce tu Marciane, sedes cum quiete, cunctis præditus ad corpus alendum necessariis; dum servus Dei Sabas in Castellio cum quibusdam fratribus propter caritatem in Deum laborat, esuriens, nec ullo ad alimentum idoneo satis instructus: sed velis absque dilatione mittere ad eos escas, ne animum abjiciant. Tum Abbas Marcianus illicò exsurrexit, Cœnobii equos insterni jussit, eosque variis ad sumendum ap-B tis oneratos misit cum fratribus in Castellum. Quos fratres cum sarcinis divinus suscipiens senex, gratiarum actionis voces illas Davidis & Danielis super visitatione Dei convenienter meditabatur, redditusque est ad Cœnobii constructionem promptior. Ceterùm Abbas Marcianus post dictam revelationem, quatuor mensibus superstes, ad vitam immortalem & tranquillam translatus est. Magnus verò pater noster C Sabas plenè persuasus Deo placere laborem suum, Cœnobii ædificationem multa cum diligentia & alacritate absoluit; cùmque satis magnum illic conventum instituisset, Paulum quemdam veterem Anachoretam, cum Theodoro discipulo suo administratorem loci constituit. Paulo autem mortuo, gubernationem tenuit Theodorus, propriumque fratrem Sergium & Paulum patruum vel avunculum suum

admisit, genere Melitinos, qui A postquam Castellio per aliquod tempus præclarè præfuissent, Amathuntis & Ailæ Episcopatum exceperunt. Atque hæc quidem de Castellio.

* Metaphr. Ἀμαθοῦντος

XXVIII. At pater noster Sabas Castellii Cœnobio constituto, omne studium in eo adhibuit, ut inibi viros ætate provectos ac in Monastica vita excellentes insereret; cúmque sæculares quosdam qui mundo renunciare vellent admittebat, B neque in Castellio, neque in Laura in cellulis eos habitare permittebat, sed parvo Cœnobio ad septentrionalem Lauræ partem constructo, collocatisque in eo viris gravibus & prudentibus, illic eos qui renunciabant manere jussit, donec Psalterium & psallendi regulam didicissent, ac exactam Monachalis disciplinæ eruditionem accepissent; quòd semper diceret, Monachum celliotam seu in cella residentem C debere esse discernendi vi præditum, studiosum, pugilem, sobrium, vigilantem, temperantem, moderatum, aptum ad docendum, non indigentem doctrina, idoneum cunctis corporis membris refrenandis, atque tutò servandæ menti. Novi quippe hujusmodi hominem à Scriptura nominari unius singularisque moris, quando dicit; *Dominus inhabitare facit unius moris in domo.*

Ps. LXVII. 7.

θεῖον προσελάβετο, Μελιτινοὺς ὄντας τῷ γένει· οἵτινες κατὰ καιροὺς, τοῦ Καστελλίου καλῶς ἡγησάμενοι, τῆς * τῶν * Ἀμαθουσίων καὶ τῆς Ἀϊλᾶ τὰς ἱεραρχίας διεδέξαντο. καὶ ταῦτα μὲν περὶ τοῦ Καστελλίου.

κη΄. Ὁ δὲ πατὴρ ἡμῶν Σάβας τὸ τοῦ Καστελλίου κοινόβιον συστησάμενος, πᾶσαν σπουδὴν ἐποιεῖτο καταφυτεῦσαι εἰς αὐτὸ ἄνδρας πρεσβεβηκότας, καὶ ἐν μοναχικῇ πολιτείᾳ διαπρέποντας· καὶ ὅταν κοσμικούς τινας ἐδέχετο ἀποτάξασθαι βουλομένους, οὔτε εἰς τὸ Καστέλλιν, οὔτε εἰς τὴν λαύραν εἰς κελλία ἤφιεν αὐτοὺς οἰκῆσαι, ἀλλὰ μικρὸν κοινόβιον κατὰ τὸ ἀρκτῷον μέρος τῆς λαύρας συστησάμενος, καὶ ἄνδρας εἰς αὐτὸ ἐρρωμένους καὶ νηφαλίους καταστήσας, ἐκεῖσε τοὺς ἀποτασσομένους μένειν ἐκέλευσεν, ἕως οὗ τό τε ψαλτήριον μάθωσι, καὶ τὸν τῆς ψαλμῳδίας κανόνα, καὶ τὴν μοναχικὴν παιδευθῶσιν ἀκρίβειαν· αὐτοῦ πάντοτε λέγοντος, ὅτι δεῖ εἶναι τὸν κελλιώτην μοναχὸν, διακριτικὸν καὶ σπουδαῖον, ἀγωνιστὴν, νηφάλιον, σώφρονα, κόσμιον, διδακτικὸν, οὐ χρήζοντα διδασκαλίας, ἱκανὸν ὄντα τά τε μέλη τοῦ σώματος πάντα χαλιναγωγῆσαι, καὶ τὸν νοῦν τηρεῖν ἀσφαλῶς. τὸν γὰρ τοιοῦτον, μονότροπον οἶδα τὴν γραφὴν ὀνομάζουσαν, ἐν τῷ λέγειν κύριος κατοικίζει μονοτρόπους ἐν οἴκῳ.

A ὅτε δὲ ἐδοκίμαζε τοὺς ἀποτασσομένους, τόν τε τῆς ψαλμῳδίας κανόνα ἀκριβῶς μεμαθηκότας, καὶ ἱκανοὺς γεγονότας τὸν ἑαυτῶν νοῦν τηρεῖν, καὶ καθαρεύειν τὴν ἀπὸ τῶν κοσμικῶν μνήμης τὴν διάνοιαν, καὶ πρὸς τοὺς ἀλλοτρίους λογισμοὺς ἀνταγωνίζεσθαι, τότε παρεῖχεν αὐτοῖς κελλία εἰς τὴν λαύραν· εἰ δὲ εἶεν δυνατοί, ἐπέτρεπεν αὐτοῖς οἰκοδομῆσαι, διαβεβαιούμενος καὶ λέγων, ὅτι ὅστις ἐν τῷ τόπῳ τούτῳ κτίσει κελλίον ἢ ἐπικτίσει, οὗτός ἐστιν ὡς ἐκκλησίαν Θεοῦ κτίζων. B

κθʹ. Ταῦτα ποιῶν καὶ διδάσκων ὁ πατὴρ ἡμῶν Σάβας, ἀγένειον παντελῶς οὐ συνεχώρει συνοικῆσαι τῇ ὑπ' αὐτοῦ συνοδίᾳ, μὴ πληρώσαντι τὴν ὄψιν τῶν γενείων, διὰ τὰ σκάνδαλα τοῦ πονηροῦ· καὶ εἴ ποτε ἀγένειόν τινα, ἐν τελείᾳ ὄντα ἡλικίᾳ, βουλόμενον ἀποτάξασθαι ἐδεξιοῦτο, τῷ τρισμακαρίῳ ἀπέστελλεν Ἀββᾷ Θεοδοσίῳ, ἐκ τῆς τοῦ Καθίσματος ἤδη ἐκκλησίας ἀναχωρήσαντι, καὶ ὑπὸ Μαρίνου τοῦ τὴν Φωτι- C νοῦ λεγομένην συστησαμένου μονήν, καὶ Λουκᾶ τοῦ Μετωπινοῦ, τῶν πάλαι ὑπὸ τοῦ ὁσίου Εὐθυμίου παιδευθέντων, εἰς μοναχικὴν τελειότητα προβιβασθέντι, καὶ ὡς ἀπὸ τριάκοντα πέντε σταδίων τῆς λαύρας οἰκήσαντι πρὸς δυσμάς, καὶ κοινόβιον αὐτόθι τῇ τοῦ Χριστοῦ συνεργίᾳ συνιστῶντι περιφανέστατον. καὶ ὁ μὲν πατὴρ ἡμῶν Σάβας ἀποστέλλων ὡς εἴρηται ἀδελφὸν τῷ μεγάλῳ

Postquam autem abrenunciantes exploraverat, tum Psalmodiæ Canonem accuratè didicisse, tum posse mentem suam custodire, animumque à rerum mundanarum memoria purum facere, atque contra alienas cogitationes decertare, tunc iis cellas in Laura præbebat: quòd si essent validi, ædificare iis mandabat, affirmando & dicendo; Quicumque in loco hoc cellam ædificaverit vel superædificaverit, is quasi Ecclesiam Dei ædificaret habebitur.

XXIX. Hæc dum faceret ac doceret pater noster Sabas, imberbi non concedebat prorsus in suo conventu habitare, qui os barbâ non obduxisset, idque ob Mali scandala; & si quando imberbem, perfectæ tamen ætatis, renunciationis cupidum suscepisset, ad beatissimum Abbatem Theodosium mittebat, qui ab Ecclesia Cathismatis jam recesserat, atque sub Marino, Monasterii Photini dicti constructore, & Luca Metopino, hominibus olim per sanctum Euthymium eruditis, provectus fuerat ad Monacho convenientem perfectionem, habitabatque quasi triginta quinque à Laura stadiis, ad Occidentem, ubi Cœnobium illustrissimum Christi ope constituerat. Et noster quidem pater Sabas fratrem, quemadmodum dictum est, cùm mitteret ad magnum

Abbatem Theodosium, primò A eum hoc pacto commonefaciebat; Fili, indecens est, imò potiùs noxium, ut hæc Laura quempiam retineat imberbem. Hanc enim legem tulerunt antiqui Sceteos patres; hoc mihi tradidit magnus pater noster Euthymius. Nam cùm voluissem Lauram ipsius incolere, imberbem me intuitus, ad beatum Theoctistum ablegavit, dicens; Absurdum perniciosumque est, imberbem in Lau- B ra commorari. Abi ipse tu ad Abbatem Theodosium, & illic proficies. Magnus autem Abbas Theodosius, missi ab eo fratris, omnibus modis studebat curam gerere, propter eum qui miserat. Exstiterunt quippe unius animi ac sententiæ, se mutuo magis quàm aerem spirantes; adeò ut Hierosolymitani cernendo eorum secundùm Deum concordiam & consensionem, vocarent novum Apostolicum par Petri ac C Johannis. Quapropter ambos ipsos Archimandritas & Monachorum Exarchos Archiepiscopus Salustius jam in Christo moriturus fecit, ab omni Monachorum habitu & cœtu postulatus. Quænam porrò caussa exstiterit promotionis eorum, paucis referam.

*Quidam Codd. Metaphr. Ἠλ

XXX. Cùm Elpidius & Elias Abbatis Passarionis successores è vita excessissent, qui unus post alium fuerant Archimandritæ, & quidam Lazarus

A Ἀββᾶ Θεοδοσίῳ, πρῶτον τὰ τοιαῦτα αὐτὸν ἐνουθέτει λέγων· τέκνον, ἀπρεπές ἐστι, μᾶλλον δὲ ἐπιβλαβὲς, τὸ τὴν τοιαύτην λαύραν, ἀγένειον ἔχειν τινά. τοῦτο καὶ οἱ ἀρχαῖοι τῆς Σκήτεως πατέρες ἐνομοθέτησαν, καὶ ἐμοὶ παραδέδωκαν οἱ περὶ τὸν μέγαν πατέρα ἡμῶν Εὐθύμιον. βουληθέντα γάρ με τὴν αὐτοῦ λαύραν οἰκῆσαι, ἀγένειον θεασάμενος, τῷ μακαρίτῃ ἀπέστειλε Θεοκτίστῳ, λέγων, ὅτι ἄτο- B πόν ἐστι καὶ ἐπιβλαβὲς, ἀγένειον ἐν λαύρᾳ οἰκεῖν. καὶ αὐτὸς ἄπιθι πρὸς τὸν Ἀββᾶν Θεοδόσιον, κἀκεῖσε χρησιμεύσῃς. ὁ δὲ μέγας Ἀββᾶς Θεοδόσιος δεξάμενος παρ' αὐτοῦ τὸν πεμφθέντα ἀδελφὸν, ἔσπευδε πᾶσι τρόποις θεραπεῦσαι αὐτὸν, διὰ τὸν ἀποστείλαντα. γεγόνασι γὰρ ὁμόψυχοι καὶ ὁμόφρονες, πνέοντες ἀλλήλους μᾶλλον, ἢ τὸν ἀέρα· ὥστε τὴν κατὰ θεὸν αὐτῶν ὁμόνοιαν τε καὶ συμφωνίαν ὁρῶντας τοὺς Ἱεροσολυμίτας, καλεῖν C νέαν ἀποστολικὴν ζυγὴν Πέτρου καὶ Ἰωάννου. ὅθεν τοὺς ἀμφοτέρους αὐτοὺς ἀρχιμανδρίτας καὶ τῶν μοναχῶν ἐξάρχους πεποίηκεν ὁ ἀρχιεπίσκοπος Σαλούστιος, μέλλων ἐν Χριστῷ τελειοῦσθαι, αἰτηθεὶς παρὰ παντὸς τοῦ μοναχικοῦ σχήματος. τίς δὲ ἡ αἰτία τῆς τούτων προβολῆς, δι' ὀλίγων ἐρῶ.

λ'. Ἐλπιδίου καὶ * Ἠλία τῶν τοῦ Ἀββᾶ Πασσαρίωνος διαδόχων τελευτησάντων, ἀρχιμανδριτῶν κατὰ διαδοχὴν ὄντων, καὶ Λαζάρου

τινὸς τὴν ἐκείνων ἡγεμονίαν διαδεξαμένου, ἀποσχίσαντος τῆς καθολικῆς κοινωνίας πλεονεκτήσαντος, καί τινος Ἀναστασίου τὴν ἡγεμονίαν διαδεξαμένου, ἀναρχία τις, ἢ καὶ πολυαρχία ἐν τοῖς μοναχοῖς τὸ τηνικαῦτα ἐκράτει, ἐξ ὧν πέφυκε γίνεσθαι ἀταξία τε καὶ στάσις. ὅθεν ἐν συγχύσει τοῦ μοναχικοῦ ὑπάρχοντος, Λαζάρου ἤδη καὶ Ἀναστασίου τῶν κατὰ διαδοχὴν ἀρχιμανδριτῶν, ἐξησθενηκότων ἐκ τοῦ τόνου τῆς μοναχικῆς ἀκριβείας, καὶ ταῖς γηΐναις φροντίσι καὶ κοσμικαῖς προσόδοις περισχοληθέντων· ὅτε μάλιστα καὶ Ἀναστασίου τὴν βασιλείαν Ζήνωνος διαδεξαμένου, καὶ τοῖς ἀποσχισταῖς παῤῥησίαν δεδωκότος· τότε διαναστὰς ὁ πατριάρχης Σαλούστιος, τὸν ἀνωτέρω μνημονευθέντα Ἀββᾶν Μαρκιανὸν, ἀρχιμανδρίτην τῶν μοναχῶν πεποίηκεν. ὀλίγου δέ τινος χρόνου παρελθόντος, καὶ Μαρκιανοῦ ἐν Χριστῷ κοιμηθέντος, πάντων τῶν τῆς ἐρήμου μοναχῶν ἐν τῷ ἐπισκοπίῳ παρὰ τῷ πατριάρχῃ ἀῤῥωστοῦντι συναθροισθέντων, προεβλήθησαν κατὰ κοινὴν ψῆφον Θεοδόσιος καὶ Σάβας, ἀρχιμανδρῖται καὶ ἔξαρχοι πάντων τῶν ὑπὸ τὴν ἁγίαν πόλιν μοναστηρίων, ὡς ἐρημῖται καὶ ἀκτήμονες, καὶ βίῳ καὶ λόγῳ κεκοσμημένοι, καὶ τοῖς θείοις κομῶντες χαρίσμασιν. ἀπὸ τότε τοίνυν, ὁ μὲν Ἀββᾶς Θεοδόσιος, ἀρχηγὸς γέγονε καὶ ἀρχιμανδρίτης παντὸς τοῦ

A eorum in præfectura successor, à Catholica communione ad schisma digressus obiisset, quidamque nomine Anastasius gubernationem excepisset, Anarchia quædam seu nullius imperium, vel etiam Polyarchia sive multorum principatus tunc inter Monachos obtinebat, ex quibus progigni solet perturbatio ac seditio. Unde quia in confusione erat Monachalis status, quòd jam Lazarus & Anastasius consequenter Archimandritæ à vigore B Monachicæ disciplinæ defecissent, ac terrenis curis mundanisque reditibus addicti essent; quando maximè Anastasius Zenoni in Imperio successerat, & Aposchistis fiduciam dederat; tunc excitatus Patriarcha Salustius, suprà memoratum Abbatem Marcianum, Monachorum Archimandritam effecit. Pauco verò tempore procedente, ubi Marcianus in Christo obdormivit, cunctis Eremi C Monachis in Episcopio apud Patriarcham ægrotantem congregatis, provecti sunt communi calculo Theodosius & Sabas, ut essent Archimandritæ ac Exarchi cunctorum sub sancta civitate positorum Monasteriorum, utpote Eremitæ & nihil possidentes, vita ac sermone exornati, divinisque charismatibus referti. Ex eo igitur tempore, Abbas quidem Theodosius princeps, dux atque Archimandrita totius

Cœnobiacæ professionis exstitit, qui secum habebat secundas partes in Cœnobiacorum institutionis curis & providentia gerentem sanctum Abbatem Paulum, Monasterii Abbatis Martyrii præpositum; noster autem pater Sabas, princeps ac legislator universæ Anachoreticæ vitæ, cunctorumque qui in cellis degere sibi proponerent constitutus fuit.

* All. φροντίδων

XXXI. Postquam autem Archiepiscopus Salustius, obtenta sede Hierosolymorum per octo annos mensesque tres, in Christo dormiisset, mense Julio, vicesima tertia die, Indictione secunda, Elias, de quo plurimam feci mentionem libro de sancto Euthymio, in Patriarchatu successit, quinquagesimo sexto beati Sabæ ætatis anno. Qui Patriarcha Elias prope Episcopium Monasterium ædificavit, ibique sanctæ Resurrectionis probos viros aggregavit, per loca circa turrim Davidis dispersos, cellas singulis distribuens, cunctis ad corporis refectionem necessariis instructas. Quibus, ut dictum est, congregatis, pater noster Sabas diversas ab iis emit cellas, easque Xenodochium Lauræ fecit. Erant autem aliæ cellæ versùs borealem emptarum cellarum partem, quas ad excipiendos peregrinos Monachos emere volebat: itaque quæsitâ sufficienti

A κοινοβιακοῦ κανόνος, ἔχων μετ᾽ αὐτοῦ τὸν δευτερεύοντα τῆς τῶν κοινοβιακῶν καταστάσεως * φροντίδος τὸν ἐν ἁγίοις Ἀββᾶν Παῦλον, τὸν τῆς τοῦ Ἀββᾶ Μαρτυρίου μονῆς ἡγούμενον· ὁ δὲ πατὴρ ἡμῶν Σάβας, ἄρχων κατεστάθη καὶ νομοθέτης παντὸς τοῦ ἀναχωρητικοῦ βίου, καὶ πάντων τῶν ἐν ταῖς κέλλαις ζῆν προαιρουμένων.

λα΄. Τοῦ μέντοι ἀρχιεπισκόπου B Σαλουστίου ἐπὶ ὀκτὼ χρόνοις καὶ μῆνας τρεῖς τῶν Ἱεροσολύμων θρόνου κρατήσαντος, καὶ ἐν Χριστῷ κοιμηθέντος, μηνὶ Ἰουλίῳ εἰκαδιτρίτη, τῆς δευτέρας Ἰνδικτιόνος, Ἡλίας ὁ πλειστάκις μνημονευθεὶς ἐν τῷ περὶ τοῦ ὁσίου Εὐθυμίου λόγῳ, τὴν πατριαρχίαν διεδέξατο, τῷ πεντηκοστῷ ἕκτῳ τῆς τοῦ μακαρίου Σάβα ἡλικίας χρόνῳ. ὅστις πατριάρχης Ἡλίας ᾠκοδόμησε μοναστήριον πλησίον τοῦ ἐπισκοπείου, καὶ ἐν αὐτῷ περισυνήγαγε τοὺς τῆς ἁγίας ἀ- C ναστάσεως σπουδαίους, εἰς τοὺς περὶ τὸν πύργον τοῦ Δαυὶδ τόπους διεσπαρμένους, κελλία ἑκάστῳ αὐτῶν διανείμας, πᾶσαν σωματικὴν ἀνάπαυσιν ἔχοντα. αὐτῶν δὲ ὡς εἴρηται συναθροισθέντων, ὁ πατὴρ ἡμῶν Σάβας διάφορα παρ᾽ αὐτῶν ἀγοράσας κελλία, ξενοδοχεῖον ταῦτα τῆς λαύρας πεποίηκεν. ἦσαν δὲ ἄλλα κελλία κατὰ τὸ βόρειον μέρος τῶν ἀγορασθέντων κελλίων, ἅπερ ἐβούλετο ἀγοράσαι εἰς λόγον ξένων μοναχῶν· καὶ ἱκανοῦ χρυσίου

ποσότητος ζητουμένης, οὐκ εἶχε πλὴν ἑνὸς ἡμισίου· καὶ τῇ εἰς θεὸν πίστει ἐνερειδόμενος, δέδωκε τὸ ἡμίσιν ἀρραβῶνα λέγων· εἰ μὴ αὔριον πᾶσαν τὴν τιμὴν ἀποπληρώσω, ἀπόλλω τὸν ἀρραβῶνα· καὶ ἐν αὐτῇ τῇ ὁρισθείσῃ ἡμέρᾳ πρὸ τοῦ ἀνατεῖλαι τὸν ἥλιον, αὐτοῦ περὶ τούτου ἐνθυμουμένου, καὶ κατὰ διάνοιαν προσευχομένου, ἔρχεταί τις πρὸς αὐτὸν ξενικός, ἄγνωστος παντελῶς, καὶ δίδωσιν αὐτῷ ἑκατὸν ἑβδομήκοντα νομίσματα, καὶ παραυτίκα ἀναχωρεῖ, μηδὲ τὴν οἰκείαν ἀναγγείλας προσηγορίαν. ὁ δὲ μακαρίτης θαυμάσας τὴν τοῦ θεοῦ ταχεῖαν ἀντίληψιν, δέδωκε τὸ τίμημα τῶν κελλίων, καὶ καθίστησιν ἕτερον ξενοδοχεῖον πρὸς τὴν τῶν ἐρχομένων ἀπὸ ξένης ἀνάπαυσιν. ἀλλὰ δὴ καὶ τῷ Καστελλίῳ περιποιησάμενος ξενοδοχεῖα δύο, ἔν τε τῇ ἁγίᾳ πόλει, οὐ μακρὰν τοῦ πύργου τοῦ Δαυίδ, καὶ ἐν Ἱεριχῷ ἐν ἑνὶ τῶν ὠνηθέντων παρ' αὐτοῦ παραδεισίων.

λβʹ. Κατὰ τοῦτον τὸν χρόνον ἀπέστειλεν ὁ θεὸς τῷ πατρὶ ἡμῶν δύο ἀδελφοὺς κατὰ σάρκα, ἐκ τῆς μὲν Ἰσαυρίας ὁρμωμένους, Θεόδουλον δὲ καὶ Γελάσιον προσαγορευομένους· οὕστινας ἐάν τις, ὡς ἔμοιγε δοκεῖ, Βεσελεὴλ καὶ Ἐλιὰβ τοὺς ἀρχιτέκτονας τῆς σκηνῆς καλέσειεν, οὐχ ἁμαρτήσει. τούτους γὰρ ἔχων ὁ νέος παρ' ἡμῖν Μωϋσῆς, τά τε λείποντα εἰς τὴν ἑαυτοῦ λαύραν περιφανεστάτην ἔκτισε, καὶ τὰ περὶ αὐτὴν ἅγια μοναστήρια. καὶ πρῶτον μὲν ἔκτισε μαγκιπεῖον καὶ νοσοκομεῖον ἐν τῇ

auri quantitate, non invenit apud se nisi unum dimidium nummum; attamen fide in Deum fultus, illum dedit pignoris loco; dixitque; Nisi cras omne precium explevero, arrham perdam. Et ipso præfinito die, ante ortum solis, dum ea de re cogitat, & mente precatur, venit ad illum externus quidam, ignotus planè, deditque ei centum septuaginta nummos, statimque discessit, ne nomine quidem suo indicato. Quare Beatus celerem Dei opem admiratus, precium cellarum tribuit, aliudque constituit Xenodochium ad refectionem peregre venientium. Sed & Castellio duo comparavit Xenodochia, tum in sancta civitate, non procul à turre Davidis, tum ad Jerichuntem, in uno ex hortulis quos emerat.

XXXII. Hoc tempore misit Deus ad patrem nostrum duos secundùm carnem fratres, ex Isauria oriundos, Theodulum & Gelasium nuncupatos; quos si quis, meo quidem judicio, Beseleelem & Eliabum tabernaculi architectos vocaverit, non aberrabit. Hos enim habens novus noster Moyses, quæ deerant splendidissimæ suæ Lauræ condidit, nec non sacra circa eam Monasteria. Et primò quidem construxit in Laura pistrinum, cum Nosocomio,

Exod. xxxi. 2. 6.

L. Allatii Symmicta 1. 27. 28.

A atque desuper ædificavit magnam Ecclesiam celebratissimæ Deigenitricis semperque virginis Mariæ, quòd illa à Deo condita Ecclesia congregationem amplificatam coarctaret, multiplicatique essent Armenii, & in parvo oratorio angustarentur. In medio autem ambarum Ecclesiarum atrium fecit, ubi priùs columna ignis ab eo visa est. Fecit etiam receptacula magna in torrente, aquarum ergo. Magnâ itaque Ecclesiâ ædificatâ, omnique ornatu decoratâ, in Lauram B descendit prædictus Elias Archiepiscopus, tum eam dedicavit, tum in eadem sanctificatum defixit altare, mense Julio, primo die, nona indictione, agente magno Saba annum ætatis sexagesimum tertium. Tunc ergo Armenios à parvo oratorio transtulit, ut Psalmodiæ regulam dialecto Armeniorum in Ecclesia à Deo constructa exsequerentur, mandavitque iis, Megalium seu Evangelium & reliquam officii seriem C in Synaxibus Armenica lingua inter se recitare, tempore autem divinæ oblationis, cum Hellenistariis hoc est iis qui Græca lingua utebantur convenire, ac divina sumere sacramenta. Quoniam verò eorum nonnulli aggressi fuerant ter sanctum hymnum seu Trisagium dicere, cum illo additamento per Petrum cognomento Cnapheum aut fullonem excogitato, Qui

A λαύρᾳ, καὶ ὑπερφανῆ τὴν μεγάλην ἐκκλησίαν ᾠκοδόμησε τῆς πανυμνήτου θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, τῆς θεοκτίστου ἐκκλησίας στενοχωρούσης τὴν συνοδίαν πληθυνθεῖσαν, καὶ τῶν Ἀρμενίων πληθυνθέντων, καὶ ἐν τῷ μικρῷ εὐκτηρίῳ στενοχωρουμένων. ἀναμέσον δὲ τῶν ἀμφοτέρων ἐκκλησιῶν, μέσαυλον πεποίηκεν, ἔνθα πρώην ἴδε τὴν τοῦ στύλου πυρὸς ὀπτασίαν. ἐποίησε δὲ καὶ δοχεῖα μέγιστα ἐν τῷ χειμάρρῳ λόγῳ ὑδάτων. τῆς οὖν μεγάλης ἐκ- B κλησίας οἰκοδομηθείσης, καὶ κόσμῳ παντὶ διακοσμηθείσης, κατελθὼν ὁ προρρηθεὶς Ἠλίας ὁ ἀρχιεπίσκοπος εἰς τὴν λαύραν, ταύτην τε ἐνεκαίνισε, καὶ θυσιαστήριον ἡγιασμένον κατέπηξεν εἰς αὐτήν, μηνὶ Ἰουλίῳ πρώτῃ τῆς ἐνάτης ἰνδικτιῶνος, ἑξηκοστῷ δὲ τρίτῳ τοῦ μεγάλου Σάβα ἡλικίας χρόνῳ. τότε οὖν τοὺς Ἀρμενίους μετέστησεν ἀπὸ τοῦ μικροῦ εὐκτηρίου, πρὸς τὸ ἐπιτελεῖν τὸν τῆς ψαλμῳδίας κανόνα τῇ τῶν Ἀρμε- C νίων διαλέκτῳ εἰς τὴν θεόκτιστον ἐκκλησίαν, παρεγγυήσας αὐτοῖς τὸ μεγαλεῖον καὶ τὴν λοιπὴν ἀκολουθίαν ἐν ταῖς συνάξεσιν Ἀρμενιστὶ καθ' ἑαυτοὺς λέγειν, καὶ ἐν τῷ καιρῷ τῆς θείας προσκομιδῆς ἔρχεσθαι μετὰ τῶν Ἑλληνισταρείων, καὶ τῶν θείων μεταλαμβάνειν μυστηρίων. ἐπειδὴ δέ τινες αὐτῶν ἐπεχείρησαν λέγειν τὸν τρισάγιον ὕμνον, μετὰ τῆς ὑπὸ Πέτρου τοῦ ἐπίκλην κναφέως ἐπινοηθείσης προσθήκης, τοῦ, ὁ σταυρωθεὶς

σταυρωθεὶς δι' ἡμᾶς, ἀγανακτήσας A εἰκότως ὁ θεῖος πρεσβύτης, ἑλληνιστὶ τοῦτον αὐτοὺς τὸν ὕμνον ψάλλειν ἐκέλευσε, κατὰ τὴν ἀρχαίαν τῆς καθολικῆς ἐκκλησίας παράδοσιν, καὶ οὐ κατὰ τὴν τοῦ ῥηθέντος Πέτρου καινοτομίαν, τοῦ τὰ Εὐτυχοῦς φρονήσαντος, καὶ ἐκ δευτέρου τυραννικῷ τρόπῳ, τοῦ Ἀντιοχείας θρόνου κρατήσαντος, καὶ ὑπὸ τῶν ἐκκλησιαστικῶν θεσμῶν ἐκβληθέντος, καὶ πάλιν ἐκ τρίτου μετὰ τὴν ἐν Ἰσαυρίᾳ γεγενημένην τοῦ Ἴλου τυραννίδα ἐπὶ τῆς βασιλείας B Ζήνωνος, βασιλικῇ αὐθεντίᾳ, τοῦ αὐτοῦ θρόνου κρατήσαντος ἀθέσμως, μὴ λυθέντων τῶν κατ' αὐτοῦ γεγονότων ἀναθεμάτων, καὶ πᾶσαν τὴν ἀνατολὴν ἐκταράξαντος, καὶ ὑπὸ τοῦ πάπα Ῥώμης * φίληκος ἀναθεματισθέντος, διά τε τὴν ἑτεροδοξίαν, καὶ τὴν εἰρημένην ἐν τῷ τρισαγίῳ προσθήκην. ὅθεν δικαίως καὶ εὐσεβῶς ὁ πατὴρ ἡμῶν Σάβας τὴν ὑπ' ἐκείνου ἐπινοηθεῖσαν προσθήκην ἀποσεισάμενος, τῇ ἐκκλησιαστικῇ εἵπετο παραδόσει. ἐθέ- C σπισεν δὲ ὥστε κατὰ μὲν σάββατον τὴν σύναξιν εἰς τὴν θεόκτιστον ἐκκλησίαν, κατὰ δὲ κυριακὴν εἰς τὴν τῆς θεοτόκου ἐπιτελεῖσθαι ἐκκλησίαν, καὶ ἀπαραλείπτως ἀπὸ ὀψίας πρωῒ ἀγρυπνίαν ἐν ἀμφοτέραις γίνεσθαι ταῖς ἐκκλησίαις, κατά τε κυριακὴν, καὶ δεσποτικὴν ἑορτήν.

crucifixus es pro nobis; succensens meritò divinus senex, jussit ut hunc hymnum ipsi Græcè canerent, juxta antiquam Catholicæ Ecclesiæ traditionem, non autem secundùm dicti Petri innovationem, qui Petrus cum Eutyche eadem sensit, & bis tyrannico modo sedem Antiochenam invasit, atque Ecclesiasticis sanctionibus expulsus est, iterumque tertiò post Ili sive Illi tyrannidem in Isauria assumptam sub imperio Zenonis, imperiali auctoritate cumdem thronum nefariè, cùm anathemata adversùs eum prolata soluta non fuissent, tenuit, omnem Orientem conturbavit, denique à Papa Romano Felice, tam propter prava alienaque dogmata, quàm propter memoratum in Trisagio additamentum, anathemate percussus est. Quocirca justè ac piè pater noster Sabas ab illo commentam additionem repudiabat, Ecclesiasticam sequebatur traditionem. Sanxit etiam, ut Sabbato quidem synaxis seu collecta in Ecclesia à Deo condita, Dominicâ verò in Deiparæ templo celebraretur, necnon sine intermissione à vespera usque ad manè vigiliæ in utraque Ecclesia diebus ac festis Dominicis fierent.

* Pro Φήλικος

λγʹ. Αὐτοῦ τοίνυν τῇ τοῦ Χριστοῦ χάριτι ἐν ὀλίγῳ χρόνῳ τήν τε λαύραν πλατύναντος, καὶ τὴν συνοδίαν

XXXIII. Cùm ergo ipse per Christi gratiam brevi tempore Lauram dilatasset, conventum

auxisset, Castellii Cœnobium A constituisset, cunctisque reliquis Lauris & Anachoretis præesset, suprà memorati discipuli & accusatores ejus, ob Castellium constructum magis invidiâ moti, aliis è fratrum cœtu circumventis, & quadraginta numero, insidiabantur. At pater noster Sabas, mansuetus erga homines, contra dæmones pugnax, illis cedens, ad Scythopoleos partes recessit, seditque in loco deserto ad flu- B vium Gadarorum dictum; & mansit illic aliquamdiu in spelunca, ad quam solebat ingentis molis leo secedere: qui leo cùm circa mediam noctem venisset, Beatum dormientem invenit, ac ore capiens centonem ipsius, trahebat ipsum, ejicere è spelunca connisus; cúmque ipse surrexisset, & nocturnum Psalmorum cantum inchoasset, egressus leo, exspectabat extra speluncam. Postquam ve- C rò senex Canonem Officiumque suum absoluit, & in loco ubi solebat recubuit, iterum ingressus leo, ejusque centonio apprehenso, trahebat, conans expellere à spelûnca. Quòd igitur urgeret leo, ut ipse è spelunca egrederetur, dixit ei fidenti animo senex; Spelunca quidem ampla est, affatim capax ad utrumque recipiendum. Unus enim amborum creator est. Tu

A αὐξήσαντος, καὶ τὸ τοῦ Καστελλίου κοινόβιον συστησαμένου, καὶ πάντων τῶν λοιπῶν λαυρῶν καὶ ἀναχωρητῶν ἐξάρχοντος, οἱ ἀνωτέρω μνημονευθέντες μαθηταὶ αὐτοῦ καὶ κατήγοροι, τῇ τοῦ Καστελλίου συστάσει μᾶλλον φθονήσαντες, ἄλλους τε τῆς συνοδίας ὑπονοθεύσαντες, καὶ τεσσαράκοντα γεγονότες, ἐποίουν. ὁ δὲ πατὴρ ἡμῶν Σάβας, πρᾳῢς μὲν ὑπάρχων πρὸς ἀνθρώπους, μαχητὴς δὲ πρὸς δαίμονας, παραχωρήσας αὐτοῖς, ἀνεχώρησεν ἐπὶ B τὰ μέρη Σκυθοπόλεως, καὶ ἐκάθισεν εἰς ἔρημον τόπον παρὰ τὸν λεγόμενον ποταμὸν Γαδάρων· καὶ ἔμεινεν ἐκεῖσε ἐν σπηλαίῳ ἐπὶ χρόνον ὀλίγον, ἐν ᾧ εἰώθει λέων παμμεγεθέστατος ἀναχωρεῖν· ὅστις λέων περὶ τὸ μεσονύκτιον ἐλθὼν, εὗρε τὸν μακαρίτην καθεύδοντα, καὶ λαβόμενος τοῦ κεντωνίου αὐτοῦ τῷ στόματι, εἷλκεν αὐτὸν ἐξῶσαι τοῦ σπηλαίου φιλονεικῶν· τοῦ δὲ ἀναστάντος καὶ τῆς νυκτερινῆς ψαλμῳδίας ἀρξαμένου, ἐξελθὼν ὁ λέων, ἐξεδέχετο ἔξωθεν τοῦ C σπηλαίου· τοῦ δὲ πρεσβύτου τὸν κανόνα πληρώσαντος, καὶ ἀνακλιθέντος ἐν ᾧ τόπῳ εἰώθει ἀνακλίνεσθαι, πάλιν εἰσελθὼν, καὶ τοῦ κεντωνίου αὐτοῦ λαβόμενος, εἷλκεν αὐτὸν, ἐξῶσαι τοῦ σπηλαίου πειρώμενος. τοῦ τοίνυν λέοντος κατεπείγοντος αὐτὸν ἐξελθεῖν τοῦ σπηλαίου, λέγει πρὸς αὐτὸν θαρσαλέῳ τῷ φρονήματι ὁ πρεσβύτης· τὸ μὲν σπήλαιον εὐρύχωρόν ἐστι, δυνάμενον ἀφθόνως σὺν ἀμφοτέρους ὑποδέξασθαι. εἷς γὰρ τῶν ἀμφοτέρων ὁ δημιουργός. σὺ δὲ

A εἰ μὲν βούλει, μένε αὐτοῦ· εἰ δὲ μήγε, ἀναχώρησον. ἐγὼ γὰρ χειρὶ Θεοῦ ἐπλάσθην, καὶ τῇ εἰκόνι αὐτοῦ τετίμημαι. ταῦτα ἀκούσας ὁ λέων, καὶ τρόπον τινὰ αἰδεσθεὶς, ἀνεχώρησεν.

λδʹ. Αὐτοῦ δὲ ἐν ὀλίγαις ἡμέραις ἐπισήμου αὐτόθι γεγονότος, ἤρχοντό τινες πρὸς αὐτὸν τῶν Σκυθοπολιτῶν, καὶ τῶν * Γαδαρηνῶν. ἐν οἷς νεώτερός τις Σκυθοπολίτης ὀνόματι Βασίλειος, προσήκων τοῖς ὑπάρχουσι Σευήρου καὶ Σωφρονίου τῶν αὐτόθι περιβοήτων, θείᾳ κινηθεὶς κατανύξει, ἦλθε B πρὸς αὐτὸν καὶ ἀπετάξατο, καὶ τὴν ἀσκητικὴν ἐπαιδεύετο ἀκρίβειαν. περὶ οὗ Βασιλείου λῃσταί τινες μαθόντες, ἐπῆλθον αὐτοῖς ἄφνω μεσονυκτίῳ, χρήματα ἔχειν τὸν Βασίλειον ὑποτοπήσαντες· καὶ μηδὲν αὐτοῖς τῶν τοῦ αἰῶνος τούτου εὑρηκότες, ἀπῆλθον οἰκοδομηθέντες, τὴν αὐτῶν ἀκτημοσύνην καὶ πολιτείαν καταμαθόντες· καὶ συναντῶσι δύο λέουσι παμμεγεθεστάτοις· ἔμφοβοι δὲ γενόμενοι, ὥρκωσαν τοὺς θῆρας οὕτως λέγοντες· C ταῖς εὐχαῖς τοῦ Ἀββᾶ Σάβα οὗτινος τὴν ἀρετὴν νῦν ἐθαυμάσαμεν, ἀπόστητε τῆς ὁδοῦ ἵνα παρέλθωμεν. καὶ οἱ μὲν θῆρες τὸ ὄνομα τοῦ Ἀββᾶ Σάβα ἀκούσαντες, ὡς ὑπὸ μάστιγος ἐλαυνόμενοι, ἔφυγον· οἱ δὲ λῃσταὶ ἀγασθέντες τῷ θαύματι, ἐλογίσαντο ὅτι ὄντως δοῦλος τοῦ Θεοῦ ἐστιν ὁ γέρων, ὅστις καὶ μὴ παρὼν θαυματουργεῖ· καὶ ὑποστρέψαντες ὁμοθυμαδὸν πρὸς αὐτὸν, καὶ προσπεσόντες αὐτῷ, τὸ

verò si vis, mane hic, sin minus, recede. Ego namque manu Dei formatus sum, & imagine ejus honoratus. Quibus auditis leo, quodammodo reveritus discessit.

XXXIV. Ipse autem paucis diebus insignis illo in loco evasit; & Scythopolitarum Gadarenorumque nonnulli venerunt ad eum; quos inter adolescens Scythopolita, nomine Basilius, Severi ac Sophronii virorum illic clarorum cognatus, divinâ motus compunctione accessit, & mundo renunciavit, atque Asceticam disciplinam edocebatur. De quo Basilio famâ acceptâ latrones quidam invaserunt eos subitò media nocte, qui suspicarentur Basilium pecunias habere; cúmque nihil apud ipsos è rebus hujus sæculi invenissent, capto ex comperta eorum paupertate & vitæ sanctitate animæ emolumento abierunt; atque duobus maximis leonibus obviam fiunt; unde perterriti, adjuraverunt feras hisce verbis; Per preces Abbatis Sabæ, cujus virtutem modò demirati sumus, abscedite à via, ut transeamus. Feræ autem audito nomine Abbatis Sabæ, quasi flagello expulsæ fugerunt; latrones verò miraculum admirati, læti reputaverunt, verè servum Dei esse senem, qui etiam absens miracula ederet; unoque animo ad ipsum reversi, prociderunt ei, &

* MS. Γαδαρέων

miraculum perpetratum enarrarunt; necnon promiserunt Deo se nemini posthac injuriam facturos, omni iniquitati renunciarunt, ac ex eo tempore cultui agrorum suorum vacaverunt. Qua re evulgata, multi ad Sabam concurrerunt; paucis quippe diebus cellam ædificaverat. Verùm ubi vidit se à mundi hominibus obturbari, clam discessit, fratribus Domino commendatis. Quibus successione temporis mortuis, quidam Eumathius Isaurus, ejusdem cellæ successor, Cœnobium fecit, & sodalitatem inibi comparavit; ex qua sodalitate est Tarasius vir magnifaciendus, Eumathii virtutis ac præposituræ successor. Cæterùm sacer Sabas ad suam Lauram reversus, memoratos illos quadraginta, qui ad mali susceptionem apti erant, reperit aliis quoque imposuisse, atque ad sexaginta crevisse. Quare ob noxam conventui suo illatam flevit multùm, mirabaturque quo modo nequitia, expetita & in promptu sit, facilè segnes stolidosque attrahat. Ac primò quidem eorum furori opponebat æquanimitatem, odio caritatem, qui spirituali prudentia & simplicitate sermonem suum accommodaret. Postea verò cernens eos malitiâ corroborari, impudentiâ uti; nec sustinere in humili Christi via progredi, sed *excusare excusationes in*

* f. inser. νῦν
* l. Εὐμαθίου
Ps cxl 4.

A γεγονὸς θαῦμα διηγήσαντο, καὶ συνθέμενοι τῷ Θεῷ μηκέτι ἀδικῆσαι ἄνθρωπον, ἀπετάξαντο πάσῃ παρανομίᾳ, καὶ ταῖς ἰδίαις ἐσχόλαζον ἀπὸ τότε γεωργίαις. τούτου δὲ διαφημισθέντος, συνέτρεχον πολλοὶ πρὸς αὐτόν· ἦν γὰρ ἐν ὀλίγαις ἡμέραις κελλίον δειμάμενος. ὡς * ἴδεν ἑαυτὸν ὑπὸ τῶν κοσμικῶν ὀχλούμενον, ἀνεχώρησε λάθρα, παραθέμενος τοὺς ἀδελφοὺς τῷ κυρίῳ. ὧν τινων τῷ χρόνῳ τελευτησάντων, Εὐμάθιός τις Ἴσαυρος, τὸ αὐτὸ κελλίον B διαδεξάμενος, κοινόβιόν τι πεποίηκε, καὶ συνοδίαν εἰς αὐτὸ συνεποιήσατο· ἐξ ἧς συνοδίας ἐστὶν ὁ τίμιος Ταράσιος, ὁ τὴν * Εὐθυμίου ἀρετὴν καὶ ἡγεμονίαν διαδεξάμενος. ὁ μέντοι ἡγιασμένος Σάβας ἐλθὼν εἰς τὴν ἑαυτοῦ λαύραν, εὗρε τοὺς μνημονευθέντας τεσσαράκοντα, τοὺς πρὸς τὴν τοῦ κακοῦ μετουσίαν ἐπιτηδείους, ὑπονοθεύσαντας καὶ ἄλλους, καὶ ἑξήκοντα γεγονότας· καὶ ἐλυπεῖτο καὶ ἔκλαιεν ἱκανῶς διὰ τὴν ἐσομένην τῇ ἑαυτοῦ συνοδίᾳ βλά- C βην· καὶ ἐθαύμαζε πῶς ἀζήλωτον καὶ πρόχειρον ἡ μοχθηρία, ῥᾳδίως τοὺς χαύνους ἐπισπωμένη. καὶ πρῶτον μὲν ἀντετίθει τῷ ἐκείνων θυμῷ τὴν μακροθυμίαν, τῷ μίσει τὴν ἀγάπην, πνευματικῇ συνέσει καὶ ἀκεραιότητι τὸν ἑαυτοῦ λόγον ῥυθμίζων. ἔπειτα δὲ βλέπων αὐτοὺς τῇ πονηρίᾳ ἀνδρειουμένους, καὶ ἀναισχυντίᾳ κεχρημένους, καὶ μὴ ἀνεχομένους ἐν τῇ ταπεινῇ τοῦ Χριστοῦ βαδίζειν ὁδῷ, ἀλλὰ προφασιζομένους προφάσεις ἐν

ἁμαρτίαις, καὶ λόγους ἀνευρίσκοντας συνηγόρους τοῖς πάθεσιν, δίδωσι τόπον τῇ ὀργῇ, καὶ ἀναχωρεῖ ἐπὶ τὰ μέρη Νικοπόλεως, καὶ ἡσυχάζει αὐτόθι ἐπὶ ἡμέρας πλείους * ὑποκάτω μιᾶς κερατέας, ἐκ τῶν κερατίων διατρεφόμενος. καὶ μαθὼν ὁ τοῦ τόπου ἐπίτροπος ἐξῆλθε πρὸς αὐτὸν, καὶ κτίζει αὐτῷ ἐν αὐτῷ τῷ τόπῳ κελλίον· καὶ ἐν ὀλίγαις ἡμέραις τὸ κελλίον ἐκεῖνο κοινόβιον γέγονε τῇ τοῦ Χριστοῦ συνεργίᾳ. αὐτοῦ τοίνυν ἐν ἐκείνοις ὄντος τοῖς τόποις, οἱ μονάζοντες ἐκεῖνοι, τῆς χρονίας ἀπουσίας δραξάμενοι, διαφημίζουσιν εἰς τὴν λαύραν, ὅτι ὁ Ἀββᾶς ἡμῶν τὰς ἐρήμους περιερχόμενος, θηριάλωτος γέγονε· καὶ συναρπάσαντες τοὺς λοιποὺς ἀπέρχονται εἰς τὴν ἁγίαν πόλιν πρὸς τὸν ἀρχιεπίσκοπον Ἠλίαν, λέγοντες ὅτι ὁ Ἀββᾶς ἡμῶν * τὴν περὶ τὴν νεκρὰν θάλασσαν ἔρημον ἀναχωρῶν, λεοντόβρωτος γέγονε, ἀλλὰ κέλευσον δοθῆναι ἡμῖν ἡγούμενον. ὁ δὲ ἀληθῶς τοῦ θεοῦ ἱεράρχης Ἠλίας, γινώσκων ἀπὸ τῶν χρόνων τοῦ ἐν ἁγίοις Εὐθυμίου, τὴν ἐκ νεότητος τοῦ θείου Σάβα ἀναστροφὴν, ἀπεκρίνατο πρὸς αὐτοὺς λέγων· ἐγὼ μὲν ὑμῖν οὐ πιστεύω. οἶδα γὰρ ὅτι οὐκ ἄδικος ὁ θεὸς παριδεῖν τὸν δοῦλον αὐτοῦ θηριάλωτον γενέσθαι· ἀλλ' ὑπάγετε, τὸν Ἀββᾶν ὑμῶν ζητήσατε, ἢ ἡσυχάσατε ἕως οὗ ὁ θεὸς φανερώσει αὐτόν. τῆς οὖν ἡμέρας τῶν ἐγκαινίων φθασάσης, κατὰ τὴν τῶν ἡγουμένων συνήθειαν, ἀνέρχεται εἰς τὴν ἁγίαν πόλιν μετὰ

peccatis, & verba in patrocinium vitiorum excogitare, locum dat iræ, & ad tractum Nicopolis secedit, illicque diebus multis in quiete degit sub siliquastro, ex siliquis vivens. Quo comperto loci curator ad ipsum egressus est, eodemque in loco cellulam ei ædificat; quæ paucis pòst diebus per Christi adjutorium in Cœnobium evasit. Dum ergo hac in regione is versaretur, egregii illi, diuturna absentia in occasionem accepta, per Lauram divulgant, Abbatem suum dum solitudines peragrat, à feris captum & absumptum fuisse; cúmque reliquos corripuissent, in sanctam civitatem proficiscuntur ad Archiepiscopum Eliam; cui dicunt; Abbas noster ubi in solitudinem quæ est circa mare mortuum secessisset, leonum esca exstitit; sed jube ac velis nobis dare præpositum. At Elias verè Dei pontifex, ut qui à temporibus sancti Euthymii agnosceret divini Sabæ ab adolescentia conversationem & vitam, respondit eis sic; Ego certè vobis non credo. Novi enim Deum injustum non esse, ut servum suum despectum permittat à feris comprehendi; verùm abite; Abbatem vestrum quærite; aut quieti manete donec Deus illum manifestaverit. Itaque Encæniorum die adveniente, juxta Hegumenorum morem, Sabas ad sanctam civitatem cum

Rom. XII. 19.

* Metaphr. ὑπό τι δένδρο κερατέας

* f. deest εἰς

quibusdam fratribus Monasterii circa Nicopolim positi proficiscitur; (nam uti dictum est, illic Monasterium constituerat, congregatis in eo fratribus: omnino quippe ipsi opem ferebat Deus;) & cum aliquibus Monasteriorum præpositis ad Archiepiscopum ingreditur.

* An παντί

XXXV. Quem senem intuitus Patriarcha, & lætatus valde, seorsim sumptum hortabatur ut ad propriam Lauram rediret. Illo autem veniam petente, neque admittente ullatenus, commotus Archiepiscopus dixit; Crede, nisi hortamini meo & consilio obtemperaveris, non amplius videbis faciem meam. Neque enim videre sustineo labores tuos ab aliis administrari. Hæc postquam dixit Archiepiscopus, pater noster Sabas se ipsius jussioni obediturum pollicitus est; cogitur tamen sexaginta illorum consortium & conspirantium edicere seditionem, animumque turbarum cupidum. Tunc exsurgens Patriarcha ad Lauræ Monachos Epistolam scribit hisce verbis; Scire vos volo, dilecti fratres, patrem vestrum vivere, nec fuisse à leonibus devoratum. Venit quippe ad me die festo, & detinens eum, consideravi ne ipse relinqueret Lauram suam, quam suo labore post Dei providentiam instituit. Velitis ergo hunc cum debito honore suscipere, omnibusque

A τινῶν ἀδελφῶν τῆς περὶ Νικόπολιν μοναστηρίου· ἦν γὰρ ὡς εἴρηται ἐκεῖσε μοναστήριον συστησάμενος, καὶ ἀδελφοὺς εἰς αὐτὸ περιποιησάμενος· συνεργεῖ γὰρ αὐτῷ ὁ θεὸς * παντί· καὶ εἰσέρχεται μετά τινων ἡγουμένων πρὸς τὸν ἀρχιεπίσκοπον.

λε΄. Ὅντινα πρεσβύτην ὁ πατριάρχης θεασάμενος, καὶ περιχαρὴς γεγονώς, λαβὼν αὐτὸν κατ᾽ ἰδίαν παρεκάλει εἰς τὴν ἰδίαν αὐτοῦ λαύραν ὑποστρέψαι. B τοῦ δὲ συγχωρηθῆναι παρακαλοῦντος, καὶ μηδόλως ἀνεχομένου, κινηθεὶς ὁ ἀρχιεπίσκοπος εἶπεν· πίστευε ὅτι ἐὰν μὴ ὑπακούσῃς τῇ τε παρακλήσει μου καὶ συμβουλίᾳ, οὐκέτι ὄψῃ τὸ πρόσωπόν μου· οὐδὲ γὰρ φέρω ὁρᾶν σοῦ τοὺς κόπους ὑπ᾽ ἄλλων διοικουμένους. ταῦτα τοῦ ἀρχιεπισκόπου εἰπόντος, ὁ πατὴρ ἡμῶν Σάβας ὑπέσχετο μὲν εἶξαι τῇ αὐτοῦ κελεύσει, ἀναγκάζεται δὲ τὴν ἀκαταστασίαν ἐξειπεῖν τῶν φατριασάντων ἑξήκοντα, καὶ τὴν φι- C λοτάραχον αὐτῶν γνώμην. τότε δὴ ἀναστὰς ὁ πατριάρχης γράφει τοῖς ἐν τῇ λαύρᾳ ἐπιστολὴν οὕτως ἔχουσαν· γινώσκειν ὑμᾶς βούλομαι, ἀδελφοὶ ἀγαπητοί, ὅτι ὁ πατὴρ ὑμῶν ζῇ. καὶ λεοντόβρωτος οὐ γέγονεν· ἦλθε γὰρ πρὸς μὲ εἰς τὴν ἑορτήν, καὶ κατασχὼν αὐτὸν συνεῖδον μὴ καταλιπεῖν αὐτὸν τὴν ἑαυτοῦ λαύραν, ἥνπερ αὐτὸς μετὰ τὴν θεοῦ πρόνοιαν κοπιάσας συνεστήσατο. θελήσατε οὖν τοῦτον μετὰ τῆς ὀφειλομένης δέξασθαι τιμῆς, καὶ πάσῃ

τρόποις ὑποταγῆναι αὐτῷ. οὔτε γὰρ ὑμεῖς αὐτὸν ἐπελέξασθε· ἀλλ' αὐτὸς ὑμᾶς ἐπελέξατο· διὸ ἀνάγκη ὑμᾶς ὑποταγῆναι αὐτῷ. εἰ δέ τινες ἐξ ὑμῶν αὐθάδεις εἰσὶν καὶ ὑπερήφανοι καὶ ἀπειθεῖς, καὶ οὐκ ἀνέχοντες ταπεινωθῆναι, μὴ μείνωσιν αὐτόθι. οὐκ ἐνδέχεται γὰρ αὐτὸν μὴ ἀπολαβεῖν τὸν ἴδιον τόπον. ὁ τοίνυν πατὴρ ἡμῶν Σάβας, τὸ παρακούειν μὴ γινώσκων, τινὰ τῶν μετ' αὐτοῦ μαθητῶν, Νικοπολίτην τῷ γένει, Σευηριανὸν ὀνόματι, ἡγούμενον τοῦ περὶ Νικόπολιν μοναστηρίου πεποίηκεν.

λϛʹ. Ὁ δὲ ἡγιασμένος Σάβας τὰ γράμματα τοῦ πατριάρχου λαβὼν κατῆλθεν εἰς τὴν ἑαυτοῦ λαύραν. καὶ αὐτῶν γραμμάτων ἐπ' ἐκκλησίας ἀναγνωσθέντων, ἀγανακτήσαντες οἱ γεννάδαι ἐκεῖνοι, καὶ ὑπὸ τῆς ἑαυτῶν τυφλωθέντες κακίας, σύστρεμμα ποιήσαντες ὁμοθυμαδὸν οἱ ἑξήκοντα, κατὰ τοῦ ἁγίου πατρὸς ὡς εἰς πόλεμον παραταττόμενοι, οἱ μὲν αὐτῶν ἡτοίμαζοντο τῶν ὅλων τά τε ἱμάτια καὶ τὴν ἀποσκευὴν ἅπασαν, οἱ δὲ λοιποὶ λαβόντες πελύκας, ἅμμας τε καὶ ὀρυκτῆρας καὶ μοχλούς, ἀνέρχονται εἰς τὸν πύργον αὐτοῦ, καὶ καταστρέφουσιν αὐτὸν ἕως ἐδάφους, μετὰ πλείστης μανίας, καὶ ῥίπτουσι τά τε ξύλα καὶ τοὺς λίθους αὐτοῦ κάτω εἰς τὸν χείμαρρον. καὶ ἀναχωροῦσι μετὰ τῆς ἀποσκευῆς αὐτῶν· καὶ ἔρχονται εἰς τὴν λαύραν τοῦ Σουκᾶ, καὶ παρεκάλουν μεῖναι αὐτόθι. καὶ μαθὼν ὁ ἐν ἁγίοις Ἀκυλῖνος ὁ τηνικαῦτα τὴν τοῦ Σουκᾶ ἡγεμονίαν ἐγκεχειρισμένος τὰ κατ'

A modis ei subjici. Non enim vos ipsum selegistis, sed ipse selegit vos; quocirca necesse est ut illi obediatis. Quòd si qui vestrûm procaces sunt, superbi & inobsequentes, nec sustinent in humilitate degere ac demitti, non illic maneant. Nam non licet ut ipse suum locum non recipiat. Noster igitur pater Sabas, qui nesciebat obedientiam recusare, quemdam è suis discipulis, Nicopolitam genere, nomine Severianum, B præpositum illius circa Nicopolim Monasterii declaravit.

XXXVI. At sanctificatus vir Sibas, accepit Patriarchæ litteras, devenitque in Lauram suam. Tum lectis in Ecclesia iis litteris, succensentes strenui illi, atque à sua malitia excæcati, sexaginta cuncti uno eo sensu agmen fecerunt, adversus sanctum patrem quasi in bello acie instructâ; alii quidem universorum parabant & depromebant vestes C cunctamque supellectilem; reliqui verò sumptis securibus, hamis, fossoriis, & vectibus, ad turrim ejus ascendunt, illamque plurima cum vesania solo æquant, tum ligna lapidesque in torrentem dejiciunt, & cum sarcina sua recedunt. Dein veniunt ad Lauram Sucæ, rogabantque ut illic manerent. Edoctus autem sanctus Aquilinus, cui tunc Sucæ administratio commissa erat, ea quæ

gesserant, rejecit eos, nec admisit. A Illi non recepti, ad torrentem versùs Austrum Thecoorum* secesserunt; ubi manserunt, cùm aquam & vestigia cellarum olim ab Aposchistis ædificatarum invenissent. Et conditis sibi cellis, constitutum locum nomine Novæ Lauræ donaverunt. Porrò post horum ejusmodi discessum à senis Laura, reliqui Deo absque impedimento fructum ferebant puritatem cordis, non secus ac frumentum zizaniis B eradicatis augetur. Interposito autem pauco tempore, cùm sanctus Sabas cognovisset ubinam commorarentur desertores sui discipuli, Lauræ & Castellii jumenta impensis onusta sumens, illuc ad eos proficiscitur. Quidam verò eorum illum intuiti venientem, dicebant inter se; Ecce huc quoque strabo se contulit. At sanctus senex ubi deprehendit eos magnis in angustiis versari, quòd nec Ecclesiam, neque C caput haberent; sed in Prophetico Amosi templo quod est Thecois, Dominicis diebus communicare; ad hæc confusione quæ statum principatu carentem comitatur jactari, jamque inter se digladiari & seditiones ciere, misericordiâ erga ipsos commotus, de rebus eorum ad Patriarcham refert, quem ad componendos ipsos hortatur. Patriarcha verò dans illi manu propriâ auri

* Metaphr. Θεκῶυ

αὐτοὺς, ἀπωσάμενος αὐτοὺς οὐκ ἐδέξατο. αὐτοὶ δὲ μὴ δεχθέντες, ἀνεχώρησαν εἰς τὸν κατὰ νότον * Θεκώων χείμαῤῥον, εἰς ὃν ἔμειναν, εὑρόντες ὕδωρ καὶ ἴχνη κελλίων ὑπὸ τῶν Ἀποσχιστῶν πάλαι οἰκοδομηθέντων. καὶ κτίσαντες ἑαυτοῖς κελλία, νέαν λαύραν τὴν τοποθεσίαν ὠνόμασαν. τούτων δὲ οὕτως ἀναχωρησάντων ἐκ τῆς τοῦ πρεσβύτου λαύρας, οἱ λοιποὶ ἐκαρποφόρουν τῷ θεῷ τὴν τῆς καρδίας καθαρότητα ἀνεμποδίστως, ὥσπερ σῖτος αὐξανόμενος τῶν ζιζανίων ἐκριζωθέντων. ὀλίγου δέ τινος χρόνου διελθόντος, γνοὺς ὁ ἐν ἁγίοις Σάβας ποῦ καταμένουσιν οἱ λειποτακτήσαντες μαθηταὶ αὐτοῦ, τὰ τῆς λαύρας ἄλογα καὶ τὰ τοῦ Καστελλίου, ἀναλωμάτων πεφορτωμένα λαβὼν, ἀπέρχεται πρὸς αὐτοὺς ἐκεῖσε. τινὲς δὲ αὐτῶν τοῦτον θεωρήσαντες ἐρχόμενον, ἔλεγον πρὸς ἀλλήλους· ἰδοὺ καὶ ἐνταῦθα ὁ στραβὸς ἥκει. ὁ δὲ ἅγιος πρεσβύτης κατανοήσας αὐτοὺς ἐν πολλῇ ὄντας στενοχωρίᾳ, ἐκ τοῦ μήτε ἐκκλησίαν ἔχειν, μήτε κεφαλὴν, ἀλλ' εἰς τὸ προφητεῖον τὸ ἐν Θεκώοις τοῦ ἁγίου Ἀμὼς κατὰ κυριακὴν κοινωνοῦντας, καὶ τῇ ἀταξίᾳ τῆς ἀναρχίας κεχρημένους, καὶ πρὸς ἀλλήλους λοιπὸν διαμαχομένους καὶ στασιάζοντας, σπλαγχνισθεὶς εἰς αὐτοὺς, ἀναφέρει τὰ κατ' αὐτοὺς ἐπὶ τὸν πατριάρχην, καὶ παρεκάλει αὐτὸν συγκροτῆσαι αὐτούς. ὁ δὲ πατριάρχης δοὺς αὐτῷ ἀπὸ χειρὸς χρυσίου λίτρας.

λίτρας μίαν, παρέχει αὐτῷ καὶ τὴν ἐξουσίαν τοῦ τόπου ἐκείνου, καὶ τῶν ἐν αὐτῷ οἰκούντων, ὡς τῆς αὐτοῦ συνοδίας ὄντων. ὁ μὲν οὖν θεῖος πρεσβύτης κατῆλθε πρὸς αὐτοὺς, ἔχων τεχνίτας καὶ τὰ ἐπιτήδεια πάντα· καὶ ποιήσας μῆνας πέντε παρ' αὐτοῖς, ᾠκοδόμησεν αὐτοῖς ἀρτοκοπεῖον καὶ ἐκκλησίαν· ἥν τινα κατακοσμήσας ἐνεκαίνισε τῷ ἑξηκοστῷ ἐνάτῳ τῆς ἑαυτοῦ ἡλικίας χρόνῳ. καὶ μεταπεμψάμενος ἐκ τῆς ἑαυτοῦ λαύρας τὸν ἀνωτέρω μνημονευθέντα ἀναχωρητὴν Ἰωάννην, Ἑλλαδικὸν μὲν ὄντα τῷ γένει, προφητικὸν δὲ χάρισμα κεκτημένον, καθίστησιν αὐτὸν τῆς νέας λαύρας ἡγούμενον. ὅστις Ἰωάννης θεοφορούμενος προεφήτευσε τὰ τῇ αὐτῇ νέᾳ λαύρᾳ συμβάντα ἐν τούτοις τοῖς χρόνοις. μέλλων γὰρ ἐν Χριστῷ τελευτᾶν, καὶ τῶν ἀρχηγῶν τῆς συνοδίας πρὸς αὐτὸν καθεζομένων, σύνδακρυς γενόμενος εἶπεν· ἰδοὺ ἡμέραι ἐλεύσονται, καὶ ὑψωθήσονται σφόδρα οἱ τοῦ τόπου τούτου οἰκήτορες, καὶ τῆς ὀρθῆς ἀποστήσονται πίστεως, καὶ καταβιβασθήσεται τὸ ὕψος αὐτῶν, καὶ ἐν τῷ θράσει αὐτῶν διωχθήσονται. καὶ ταῦτα εἰπὼν εἰς τὸν τῆς καταπαύσεως λιμένα κατήντησεν, ἐπὶ ἑπτὰ χρόνοις τὴν αὐτὴν λαύραν θεαρέστως κυβερνήσας, καὶ σημειοφόρος ἀναδειχθείς. οἱ δὲ ἐκεῖσε πατέρες τῇ τοῦ πατρὸς ἡμῶν Σάβα συμβουλίᾳ χρησάμενοι προβάλλονταί τινα Ῥωμαῖον ἀπλούστατον καὶ ἀκτήμονα, Παῦλον προσαγορευόμενον, τὸν κατὰ θεὸν ἀρεταῖς ἀπαστράπτοντα. καὶ ὁ μὲν

A libram unam, potestatem quoque loci illius, & in eo habitantium, ut qui ad conventum ipsius pertinerent præbuit. Itaque divinus senex ad eos perrexit, cum artificibus cunctisque idoneis rebus; transactisque apud eos quinque mensibus, pistrinum ædificavit, & Ecclesiam; quam exornatam dedicavit anno ætatis suæ sexagesimo nono. Atque arcessito ex Laura sua superiùs memorato Anachoreta Johanne,
B qui Græcanicus quidem erat genere, prophetico autem donatus charismate, Novæ Lauræ præpositum constituit. Is Johannes numine afflatus, quæ hisce temporibus eidem Novæ Lauræ contigerunt prædixit. Jam enim in Christo moriturus, primoribus conventûs circa ipsum sedentibus, collacrymans dixit; Ecce dies venient, & exaltabuntur valde hujus loci habitatores, & à
C recta fide abscedent, eorumque altitudo dejicietur, ac in temeritate sua expellentur. Post quæ dicta, ad requiei portum appulit, postquam septem annis eam Lauram gratè Deo gubernasset, ac miraculorum editor exstitisset. Loci autem patres, adhibito patris nostri Sabæ consilio Romanum quemdam promovent, virum simplicissimum, nihilque possidentem, qui Paulus nuncupabatur, divinisque refulgebat virtutibus. At

A Abbas Paulus, ubi Novam Lauram per sex menses præter voluntatem obtinuisset, in Arabiam profugus discessit, & postea ad Caparbaricha profectus, morte consummatus est apud suprà memoratum Severianum, qui illic Cœnobium ædificaverat. Porrò Novæ Lauræ patres divino seni Pauli fugam nunciaverunt, multumque precati, Hegumenum accepere Agapetum ipsius discipulum, de quo superiùs mentionem fecimus. B Qui Agapetus suscepta Novæ Lauræ præfectura, quatuor invenit in congregatione Monachos, à simplicissimo Paulo eorum ignaro illic admissos, qui occultè Origeniana dogmata susurrabant. Quorum princeps erat vir quidam Palæstinus, Nonnus nomine, qui Christianismum sectari præ se ferens, & pietatem simulans, impiorum Gentilium, Judæorum & Manichæorum dogmata in animo habebat, C quæ ab Origene, Evagrio, & Didymo de præexsistentia fabulosè fuere prolata. Unde veritus beatus Agapetus, ne ad alios Hæreseos lues transmitteretur, ex prædicti Archiepiscopi Eliæ sententia & permissione, ipsos è Nova Laura ejecit. Illi expulsi, ad locum campestrem abierunt, ubi prava sparserunt zizania. Tempore autem præterlapso, & Archiepiscopo insidiis appetito, sicuti paullo post

* Metaphr. Ὠριγένεια

* Abest à Metaphr.

A Ἀββᾶς Παῦλος ἐπὶ ἓξ μῆνας τῆς νέας λαύρας ἀκουσίως κρατήσας, φυγὰς ᾤχετο ἐπὶ τὴν Ἀραβίαν, καὶ μετὰ ταῦτα ἐλθὼν ἐπὶ Καπαρβαριχᾶ, ἐτελειώθη παρὰ τὸν ἀνωτέρω μνημονευθέντα Σευηριανὸν, κοινόβιον αὐτόθι οἰκοδομοῦντα. οἱ δὲ τῆς νέας λαύρας πατέρες ἐμήνυσαν τῷ θείῳ πρεσβύτῃ τὴν τοῦ Παύλου φυγὴν, καὶ πολλὰ παρακαλέσαντες, ἔλαβον ἡγούμενον τὸν ἀνωτέρω μνημονευθέντα Ἀγαπητὸν τὸν αὐτοῦ μαθητήν. ὅστις Ἀγαπητὸς τὴν τῆς B νέας λαύρας ἡγεμονίαν δεξάμενος, εὗρε τέσσαρας μοναχοὺς ἐν τῇ συνοδίᾳ ὑπὸ τοῦ ἁπλουστάτου Παύλου εἰσδεχθέντας αὐτόθι, τὰ κατ' αὐτοὺς μὴ ἐπισταμένου, ψιθυρίζοντας ἐν κρυπτῷ τὰ * Ὠριγένεια δόγματα. ὧν πρῶτος ὑπῆρχεν ἀνήρ τις Παλαιστινὸς, Νόννος καλούμενος, ὅστις Χριστιανίζειν προσποιούμενος καὶ εὐλάβειαν ὑποκρινόμενος, τὰ τῶν ἀθέων Ἑλλήνων * καὶ * Ἰουδαίων καὶ Μανιχαίων δόγματα ἐφρόνει, τὰ ὑπὸ Ὠριγένους C καὶ Εὐαγρίου καὶ Διδύμου περὶ προϋπάρξεως μεμυθολογημένα. καὶ δεδιὼς ὁ μακαρίτης Ἀγαπητὸς, μή πως διανεμηθῇ εἰς ἑτέρους ἡ τῆς αἱρέσεως λύμη, γνώμης χρώμενος τοῦ προρρηθέντος ἀρχιεπισκόπου Ἡλία, καὶ ἐπιτραπεὶς τούτους τῆς νέας λαύρας ἐξέωσεν. οἵτινες ἐκδιωχθέντες ἀπῆλθον εἰς τὴν πεδιάδα, τὰ πονηρὰ αὐτόθι ζιζάνια κατασπείραντες. χρόνου δὲ διαδραμόντος καὶ τοῦ ἀρχιεπισκόπου κατασκευασθέντος, ὡς μικρὸν ὕστερον

λεχθήσεται, ἐλθόντες ἐν τῇ ἁγίᾳ πόλει οἱ περὶ Νόννον, παρεκάλουν τὸν τὴν πατριαρχίαν διαδεξάμενον, ἐπιτρέψαι μεῖναι αὐτοὺς εἰς τὴν νέαν λαύραν. ὅστις συνέσει θείᾳ κοσμούμενος, τόν τε ἐν ἁγίοις Σάβαν καὶ τὸν μακαρίτην Ἀγαπητὸν μεταστειλάμενος, ἠρώτα εἰ δυνατὸν δεχθῆναι αὐτούς. τοῦ δὲ Ἀγαπητοῦ εἰπόντος, ὅτι ἐπὶ λύμῃ τῆς συνοδίας τὰ Ὠριγένεια ἀνακινοῦσι δόγματα, καὶ αἱρούμεθα μᾶλλον ἀπὸ τοῦ τόπου γενέσθαι, ἢ τῇ ἐμοὶ ἐγχειρισθείσῃ συνοδίᾳ τούτους ἐγκαταμίξαι· εἶπεν ὁ ἀρχιεπίσκοπος· ἀγαθὰ καὶ θεάρεστα ἐβουλεύσας. γνόντες ἐκεῖνοι ὅτι οὐ προσίενται αὐτοὺς ὁ πατριάρχης, ἀπῆλθον πάλιν εἰς τὴν πεδιάδα. τοῦ δὲ μακαρίου Ἀγαπητοῦ τῆς νέας λαύρας ἐπὶ πέντε χρόνοις καλῶς κυβερνήσαντος καὶ τελευτήσαντος, προεβάλλοντο οἱ Νεολαυρεῖται Μάμαν τινὰ ἡγούμενον. τότε οἱ περὶ Νόννον ἀκούσαντες, τήν τε τοῦ Ἀγαπητοῦ τελευτήν, καὶ τὴν τοῦ * Μάμα προβολήν, ἦλθον· καὶ ὑπὸ τοῦ Μάμα λανθανόντως ἐδέχθησαν εἰς τὴν λαύραν· ἔχοντες μὲν ἐν τῇ ψυχῇ τὸ πονηρὸν ἐμμελέτημα, ἀνέκφορον δὲ παντελῶς εἰς μοναχῶν ἀκοήν, φόβῳ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Σάβα. αὐτοῦ γὰρ περιόντος, μία τῆς πίστεως ὁμολογία ὑπῆρχεν ἐν πᾶσι τοῖς κατὰ τὴν ἔρημον μοναχοῖς. καὶ ταῦτα μὲν περὶ τῶν Νεολαυριτῶν τέως εἰρήσθω. ἐγὼ δὲ ἐπὶ τὴν ἀκόλουθον ἐξήγησιν τῶν τοῦ θείου πρεσβύτου κατορθωμάτων ἐπανέρχομαι.

A dicetur, ad ſanctam civitatem venientes Nonnus ejuſque ſocii, obſecrabant eum qui in Patriarchatu ſucceſſerat, ut permitteret eos manere in Nova Laura. Is verò qui divinâ intelligentiâ ornatus eſſet, ſanctum Sabam beatumque Agapetum evocatos interrogat, utrum ii admitti poſſent. Cùmque Agapetus diceret, eos ad perniciem conventus Origenicam ſuſcitare doctrinam, malleque ſe loco excedere, quàm B ſibi commiſſæ congregationi eos inſerere, ait Archiepiſcopus; Bona & Deo placentia ſtatuiſti. Quare ubi cognoverunt ipſi, ſe à Patriarcha non admitti, ad planiciem reverſi ſunt. Poſtquam autem beatus Agapetus Novam Lauram quinque annis præclarè gubernaſſet, ac mortem obiiſſet, Neolauritæ Mamam quemdam ſibi præfecerunt. Tunc Nonnus & ſocii, cùm Agapeti occaſum, C Mamæ creationem accepiſſent, venerunt; atque à Mama clam in Laura recepti ſunt; & habebant quidem in anima pravum meditamentum, ſed omnino ad Monachorum aures, metu ſancti patris noſtri Sabæ, non deferebant. Quamdiu enim is vixit, una fidei profeſſio inter omnes ſolitudinis Monachos viguit. Atque hæc quidem interim de Neolauritis dicta ſint. Ego verò ad conſequentem eorum quæ præclarè à divino ſene geſta ſunt narrationem redeo.

* Metaphr. Μάμαντος & infrà.

A XXXVII. Splendida sunt illuminati patris nostri Sabæ divina dona; scilicet conversatio gloriosa, vita virtutibus decorata, fides recta & orthodoxa. Atque hoc quidem ex parte jam per ea quæ dicta fuere ostensum est, adhucque ostendetur, Deo Verbo verba nostra dirigente. Hic ergo sanctitate donatus Sabas, jam triumphalis adversùs nequitiæ spiritus in Castellio declaratus, aliud pietatis diversorium, cum auxilio sancti Spiritûs, quem B in se gerebat erexit, studio solitudinem frequentandi. Nam post egregiorum illorum recessum, & Novæ Lauræ constitutionem, quando Diabolus illaqueare voluit Sabæ discipulos, ipse tamen à Saba illaqueatus est; aliud iterum adversùs eum tropæum Sabas statuit. Reversus enim è Laura, paucis diebus in quiete transactis, circa jejunii tempus, accipit secum Paulum quemdam senem, compluribus rectè fa- C ctis conspicuum, & ad torrentem venit, à maxima Laura distantem quindecim stadiis, prope Castellium, versùs Occidentem; cúmque in boreali præcipitio magnam inoffensamque speluncam reperisset, habitavit in ea unà cum Paulo usque ad festum Palmarum. Post Pascha verò, assumptis Theodulo, Gelasio, Paulo ipso, aliisque, accedit ad locum; & ut summatim dicam, Deo

λζ'. Λαμπρὰ τοῦ πεφωτισμένου πατρὸς ἡμῶν Σάβα τὰ θεῖα χαρίσματα· ἡ μὲν γὰρ πολιτεία ἔνδοξος, ὁ δὲ βίος ἐνάρετος, καὶ ἡ πίστις ὀρθόδοξος. καὶ τοῦτο μὲν ἤδη ἐκ μέρους διὰ τῶν εἰρημένων ἀπεδείχθη, καὶ αὖθις ἀποδειχθήσεται, εὐοδοῦντος τοῦ θεοῦ λόγου τὸν λόγον. οὗτος τοίνυν ὁ ἡγιασμένος Σάβας ἤδη τροπαιοφόρος ἀναδειχθεὶς ἐν τῷ Καστελλίῳ κατὰ τῶν πνευμάτων τῆς πονηρίας, ἕτερον εὐσεβείας καταγώγιον τῇ συνεργίᾳ τοῦ ἐν αὐτῷ ἁγίου πνεύματος ἀναδείκνυσι, πολίσαι τὴν ἔρημον ἐπειγόμενος. μετὰ γὰρ τὴν τῶν γενναδῶν ἐκείνων ἀναχώρησιν, καὶ τὴν τῆς νέας λαύρας σύστασιν, τοῦ διαβόλου παγιδεῦσαι θελήσαντος τοὺς τοῦ Σάβα μαθητὰς καὶ ὑπὸ τοῦ Σάβα παγιδευθέντος, ἕτερον πάλιν ὁ Σάβας κατ' αὐτοῦ ἀνίστησι τρόπαιον. ἐπανελθὼν γὰρ ἐκ τῆς λαύρας, καὶ ὀλίγας ἡμέρας ἡσυχάσας, περὶ τὸν τῆς νηστείας καιρὸν, λαβὼν μεθ' ἑαυτοῦ Παῦλόν τινα γέροντα, πλείστοις κατορθώμασι διαπρέψαντα, ἔρχεται εἰς τὸν χείμαρρον, τῆς μεγίστης λαύρας ἀπέχοντα σταδίους δεκαπέντε, πλησίον τοῦ Καστελλίου κατὰ δυσμάς· καὶ εὑρὼν ἐν τῷ βορείῳ κρημνῷ σπήλαιον μέγα τε καὶ ἀνεπηρέαστον, ᾤκησεν εἰς αὐτὸ μετὰ Παύλου ἕως τῆς τῶν βαΐων ἑορτῆς. μετὰ δὲ τὸ πάσχα, λαβὼν Θεόδουλον καὶ Γελάσιον καὶ αὐτὸν Παῦλον, καὶ ἑτέρους σὺν αὐτοῖς, ἔρχεται εἰς τὸν τόπον, καὶ ἁπλῶς εἰπεῖν, τοῦ θεοῦ

συνεργήσαντος, τὸ μὲν σπήλαιον ἐκκλησίαν πεποίηκε, κατὰ δὲ πρόσβασιν κοινόβιον περιφανέστατον αὐτόθι συνεστήσατο, τοῦ σπηλαίου αὐτὸ ὀνομάσας. καὶ τὸν μὲν μακαρίτην Παῦλον διοικητὴν τοῦ τόπου κατέστησε, παρασχὼν αὐτῷ ἐκ τῆς λαύρας τρεῖς ἀδελφούς, Γεώργιον τε Κήρυκον καὶ Εὐστάθιον. καὶ τοῦ θεοῦ εὐδοκήσαντος ηὐξήθη ὁ τόπος καὶ ἐπληθύνθη σφόδρα. καὶ τί τὰ πολλὰ λέγω; πρόκειται γὰρ τοῖς ὀφθαλμοῖς ἡμῶν τὸ τοῦ σπηλαίου κοινόβιον, ὅπερ μετὰ μυρίων ἱδρώτων ὑπὸ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Σάβα συνέστη. τοῦ δὲ μακαρίου Παύλου ἐν Χριστῷ τελευτήσαντος, διεδέξαντο κατὰ καιροὺς τὴν ἡγεμονίαν Κήρυκος τε Εὐστάθιος, καὶ μετὰ τὴν τούτων ἀποβίωσιν Σέργιος τὴν ἡγεμονίαν διεδέξατο. ὁ γὰρ Γεώργιος ἀποσταλεὶς εἰς Ἀλεξάνδρειαν, καὶ τῷ ἀρχιεπισκόπῳ Ζωΐλῳ συντυχών, ἐπίσκοπος τοῦ Πηλουσίου ἐχειροτονήθη. καὶ ταῦτα μὲν περὶ τῆς μονῆς τῆς τὴν τοῦ σπηλαίου ἐπωνυμίαν δεξαμένης. Μαρκιανὸς δέ τις πρεσβύτερος τῆς ἁγίας ἀναστάσεως, καὶ ἡγούμενος τῆς ἁγίας Σιών, πυκνότερον παρέβαλε τῷ ἐν ἁγίοις πατρὶ ἡμῶν Σάβα, πολλά τε προσφέρων αὐτῷ, καὶ οἰκείαις χερσί, πίστει φερόμενος, μετὰ τῶν παιδίων αὐτοῦ Ἀντωνίου καὶ Ἰωάννου κάμνων καὶ βοηθῶν τοῖς κοπιῶσιν ἐν ταῖς τῶν εἰρημένων εὐαγῶν τόπων οἰκοδομαῖς· τοσαύτη γὰρ ἦν ἡ τοῦ ἀνδρὸς πίστις· ὅντινα ὁ ἀρχιεπίσκοπος Ἡλίας ἀγαπήσας, ἐπίσκοπον ἐχειροτόνησε Σεβαστῆς, καὶ τὸν

A adjuvante, speluncam quidem in Ecclesiam vertit, progressu verò maximè insigne Cœnobium illic constituit, ac Speluncæ nomine donavit. Et beato Paulo loci administrationem commisit, tradens illi è Laura tres fratres, Georgium, Quiricum, & Eustathium. Atque benevolo Deo auctus est locus & multiplicatus valde. Quid verbis opus est? Oculis nostris objicitur Speluncæ Cœnobium, quod infinitis sudoribus à sancto patre nostro B Saba constitutum fuit. Cæterùm post beati Pauli in Christo mortem, præfecturam consequenter susceperunt Quiricus ac Eustathius, iisque mortuis Sergius. Nam Georgius Alexandriam missus, & cum Archiepiscopo Zoilo congressus, Pelusii Episcopus ordinatus fuit. Et hæc quidem de Monasterio quod Speluncæ appellationem accepit. Porrò Marcianus quidam Presbyter C sanctæ Resurrectionis, & sanctæ Sionis præpositus, frequentiùs ad sanctum patrem nostrum Sabam accedebat, tum multa ei afferens, tum propriis manibus, qui fide ageretur, cum liberis suis Antonio & Johanne laborans, laborantesque adjuvans in prædictorum sacrorum locorum ædificiis; tanta erat viri fides: quem Archiepiscopus Elias amore prosecutus, Episcopum Sebastæ ordinavit, ut &

Vita Johannis Hesychastæ n. 14.

A Ascalonitarum Ecclesiæ Antonium; Johannem verò sanctæ Resurrectionis Diaconum fecit.

XXXVIII. Sed redeundum est ad narrationem eorum quæ rectè præclaréque gessit divinus senex. Turrim illam, quam in excelsiori totius Orientalis solitudinis colle ædificavit beata Eudocia, sicuti à me jam relatum est in libro de magno Euthymio; per successionem quidam Monachi insaniæ Dioscori & Euthycis propugnatores tenuerunt; quibus in se- B cunda unione unà cum Gerontio & Romano expulsis, duo alii Monachi Hæreseos impii Nestorii assertores, ejusdem turris habitationem excepere, qui confiteri nolebant sanctam Virginem propriè ac re verâ esse Deiparam, neque Christum verum Deum nostrum admittebant esse unum è sancta & consubstantiali Trinitate. Hos igitur magnus pater noster Sabas, quòd ad verticem trium suorum Monaste- C riorum haberet, contristabatur & ægrè admodum ferebat de illis. Contigit enim ut iisdem diebus tale visum ei oblatum fuerit; videbat se in sancta Resurrectione versari, dum Synaxis perageretur; hosque à quibusdam lictoribus cum multis minis ejici; se verò à lictoribus postulare, ut eos communionem sumere concederent; illos verò aspera

A Ἀσκαλωνιτῶν ἐκκλησίας τὸν Ἀντώνιον· τὸν δὲ Ἰωάννην διάκονον πεποίηκε τῆς ἁγίας ἀναστάσεως.

λη'. Ἀλλ᾽ ἐπὶ τὴν ἐξήγησιν τῶν τοῦ θείου πρεσβύτου κατορθωμάτων ἐπανιτέον. τὸν ἐν τῷ ὑψηλοτέρῳ πάσης τῆς ἀνατολικῆς ἐρήμου βουνῷ ᾠκοδομηθέντα πύργον ὑπὸ τῆς μακαρίας Εὐδοκίας, ὡς ἤδη μοι εἴρηται ἐν τῷ περὶ Εὐθυμίου τοῦ μεγάλου λόγῳ, διεδέξαντο μέν τινες μοναχοὶ τῆς Διοσκόρου καὶ Εὐτυχοῦς μανίας ὑπασπισταί· B καὶ τούτων ἐν τῇ δευτέρᾳ ἑνώσει μετὰ Γεροντίου καὶ Ῥωμανοῦ διωχθέντων, ἕτεροι δύο μοναχοὶ τῆς Νεστορίου τοῦ δυσσεβοῦς αἱρέσεως ὑπέρμαχοι, τὴν τοῦ αὐτοῦ πύργου οἴκησιν διεδέξαντο, μὴ ὁμολογοῦντες κυρίως καὶ κατὰ ἀλήθειαν θεοτόκον τὴν ἁγίαν παρθένον· ἀλλ᾽ οὐδὲ ἕνα ἐκ τῆς ἁγίας καὶ ὁμοουσίου τριάδος ἐπρέσβευον Χριστὸν τὸν ἀληθινὸν ἡμῶν θεόν. τούτους τοιγαροῦν ἔχων ὁ μέγας πατὴρ ἡμῶν Σάβας κατὰ κορυ- C φὴν τῶν τριῶν αὐτοῦ μοναστηρίων, ἐλυπεῖτο καὶ ἐδυσφόρει σφόδρα περὶ αὐτῶν. συνέβη γὰρ αὐτὸν ἐν αὐταῖς ταῖς ἡμέραις ὅραμα τοιόνδε θεάσασθαι· ἑώρα ἑαυτὸν ἐν τῇ ἁγίᾳ ἀναστάσει συνάξεως ἐπιτελουμένης, καὶ τούτους ὑπό τινων ῥαβδοφόρων ἐκβαλλομένους μετὰ πλείστης ἀπειλῆς· ἑαυτὸν δὲ παρακαλοῦντα σὺν ῥαβδοφόροις συγχωρῆσαι αὐτοῖς κοινωνῆσαι· τοὺς δὲ αὐστηρῶς

τῇ φωνῇ ἀπεκρίναντο λέγοντες. οὐκ A ἐξὸν αὐτοῖς κοινωνῆσαι· Ἰουδαῖοι γὰρ ὑπάρχουσιν, μὴ ὁμολογοῦντες θεὸν ἀληθινὸν εἶναι τὸν Χριστὸν, καὶ θεοτόκον Μαρίαν. ἀπὸ τότε οὖν συμπαθήσας αὐτοῖς ὁ πρεσβύτης, ἐδέετο τοῦ θεοῦ ἐκτενῶς ὑπὲρ αὐτῶν, πρὸς τὸ λαβεῖν αὐτοὺς ἐπίγνωσιν ἀληθείας, καὶ ἀνανῆψαι ἐκ τῆς Νεστορίου αἱρέσεως. καὶ ἔμεινεν ἐπὶ χρόνον πυκνάζων αὐτοῖς, παρακαλῶν, νουθετῶν, τὰ τῆς εὐσεβείας δόγματα διεξερχόμενος. καὶ ὁ πατὴρ ἡμῶν Σάβας πολλὰ μὲν τῶν B εὐχαῖς, πολλὰ δὲ τῶν νουθεσίαις κοπιάσας, συνεργήσαντος τοῦ θεοῦ, παρεσκεύασεν αὐτοὺς, τὰ μὲν Νεστορίου δόγματα ἀναθεματίσαι, τῇ δὲ καθολικῇ ἐκκλησίᾳ κοινωνῆσαι. καὶ οὕτως λαβὼν αὐτοὺς, τῷ μακαρίτῃ παρέθετο Θεοδοσίῳ. τινὰ δὲ τῶν μαθητῶν ἑαυτοῦ ἀξιοθαύμαστον, Βυζάντιον μὲν τῷ γένει, Ἰωάννην δὲ τῇ κλήσει, ἀπὸ τῆς πρώτης τῶν σχολαρίων σχολῆς εἰς τὸν μοναδικὸν μεταστάντα βίον, καὶ ἐν τῇ μεγίστῃ λαύρᾳ τὴν μο- C ναχικὴν κατορθώσαντα πολιτείαν, διοικητὴν καὶ ἡγούμενον τοῦ πύργου ἐκείνου κατέστησεν, ὡς φρονήσει θείᾳ κεκοσμημένον, καὶ τοῦ τόπου ἀντιλαβέσθαι ἱκανώτατον ὄντα, παρασχὼν αὐτῷ ἀδελφοὺς ἐκ τῆς λαύρας, καὶ τὰ ἐπιτήδεια πάντα, ἀνερχόμενός τε ἐκεῖσε καὶ κοπιῶν, καὶ φροντίδα ποιούμενος, ἕως οὗ συνεργίᾳ θεοῦ, κοινόβιον τὸν πύργον πεποίηκεν· ἐν ᾧ κοινοβίῳ πολλὴν

voce ita respondisse; Non licet ipsis communicare: sunt quippe Judæi, non confitentes Christum esse verum Deum, nec Mariam Dei genitricem. Ab eo ergo tempore commiseratione erga eos motus senex, pro iis contente Deum precabatur, ut veritatis notitiam acciperent ac resipiscerent ab Hæresi Nestorii. Tum sat diu mansit frequentans eos, cohortans, admonens, pietatis dogmata edocens. Proinde pater noster Sabas, post multum tam precum quam monitorum laborem, adjuvante Deo effecit, ut illi Nestorii doctrinam anathemate percuterent, ac Ecclesiæ Catholicæ communicarent. Sicque assumens eos, beato Theodosio commendavit. Quemdam verò è suis discipulis admirandum hominem, genere Byzantium, Johannem nomine, qui à prima Scholariorum Schola ad Monasticam vitam transierat, eamque professionem in maxima Laura rectè exercebat, administratorem & præpositum turris illius constituit, utpote divina prudentia ornatum maximéque ad loci susceptionem idoneum; tradidit illi è Laura fratres, cum omnibus necessariis aptisque rebus; tum illuc ascendebat, & laborabat, curamque gerebat, donec cum adjutorio Dei è turri Cœnobium fecit: quo in Cœnobio ingentem

congregationem Scholarius comparavit; è qua eſt honorabilis vir Abrahamius Cratiæ Epiſcopus. Et Scholarius quidem triginta quinque annis eo in Monaſterio peractis, Monachicis virtutibus & orthodoxis dogmatibus enituit. At ſanctus pater noſter Sabas, multam operam in ædificatione & conſtitutione ejuſdem Monaſterii navavit, neque ad mortem uſque deſtitit locum viſitare ac beneficiis afficere.

XXXIX. Maximæ Lauræ Monachus quidam, genere Hieroſolymitanus, Jacobus nomine, arrogantiâ uſus, ſimul ac magnus *noſter* in Paneremum egreſſus eſt; aſſumens è Laura nonnullos, cœpit ad ſuprà memoratum Heptaſtomum ſeu ſeptem oſtiorum lacum condere parvum oratorium cum cellis, ſpe ſe illic Lauram inſtituturum. Cùm autem Lauræ patres indignarentur, & opus prohiberent, mentitus eſt, dixitque ſancti patris eſſe juſſionem. Quo audito patres, contriſtati quidem ſunt, non tamen opus impedierunt. At magnus pater ubi ad feſtum diem venit, ædificium intuitus, Jacobo advocato, ait; Fili, opus tuum Deo non placet, aliam nempe Lauram ſtatuere in locis Lauræ, maximè non conſentientibus Lauræ patribus, quinimo valde conturbatis, quòd ſecus viam ſit, atque ad noſtrum lacum. Quòd

A συνοδίαν ὁ Σχολάριος περιεποιήσατο· ἐξ ἧς ἐστὶν ὁ τίμιος Ἀβραάμιος ὁ Κρατίας ἐπίσκοπος. καὶ ὁ μὲν Σχολάριος τριάκοντα πέντε χρόνους ἐν αὐτῷ τῷ μοναστηρίῳ διατελέσας, ἐν μοναχικοῖς τε κατορθώμασι καὶ ὀρθοδόξοις δόγμασι διέπρεψεν. ὁ δὲ ἅγιος πατὴρ ἡμῶν Σάβας, πολλὰ ἐν τῇ οἰκοδομῇ καὶ συστάσει τοῦ αὐτοῦ μοναστηρίου κεκοπίακεν, καὶ μέχρι τελευτῆς ἐπισκεπτόμενος καὶ εὐεργετῶν τὸν
B τόπον οὐ διέλιπε.

λθʹ. Μοναχός τις ἐκ τῆς μεγίστης λαύρας, Ἱεροσολυμίτης μὲν τῷ γένει, Ἰάκωβος δὲ τῷ ὀνόματι, αὐθαδείᾳ χρησάμενος, ἅμα τῷ ἐξελθεῖν τὸν μέγαν ἐπὶ τὴν πανέρημον, λαβών τινας τῆς λαύρας, ἀρχὴν ἐποιήσατο, περὶ τὸν ἀνωτέρω μνημονευθέντα ἑπτάστομον λάκκον κτίζειν εὐκτήριον μικρὸν καὶ κελλία, λαύραν αὐτόθι προσδοκῶν συστήσασθαι. τῶν δὲ πατέρων τῆς λαύρας ἀγανακτησάντων, καὶ κωλυόντων τὸ
C ἔργον, ἐψεύσατο λέγων, τοῦ ἁγίου πατρὸς εἶναι τὴν κέλευσιν. οἱ δὲ πατέρες τοῦτο ἀκούσαντες, ἐλυπήθησαν μέν, τὸ δὲ ἔργον οὐκ ἐκώλυσαν. ὁ δὲ μέγας πατὴρ ἐλθὼν περὶ τὴν ἑορτήν, τό τε ἔργον θεασάμενος, καὶ τὸν Ἰάκωβον μεταπεμψάμενος, λέγει· οὐκ ἔστι τὸ ἔργον σου, τέκνον, θεάρεστον, τὸ ἑτέραν λαύραν συστήσασθαι ἐν τοῖς τῆς λαύρας τόποις, μάλιστα τῶν τῆς λαύρας πατέρων μὴ συνευδοκούντων, ἀλλὰ καὶ λίαν ταρασσομένων, διὰ τὸ κατὰ τὴν ὁδὸν εἶναι, καὶ παρὰ τὸν ἡμέτερον λάκκον. εἰ δὲ

καὶ

A καὶ λέγοι τις, ὑπὸ τὴν λαύραν μέλλειν ἔσεσθαι τὸ οἰκοδόμημα, ἀλλ' οὐ τοσοῦτον βούλομαι ἐκτεῖναι τὴν λαύραν. πλὴν ἄκουε τί ὁ προφήτης συμβουλεύει τοῖς δι' ἀπειρίαν ἢ ἀπόνοιαν ἐγχειροῦσιν τοῖς ὑπὲρ ἀξίαν καὶ δύναμιν, λέγων· συγκόψατε τὰ ἄροτρα ὑμῶν εἰς ῥομφαίας, καὶ τὰ δρέπανα ὑμῶν εἰς σειρομάστας. τί γὰρ ὄφελος γεωργίας, πολέμου τὴν γῆν κατέχοντος; καὶ αὐτὸς τοίνυν μήπω σαρκικὰ καὶ ψυχικὰ πάθη νικήσας, πῶς ἑτέρους παιδεύεις, ἔτι B ὑπὸ ἡδονῆς καὶ κενοδοξίας κρατούμενος; τοῦ δὲ Ἰακώβου τούτοις ἀντιλέγοντος, καὶ μὴ ἀνασχομένου, λέγει πρὸς αὐτὸν ὁ γέρων· ἐγὼ μὲν τέκνον, ὅπερ νομίζω συμφέρειν σοι συμβουλεύω· ἐπειδὴ δὲ ἐπιμένεις τῇ ἀπειθείᾳ, ἤδη διὰ πείρας μαθήσῃ, ὅτι ἀληθῶς ἡ γραφὴ λέγει· ἀντιλογίας ἐγείρει πᾶς κακός· ὁ δὲ κύριος ἄγγελον ἀνελεήμονα ἐπιπέμψει αὐτῷ. καὶ ταῦτα εἰπόντος τοῦ ἁγίου, καὶ ἐπὶ τοῦ πυργίου αὐτοῦ ἀνα- C χωρήσαντος, φρίκῃ καὶ πυρετῷ δεινοτάτῳ συσχεθεὶς ὁ Ἰάκωβος, καὶ ἐπὶ ἑπτὰ μῆνας ὑπὸ τῆς νόσου βασανισθεὶς, ἀπεγνώσθη περὶ τὸν Νοέμβριον μῆνα· καὶ παρεκάλεσε τοὺς πατέρας βασταχθῆναι καὶ ἀπενεχθῆναι εἰς τὴν ἐκκλησίαν τῆς λαύρας, καὶ τεθῆναι παρὰ τοὺς πόδας τοῦ ἁγίου, πρὸς τὸ συγχωρήσεως ἀξιωθῆναι πρὶν ἀποθανεῖν. καὶ τούτου γεγονότος, λέγει πρὸς αὐτὸν ὁ ἅγιος· ἔγνως τίς ὁ

si dixerit quispiam, sub Laura fore ædificium; verùm non adeò volo Lauram extendere. Porrò audi quid Propheta consilii det iis qui ob imperitiam vel superbiam res aggrediuntur supra suam dignitatem facultatémque positas; per hæc verba; *Concidite aratra vestra* Ioel.
in gladios, & falces vestras in III. 10.
lanceas. Quod enim agriculturæ emolumentum, si bellum terram obtineat. Et ipse itaque, qui nondum carnis & animæ affectus deviceris, quo modo alios erudis, adhuc voluptate ac inani gloria correptus? Cúmque Jacobus hisce contradiceret, neque inhiberetur, dicit ad eum senex; Ego quidem, fili, quod tibi puto conducere suadeo: quia verò in contumacia perseveras, mox experientiâ disces, verè dicere Scripturam; *Contradi-* Prov.
ctiones suscitat omnis malus: XVII.
Dominus autem Angelum im- 11.
misericordem emittit ei. Quæ postquam dixisset sanctus, & ad turriculam suam recessisset, algore ac febri gravissima Jacobus cœpit corripi, eoque morbo per septem menses excruciatus, ad mensem Novembrem spes ei omnis convalescendi abscissa est. oravit ergo patres ut portaretur deferreturque ad Lauræ Ecclesiam, atque ad sancti pedes poneretur, quò ante mortem veniam obtineret. Eo peracto, ait illi sanctus; Cognovistine quæ

ſit pertinaciæ & contradictionis merces? Edoctus es ab inſolentia tua? Cùm autem ipſe vix potuiſſet os aperire, ac dicere; Ignoſce mihi, venerande pater; ſanctus infit; Deus ignoſcet. Tum porrigens illi manum, erexit eum; necnon ipſi permiſit, immaculata ſumere ſacramenta. Quibus ille ſumptis, & cibum ſtatim cepit, & invaluit; adeò ut cuncti mirarentur ſubitam Jacobi mutationem. Exinde igitur non ampliùs ad ædificationem illam rediit. Quæ quidem ubi didicit Elias Archiepiſcopus, quoſdam miſit, atque Jacobi ædificium evertit. Sanctus verò pater noſter Sabas, è Laura quoſdam idoneos aſſumens, ad quinque circiter ſtadia à deſtructo ædificio versùs Aquilonem, oratorium condit, & cellas circùm; collocatiſque illic maximæ Lauræ quibuſdam in adminiſtratores, qui Paulus & Andreas appellabantur, erantque Græci genere, ſecundùm carnem fratres; nec non aliis fratribus ibidem conſitis; locum Lauram conſtituit, quam Heptaſtomum cognominavit. Porrò ipſum loci poſitum à quodam Zanagone vocato, ex Berabudiſorum villa orto, accepit; decentemque curam loci ſuſcipiebat; cúmque in maxima Laura verſaretur, Agapen mittebat & illic commorantibus Eulogias; multum, uti dictum eſt, de loco ſollicitus.

A τῆς αὐθαδείας καὶ ἀντιλογίας μισθός; ἐπαιδεύθης ὑπὸ τῆς ἀλαζονείας σου; τοῦ δὲ μόλις δυνηθέντος ἀνοῖξαι τὸ στόμα, καὶ εἰπεῖν· συγχώρησόν μοι τίμιε πάτερ· λέγει ὁ ἅγιος· ὁ θεὸς συγχωρήσει. καὶ δοὺς αὐτῷ χεῖρα, ἀνέστησεν αὐτὸν, ἐπιτρέψας αὐτῷ τῶν ἀχράντων μυστηρίων μεταλαβεῖν. ὁ δὲ τούτων μεταλαβὼν, καὶ τροφῆς παραυτίκα μετέλαβε, καὶ ἐνισχύθη, ὥστε θαυμάζειν ἅπαντας τὴν ἀθρόαν Ἰακώβου μεταβολήν. ἀπὸ τότε οὖν οὐκέτι εἰς
B τὴν οἰκοδομὴν ἐκείνην ὑπέστρεψεν. καὶ ὁ μὲν ἀρχιεπίσκοπος Ἠλίας ταῦτα μαθὼν, ἀπέστειλέ τινας, καὶ τὴν οἰκοδομὴν Ἰακώβου κατέστρεψεν. ὁ δὲ ἅγιος πατὴρ ἡμῶν Σάβας, λαβών τινας τῆς λαύρας ἐπιτηδείους, ὡς ἀπὸ πέντε σταδίων πρὸς βορρᾶν τῆς καταστραφείσης οἰκοδομῆς, κτίζει εὐκτήριον καὶ κελλία κύκλῳ· καὶ καταστήσας τινὰς τῆς μεγίστης λαύρας ἐκεῖσε διοικητὰς, Παῦλον καὶ Ἀνδρέαν προσαγορευομένους, Ἑλλαδικοὺς ὄντας τῷ
C γένει, καὶ ἀδελφοὺς κατὰ σάρκα, καὶ ἄλλους ἀδελφοὺς αὐτόθι φυτεύσας, λαύραν τὸν τόπον συνεστήσατο, ἑπτάστομον ταύτην ἐπονομάσας. τὴν μέντοι τοποθεσίαν αὐτὴν εἴληφε παρά τινος Ζανάγωνος καλουμένου, ἀπὸ Βηταβουδισῶν τῆς κώμης ὁρμωμένου· καὶ ἐφρόντιζε τοῦ τόπου δεόντως· καὶ ὅτε ἐγίνετο εἰς τὴν μεγίστην λαύραν, ἀγάπην ἔπεμπε καὶ τοῖς αὐτόθι τὰς εὐλογίας· πολλὴν ποιούμενος, ὡς εἴρηται, φροντίδα τοῦ τόπου.

μ'. Χρόνου δέ τινος παριππάσαντος, ὁ μνημονευθεὶς Ἰάκωβος, τὴν τοῦ ξενοδοχείου τῆς μεγίστης λαύρας διακονίαν λαβὼν, ἠναγκάζετο μαγειρεύειν τοῖς ἐν τῇ ἐρήμῳ συλλογῆς ἕνεκεν μανουθίων ἐξερχομένοις. αὐτοῦ δὲ ποτε ἑψήσαντος φάβα εἰς πλησμονὴν, τὸ παρ' ἡμῖν πισάριον λεγόμενον, καὶ περισσεύσαντος ἐπὶ μίαν καὶ δευτέραν ἡμέραν, καὶ ὕστερον ἀπὸ τῆς θυρίδος ἐπὶ τὸν χείμαρρον ῥίψαντος τὸ περισσευθὲν, κατανοήσας ὁ γέρων ἐκ τοῦ ἑαυτοῦ πύργου, κατελθὼν λαθραίως, καὶ καθαρίως ἐπισυνάξας τὸ ῥιφὲν πισάριον ἔλαβε, καὶ τοῦτο ἁπλώσας ἐξήρανε. τοῦ δὲ χρόνου προκόψαντος, προτρέπεται μονώτατον εἰς ἑστίασιν τὸν Ἰάκωβον, πληρώσαντα τὴν διακονίαν· κἀκείνῳ τὸ ξηρὸν πισάριον μαγειρεύσας καὶ καλῶς ἀρτύσας, παρέθηκεν. ἐσθιόντων δὲ αὐτῶν, εἶπεν ὁ γέρων· σύγγνωθί μοι ἀδελφὲ, ὅτι οὐκ οἶδα ἀρτύειν καλῶς, καὶ ἴσως οὐκ ἐθεραπεύθης ἐπὶ τῷ φαγίῳ. τοῦ δὲ εἰρηκότος, ὅτι λίαν ἐθεραπεύθην τίμιε πάτερ, καὶ διὰ πολλοῦ τοῦ χρόνου τοιούτου οὐ κατέσχον ἡδυτάτου φαγίου, ἀπεκρίνατο λέγων ὁ πρεσβύτης· πίστευέ μοι τέκνον, ὅτι ἐκεῖνό ἐστι τὸ ῥιφὲν ὑπὸ σοῦ πισάριον ἀπὸ τοῦ ξενοδοχείου εἰς τὸν χείμαρρον. γίνωσκε δὲ τοῦτο, ὅτι ὁ μὴ δυνάμενος χαλκίον ὀσπρίου οἰκονομῆσαι, πρὸς τὴν χρείαν τῶν ὑπ' αὐτὸν

XL. Aliquo autem tempore elapſo, memoratus Jacobus, cùm Xenodochii maximæ Lauræ miniſterium accepiſſet, culinam exercere cogebatur iis qui in ſolitudinem ad colligenda manuthia egrediebantur. Cùm autem tunc fabas ad expletionem nimiam coxiſſet, ſeu quod vocare ſolemus piſſarium, hoſt eſt piſarium vel picatum, & ad primam ſecundamque diem ſuperabundaret, deindeque à feneſtra in torrentem quod ſupererat projeciſſet, intuitus ſenex è turri ſua, clam deſcendit, piſſarium projectum munditer collectum cepit, illudque extenſum ſiccari fecit. Tempore autem progreſſo, unum ſolum Jacobum, qui jam miniſterium expleverat, ad convivium invitat; eique ſiccum piſſarium coquinaria arte præclare conditum apponit. Tum inter comedendum dixit ſenex; Ignoſce mihi, frater, non novi probè condire, forſan non es oblectatus edulio. Illo autem reſpondente; Valdè placuit, reverende pater, atque à longo tempore hujuſmodi ſuaviſſimum edulium non ſumpſi; excepit ſenex his verbis; Crede mihi, fili, adhuc illud piſſarium eſt, quod à te ex Xenodochio in torrentem projectum fuit. Id verò ſcito, eum qui leguminis ahenum diſpenſare nequit, ut ad uſum eorum qui ſub ipſo ſunt

sufficiat, nihil tamen è legumine perdat, conventum gubernare non posse; sicut Apostolus ait; *Si quis domui suæ præesse nescit, quo modo Ecclesiæ Dei diligentiam habebit?* (1. Tim. III. 5.) Quibus auditis Jacobus, multo cum animæ emolumento in cellam suam reversus est.

XLI. Idem hic Jacobus dum in propria cellula quietè residet, à dæmone fornicationis atrociter vexatus est, & postquam satis diu decertasset, jam ad certamen tædio affectus, quòd dæmonis incendium magis produceretur; sive ex ignorantia, sive ex oblivione eorum quæ divinis Ecclesiasticisque Canonibus decreta fuere, assumpto gladio testiculos inclementer sibi abscidit. Quòd autem ferre non valeret tum sanguinis fluxum, tum dolores, cœpit vicinos advocare; qui convenientes, morbum intuiti, illius curam gerebant. Re agnita sacratus Sabas, Jacobum sanitati redditum, ut homicidam sui, è Laura ejecit. (Can. Apost. 22.) Ejectum in Monasterio recepit magnus Theodosius, facinus ejus scrutatus est ac discussit, cumque sic ad Lauram reduxit, senem adhortatus, ut ipsum cum convenienti pœnitentiæ pœna admitteret. Sanctificatus verò Sabas in mandatis ei dedit, ut in propria cellula quietem silentiumque teneret, nusquam prodiret, neminem reciperet, cum nemine

A ποιῆσαι, καὶ τί ποτε τοῦ ὀσπρίου μὴ ἀπολέσαι, συνοδίαν κυβερνῆσαι οὐ δύναται· καθὼς ὁ ἀπόστολος λέγει· εἴ τις τοῦ ἰδίου οἴκου προστῆναι οὐκ οἶδε, πῶς ἐκκλησίας θεοῦ ἐπιμελήσεται; καὶ ταῦτα ἀκούσας ὁ Ἰάκωβος, καὶ πολλὰ ὠφεληθεὶς, ἀπῆλθεν εἰς τὸ κελλίον ἑαυτοῦ

μα'. Οὗτος αὐτὸς ὁ Ἰάκωβος εἰς τὸ ἴδιον κελλίον ἡσυχάζων, ἐπειράσθη δεινῶς ὑπὸ τοῦ δαίμονος τῆς πορνείας, καὶ ἐπὶ ἱκανὸν χρόνον ἀγωνισάμενος, B καὶ πρὸς τὸν ἀγῶνα ἀκηδιάσας, τῆς ἐκ τοῦ δαίμονος πυρώσεως ἐπὶ πλεῖον ἐκταθείσης, εἴτε ἄγνοιαν ἔχων, εἴτε λήθην λαβὼν τῶν εἰρημένων τοῖς θείοις καὶ ἐκκλησιαστικοῖς κανόσι, λαβὼν μάχαιραν ἐξέτεμεν ἀφειδῶς τοὺς ἑαυτοῦ διδύμους· καὶ μὴ ἐνέγκας τήν τε τοῦ αἵματος ῥύσιν καὶ τὰς ἀλγηδόνας, ἔβαλε προσκαλεῖσθαι τοὺς γείτονας· οἵτινες συνελθόντες, τό τε πάθος θεασάμενοι, ἐπεμελοῦντο αὐτοῦ. ὅπερ γνοὺς ὁ C ἡγιασμένος Σάβας, ὑγιασθέντα τὸν Ἰάκωβον, ὡς αὐτοφονευτὴν γεγονότα, τῆς λαύρας ἐδίωξεν· ὅν τινα εἰς τὴν μονὴν ὁ μέγας δεξάμενος Θεοδόσιος, καὶ τὰ κατ' αὐτὸν ἐρευνήσας καὶ ἀνακρίνας, κατήγαγεν εἰς τὴν λαύραν, καὶ παρεκάλεσε τὸν γέροντα δέξασθαι αὐτὸν μετὰ τῆς προσηκούσης ἐπιτιμίας. ὁ δὲ ἡγιασμένος Σάβας δέδωκεν αὐτῷ ἐντολὰς, ἡσυχάζειν τε εἰς τὸ ἴδιον κελλίον, καὶ μηδαμοῦ προϊέναι, μήτε μήν τινα δέξασθαι, ἢ συντυχίας

ποιεῖσθαι, παρεκτὸς μόνου τοῦ ὑπηρετοῦντος αὐτῷ. ὁ δὲ Ἰάκωβος τὴν τοῦ γέροντος δεξάμενος ἐντολήν, ἐδέετο τοῦ θεοῦ μετὰ δακρύων ἐπὶ συχνὸν χρόνον. καὶ ἀπεκαλύφθη τῷ γέροντι, ὅτι ὁ θεὸς τὴν μετάνοιαν Ἰακώβου ἐδέξατο. ἑώρα γὰρ ἄνδρα τινὰ φωτοφόρον δεικνύοντα αὐτῷ νεκρόν τινα κείμενον ἔμπροσθεν Ἰακώβου εἰς εὐχὴν ἱσταμένου· οὗτινος ἀκούσαντος, ὅτι εἰσηκούσθη σου ἡ προσευχὴ Ἰάκωβε, ἀλλ' ἔκτεινον τὴν χεῖρά σου, καὶ ἀνάστησον τὸν κείμενον, καὶ αὐτοῦ ἀναστήσαντος τὸν νεκρόν, λέγει ὁ φωτοφόρος τῷ γέροντι· ἰδοὺ ὁ νεκρὸς ἀνέστη, λῦσον καὶ αὐτὸς τὸν ἐπικείμενον τῷ ἀναστήσαντι δεσμόν. ὁ δὲ γέρων εἰς ἑαυτὸν ἐλθὼν καὶ διακρίνας τὴν ὀπτασίαν, ἐπέτρεψε προσελθεῖν τὸν Ἰάκωβον εἰς τὴν ἐκκλησίαν. ὅστις ἐλθὼν, ἠσπάσατο αὐτὸν καὶ τοὺς πατέρας· ἀνελθὼν δὲ καὶ πρὸς τὸν μακαρίτην Θεοδόσιον, καὶ τοῦτον ἀσπασάμενος, τῇ ἑβδόμῃ ἡμέρᾳ μετὰ τὴν ὀπτασίαν ἐτελεύτησεν ἐν χαρᾷ.

μβʹ. Δύο ἀδελφοὶ σαρκικοὶ ἦσαν ἐν τῇ μεγίστῃ λαύρᾳ, κατὰ θεὸν ἀδελφὰ φρονοῦντες, ἐκ τῶν περὶ τὴν Χεβρὼν ὁρμώμενοι τόπων, * Ζάννος καὶ Βενιαμὶν προσαγορευόμενοι, καὶ ταῖς κατὰ θεὸν ἀρεταῖς κομῶντες. οὗτοι συμφώνως παρεκάλεσαν τὸν ἡγιασμένον Σάβαν δοῦναι αὐτοῖς κελλίον ἀναχωρητικόν, ὅπερ ἦν αὐτὸς ἑαυτῷ οἰκοδομήσας, ὡς ἀπὸ δεκαπέντε σταδίων τῆς λαύρας διακείμενον

A congrederetur, nisi cum uno illo qui ei ministraturus esset. At Jacobus senis mandato accepto, Deum cum lacrymis diu deprecatus est. Tum seni revelatum fuit, Deum Jacobi pœnitentia placatum esse. Videbat enim virum quemdam lucis plenum ostendere ei mortuum coram Jacobo ad preces stante jacentem; qui Jacobus postquam hæc audisset; Exaudita est oratio tua Jacobe, verùm extende manum tuam, & B jacentem resuscita; atque mortuum suscitasset; dein ille lucifer dicit seni; Ecce mortuus resurrexit, solve etiam tu vinculum suscitatori impositum. Itaque senex ad se reversus, visione dijudicatâ, permisit ut Jacobus ad Ecclesiam accederet. Ille venit, ipsum Sabam cæterosque patres osculo & amplexu salutavit; cúmque etiam ad beatum Theodosium profectus, cum similiter salutasset, septima post visionem C die cum gaudio è vivis excessit.

XLII. Duo carnis fratres in maxima Laura versabantur, qui fraterna secundùm Deum sentiebant, ex locis Hebroni circumjacentibus originem ducentes, Zannus & Benjamin appellati, divinis virtutibus conspicui ac referti. Hi concorditer sacrum Sabam obsecraverunt, ut daret ipsis cellam Anachoreticam, quam ipse sibi ædificaverat, quasi quindecim stadiis à Laura dissitam

* Mela. phr. Ζάνυς

versùs Africum. At magnus senex, qui sciret esse operarios Dei, eorum petitionem admittens, dedit cellam; quam Anachoreticam cellam tenere perseverarunt, una cum sua illa Lauræ. Itaque in illa cella Anachoretica cùm multum operæ & laboris impendissent, eam Cœnobium constituerunt, sancto patre nostro Saba succurrente ipsis, ac impensas reliquaque ministeria subsidiaque suppeditante. Fratribus autem illic coactis, Ecclesiam ædificari curavit, eam dedicavit, regulas aliorum suorum Cænobiorum inibi tradidit. Quod Cœnobium usque ad præsens tempus Dei gratiâ floret, beatique Zanni denominationem sortitur.

πρὸς λίβα. ὁ δὲ μέγας πρεσβύτης γινώσκων αὐτοὺς ἐργάτας ὄντας θεοῦ, εἴξας τῇ αἰτήσει αὐτῶν, καὶ δέδωκεν αὐτοῖς τὸ κελλίον, καὶ ἔμειναι κατέχοντες αὐτό τε τὸ ἀναχωρητικὸν κελλίον, καὶ τὸ ἐν τῇ λαύρᾳ ἴδιον αὐτῶν. αὐτοὶ μὲν οὖν εἰς τὸ ἀναχωρητικὸν ἐκεῖνο κοπιάσαντες κελλίον καὶ μοχθήσαντες, κοινόβιον αὐτὸ συνεστήσαντο, τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Σάβα συμβοηθοῦντος αὐτοῖς, καὶ τὰ ἀναλώματα, καὶ τὴν λοιπὴν ὑπουργίαν ἐπιχορηγοῦντος. ἀδελφῶν δὲ αὐτόθι ἐπισυναχθέντων, οἰκοδομηθῆναι τὴν ἐκκλησίαν φροντίσας, ἐνεκαίνισε, καὶ τοὺς κανόνας τῶν ἄλλων αὐτοῦ κοινοβίων παρέδωκεν ἐκεῖσε. ὅπερ κοινόβιον μέχρι τοῦ νῦν τῇ τοῦ θεοῦ χάριτι ἀνθεῖ, τὴν τοῦ μακαρίου Ζάννου ἐπωνυμίαν λαχόν.

XLIII. Erat in Laura senex quidam, qui in multis Monachalibus rectè factis vitam peregerat, in Bithynia natus, Anthimus nomine. Hic principiò sibi parvam cellam trans torrentem ad Orientem, ex adverso turris sancti patris nostri Sabæ condidit, mansitque in ea per annos triginta; jam verò senescens, in morbum incidit, & lecto decumbebat. Videns autem beatus Sabas hominem in summam corporis infirmitatem incidisse, orabat eum, uti cellam prope Ecclesiam acciperet, quò posset aliquis sine fatigatione illi ministrare. Verùm senex

μγ'. Γέρων τις ἦν ἐν τῇ λαύρᾳ, πολλοῖς μοναχικοῖς κατορθώμασι διανύσας τὸν ἑαυτοῦ βίον, ἐκ τῆς μὲν * Βιθυνίας ὁρμώμενος, Ἄνθιμος δὲ προσαγορευόμενος. οὗτος ἐν ἀρχῇ κλίσας ἑαυτῷ κελλίον μικρὸν * ἀντίπερα τοῦ χειμάρρου κατὰ ἀνατολάς, ἄντικρυς τοῦ πύργου τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Σάβα, καὶ ἐπὶ τριάκοντα ἔτη μείνας ἐν αὐτῷ, περὶ τὸ γῆρας ἠσθένησε καὶ γέγονε κλινήρης. ὁ δὲ μακαρίτης Σάβας βλέπων αὐτὸν εἰς βαθυτάτην ἐλάσαντα σωματικὴν ἀσθένειαν, παρεκάλει αὐτὸν πλησίον τῆς ἐκκλησίας λαβεῖν κελλίον, πρὸς τὸ ἀκόπως δύνασθαί τινα ὑπηρετεῖν αὐτῷ. ὁ δὲ γέρων

* Metaphr. Βηθανίας
* Metaphr. πέραν

οὐκ ἠβούλετο, λέγων, ὅτι πιστεύω, ἐν A τῷ κελλίῳ ἐν ᾧ ἐξ ἀρχῆς ἠξιώθην μένειν, ἐν αὐτῷ λαμβάνει τὴν ψυχήν μου ὁ κτίσας αὐτὴν θεός. χρόνου δέ τινος διελθόντος, ἐν μιᾷ νυκτὶ ἀναστὰς ὁ ἅγιος πρὸ τῆς τοῦ κρούσματος ὥρας, ἤκουσε φωνῆς ψαλμῳδίας, ὡς ἀπὸ πολλοῦ ὄχλου γινομένης, καὶ ἐνόμισεν ὅτι τινὸς συμβάντος, γίνεται ὁ κανὼν ἐν τῇ ἐκκλησίᾳ· καὶ ἐθαύμαζεν ὅτι παρὰ γνώμην αὐτοῦ τὸ παρὰ συνήθειαν γίνεται. καὶ κατελθὼν εἰς τὸ πυργίον, ἤκουσε πλήθους ψαλ- B λόντων μετὰ μέλους ἡδυφώνου τοῦτον μόνον τὸν στίχον, ὅτι διελεύσομαι ἐν τόπῳ σκηνῆς θαυμαστῆς, ἕως τοῦ οἴκου τοῦ θεοῦ, ἐν φωνῇ ἀγαλλιάσεως καὶ ἐξομολογήσεως * ἤχους ἑορταζόντων. καὶ γνοὺς πόθεν ὁ τῆς ψαλμῳδίας ἦχος, ἐξυπνίζει τὸν κανονάρχην, καὶ ποιεῖ αὐτὸν κροῦσαι· καὶ ἀπέρχεται μετὰ θυμιάματος καὶ κηρῶν εἰς τὸ κελλίον τοῦ γέροντος, καὶ οὐδένα εὑρίσκει, ἀλλ' αὐτὸν μόνον τελειωθέντα. καὶ ἐθαύμασαν ἅπαντες οἱ μετὰ τοῦ γέροντος ἐλθόν- C τες· καὶ κηδεύσαντες τὸ τίμιον λείψανον, ἤγαγον εἰς τὴν ἐκκλησίαν· καὶ πληρώσαντες τὸν συνήθη κανόνα ἐπ' αὐτῷ, κατέθεντο ἐν θήκαις ὁσίαις, δοξάζοντες τὸν θεὸν τὸν δοξάσαντα τοὺς ἑαυτοῦ ἁγίους.

μδ'. Ἀδελφός τις ἐκ τῆς τοῦ μακαρίου Θεοδοσίου μονῆς, τῷ μὲν γένει * Ἀσιανός, τῇ δὲ προσηγορίᾳ

nolebat, aiebatque; Ita credo; In cella in qua ab initio manere dignus habitus sum, in illa animam meam sumpturus est qui eam creavit Deus. Dein tempore quodam transacto, nocte surgens sanctus ante horam pulsationis, sonum Psalmodiæ quasi plurimorum audivit, & arbitratus est, canonem precum ex aliquo casu in Ecclesia peragi; mirabaturque hoc absque voluntate sua contra consuetudinem fieri. Atque reversus in turrim, audivit multitudinem hominum cum suavis soni modulatione hunc dumtaxat versum psallentium; *Transibo in locum tabernaculi admirabilis, usque ad domum Dei; in voce exultationis & confessionis, soni festa celebrantium.* Et intelligens unde oriretur Psalmodiæ sonus, Canonarcham expergefacit, jubetque ut pulset; tum ad senis cellam proficiscitur cum suffimento & cereis; neminem autem invenit, sed ipsum solummodo mortuum. Atque mirati sunt cuncti qui una cum sene venerant. Inde preciosum corpus ad sepulturam curarunt, in Ecclesiam tulerunt, completoque super ipsum consueto precum officio, in sanctis loculis deposuerunt, glorificantes Deum qui sanctos suos gloriâ afficit.

Ps. XLI. 5.

* *Metaphr.* ἤχου

XLIV. Frater quidam ex beati Theodosii Monasterio, genere Asianus, appellatione

* *Metaphr.* Ἀπαιώς

A Aphrodisius, qui burdonum onus, id est duodecim frumenti modios, è terra solus sustollebat, suisque imponebat humeris. nam magnitudine corporis cunctos in Cœnobio manentes superabat. Accidit autem, ut aliquando in itinere irâ concitatus, os muli percusserit, illudque contriverit; quo statim collapso & mortuo, Aphrosidisius tum jumenti onus tum clitellas in humeros attollens, venit in

B Monasterium; à quo per magnum Theodosium propter bestiæ cædem expulsus, in Jordanem descendit, lapsumque suum sancto Johanni Ægyptio, qui tunc temporis in Chuziba virtutibus resplendebat, exponit. Cúmque ab illo audiisset; Si vis salutem consequi, abi ad Abbatem nostrum Sabam, & quod dicet tibi, fabam, festinanter ad ipsum venito; festinanter ad ipsum venit, peccatum confitetur, obsecrat ut ab eo sermonem salu-

C tis accipiat. At pater noster Sabas dat ei cellam, dicendo; Insiste in cella tua, nec ad aliam accedas, neque è Laura egredere, & contine linguam ac ventrem, atque salvus eris. Hoc accepto mandato, Aphrodisius, nullaque ex parte neglecto, per annos triginta neque exiit è Laura, neque ad cellam profectus est, numquam habuit ollam, aut vas coquinarium, aut lectulum; vinum non sumpsit vel

* Metaphr. ἐμμεῖναι

* ἀλεγίσας

Ἀφροδίσιος, ὁ τὸν τῶν βουρδωνίων γόμον, τουτέστι δώδεκα μοδίους σίτου, ἐκ τῆς γῆς μόνος κουφίζων, τοῖς ἑαυτοῦ ἐπετίθει ὤμοις. τῷ γὰρ μεγέθει τοῦ σώματος πάντας τοὺς τοῦ κοινοβίου ὑπερέβαλλεν. συνέβη δὲ αὐτόν ποτε κατὰ τὴν ὁδὸν ὀργισθέντα, τύψαι τὸν τοῦ βορδωνίου ὄψιν, καὶ συντρῖψαι αὐτήν· οὗτινος παραυτίκα πεσόντος καὶ ἀποθανόντος, ὁ Ἀφροδίσιος τόν τε τοῦ ἀλόγου γόμον καὶ τὸ σάγμα ἐπὶ τῶν ὤμων ἄρας ἦλθεν εἰς τὴν μονήν· καὶ ὑπὸ τοῦ μεγάλου Θεοδοσίου διωχθεὶς τῆς μονῆς διὰ τὸν τοῦ ἀλόγου φόνον, κατέρχεται εἰς τὸν Ἰορδάνην, καὶ τὸ σφάλμα ἑαυτοῦ ἀνατίθησι τῷ ἐν ἁγίοις Ἰωάννῃ τῷ Αἰγυπτίῳ, ἐν τῷ Χουζιβᾶ τὸ τηνικαῦτα ταῖς ἀρεταῖς ἀπαστράπτοντι. καὶ ἀκούσας παρ᾽ αὐτοῦ, ὅτι εἰ θέλεις σωθῆναι, ἄπελθε πρὸς τὸν Ἀββᾶν ἡμῶν Σάβαν, καὶ ὃ λέγει σοι ποίησον· ἔρχεται μετὰ σπουδῆς πρὸς αὐτόν, ὁμολογῶν τὸ σφάλμα, καὶ παρακαλῶν λόγον σωτηρίας ἀκοῦσαι παρ᾽ αὐτοῦ. ὁ δὲ πατὴρ ἡμῶν Σάβας, δίδωσιν αὐτῷ κελλίον, λέγων· * στοίχησον τῷ κελλίῳ σου, καὶ ἄλλῳ κελλίῳ μὴ παραβάλῃς, μὴ δὲ τῆς λαύρας ἐξέλθῃς, καὶ ἐγκρατὴς γενοῦ γλώσσης καὶ κοιλίας, καὶ σώζει. ταύτην τὴν ἐντολὴν δεξάμενος ὁ Ἀφροδίσιος, καὶ ἐν μηδενὶ αὐτὴν * ἀλογίσας, ἐπὶ τριάκοντα ἔτη οὔτε τῆς λαύρας ἐξῆλθεν, οὔτε εἰς κελλίον παρέβαλεν, οὐκ ἐκτήσατό ποτε χύτραν ἢ μαγειρεῖον ἢ χαλάδριον, οὐ μετέλαβεν οἴνου ἢ εὐκράτου,

ὔχερατος, οὐκ ἐκτήσατο δύο χιτῶ- A
νας· ἀλλ' ἐν στιβαδίῳ μὲν ἐκάθευδεν
ἐπὶ ψιαθίου καὶ κεντωνίου· λαμβά-
νων δὲ βαΐα παρὰ τοῦ οἰκονόμου, ἐνενή-
κοντα μαλάκια πεπληρωμένα καθ'
ἕκαστον μῆνα παρεῖχε τῷ ξενοδόχῳ·
τά τε περισσευόμενα ἑψητὰ, εἴτε
λάχανον, εἴτε * ὄσπριον, ἢ ψευδοζώ-
φιον, ταῦτα λαμβάνων, ἀπετίθετο
μεμιγμένα εἰς μίαν λεκάνην, καὶ ἐκ
τῆς λεκάνης ἐλάμβανε καθ' ἑκάστην ἡ-
μέραν μικρὸν, καὶ * αὐτὸ ἤρκειτο· καὶ
εἰ ὤζεσε τὸ ἐν τῇ λεκάνῃ, ἢ σκώ- B
ληκας ἐποίησεν, οὐκ ἔρριπτεν αὐτὸ,
ἀλλὰ μόνον προσετίθει τὰ περισσευ-
όμενα ἑψητά· ὁ πάννυχος δὲ αὐτοῦ
κλαυθμὸς οὐκ ἤφιε τοὺς γείτονας
ἀνεθῆναι. ἐν ταύτῃ τοίνυν τῇ πολι-
τείᾳ τριάκοντα ὡς εἴρηται χρόνους
πληρώσας, μηδέποτε ἀσθενήσας, ἢ
ἀκηδιάσας, ἢ βλαβεὶς τὸν στόμα-
χον, διορατικοῦ χαρίσματος ἠξιώ-
θη, καὶ τὴν ἡμέραν προέγνω τῆς ἑαυτοῦ
τελευτῆς πρὸ ἑβδομάδος· καὶ ἐλθὼν
εἰς τὴν ἐκκλησίαν, παρεκάλει τὸν C
πατέρα ἡμῶν Σάβαν, ἀπολυθῆναι
πρὸς μίαν ἡμέραν ἐπὶ τὴν μονὴν τοῦ
μακαρίου Θεοδοσίου. ὁ δὲ γέρων
γνοὺς ὅτι ἤγγισεν αὐτοῦ ἡμέρα, ἀπο-
στέλλει Θεόδουλον τὸν Γελασίου ἀ-
δελφὸν πρεσβύτερον ὄντα μετ' αὐτοῦ,
δηλώσας τῷ μακαρίῳ Θεοδοσίῳ·
ἰδοὺ ἄνθρωπόν ποτε τὸν Ἀφροδί-
σιον δεξάμενος, νῦν χάριτι Χρι-
στοῦ ἀπέστειλά σοι αὐτὸν ἄγγελον.
ὁ μὲν οὖν μακαρίτης Θεοδόσιος

dilutum, duas tunicas non pos-
sedit; sed dormiebat quidem
in stibadio seu torulo frondeo
super stoream & centonem; ca-
piens autem ab Oeconomo ra-
mos palmarum, nonaginta spor-
tulas plenas integrasque singu-
lis mensibus tradebat Xeno-
docho; tum reliquias ciborum
coctorum, olus nempe, aut * M S. ὄσπρεον semper.
legumen, aut quod vocatur
ementitum edulium, accipie-
bat, reponebatque permistè
in pelvi, atque ex ea parum * Metaphr. αὐτῷ
quotidie sumebat, idque satis
tis erat. Quòd si repositum in
pelvi fœteret, aut vermes
produxisset, non ideo proji-
ciebat, sed dumtaxat addebat
decocta residua; denique per-
nox illius ploratus non sinebat
vicinos quiescere. In hoc igi-
tur vitæ instituto triginta an-
nis, ut dictum est, completis,
numquam infirmus, tædio af-
fectus, aut stomacho læsus,
charismate perspicentiæ dona-
tus est, diemque obitûs sui
prævidit ante hebdomadem;
profectusque ad Ecclesiam pa-
trem nostrum Sabam rogavit,
ut uno die dimitteretur in
Monasterium beati Theodosii.
Senex verò qui cognosceret ip-
sius diem appropinquare, mit-
tit cum eo Theodulum Gelasii
fratrem, ac Presbyterum, signi-
ficans beato Theodosio; Ecce
Aphrodisium, quem aliquan-
do accepi hominem, nunc gra-
tiâ Dei ad te eum misi Ange-
lum. Itaque beatus Theodosius

A ipsum cum lætitia suscepit, salutavit, amplexus est, perbenigè ad convivium invitavit, sicque dimisit in pace. Aphrodisius autem reversus ad Lauram, postquam parum ægrotasset, cum gaudio denatus est. Quem patres curatum sepelierunt cum Presbyteris. Cæterùm beatus Sabas separatim poni preciosum ipsius corpus jussit, quò sequentibus temporibus cognosceretur atque adoraretur seu honoraretur eâ in theca à patribus qui eò advenirent. B

XLV. Medaba urbs est ultra Jordanem ad Orientem sita, Arabiæ subjecta, cujus incolæ ad sanctum patrem nostrum Sabam ventitabant, multa animæ haurientes beneficia, & Cœnobiis Laurisque ejus frumentum cum legumine offerebant. E quorum numero erat senex quidam, Gerontius nomine, qui corporis infirmitate circumventus, ideoque in sancta civitate diu commoratus, C in sacra Ascensione precari desideravit, & animali insidens cum famulitio perrexit. Ad montis autem ascensum, bestiâ per aliquem casum pavore umbratili correptâ, delapsus est Gerontius, atque ita fractus, ut vocatus illitor, de ipsius curatione desperaverit. Porphyrius autem ejus minor frater, nemini quidquam dicens, in Lauram devenit, hortatusque est sanctum

A τοῦτον μετὰ χαρᾶς δεξάμενος, ἠσπάσατο, καὶ φιλοφρόνως εἰς συνεστίασιν προτρεψάμενος, ἀπέλυσεν ἐν εἰρήνῃ. ὁ δὲ Ἀφροδίσιος ἐλθὼν εἰς τὴν λαύραν, καὶ μικρόν τι νοσήσας, ἐτελεύτησεν ἐν χαρᾷ. ὅντινα οἱ πατέρες κηδεύσαντες ἔθαψαν μετὰ τῶν πρεσβυτέρων. ὁ μέντοι μακαρίτης Σάβας, παρὰ μέρος ἐκέλευσε τεθῆναι τὸ τίμιον αὐτοῦ λείψανον, πρὸς τὸ γνωρίζεσθαι ἐπὶ χρόνον, καὶ προσκυνεῖσθαι ὑπὸ τῶν κατερχομένων ἐν αὐτῇ τῇ θήκῃ B πατέρων.

με΄ Μέδαβα πόλις ἐστὶ πέραν τοῦ Ἰορδάνου κατ᾽ ἀνατολὰς ὑπὸ τῆς Ἀραβίας τελοῦσα, ἧς οἱ οἰκήτορες ἤρχοντο πρὸς τὸν ἐν ἁγίοις πατέρα ἡμῶν Σάβαν, πλείστας ψυχικὰς εὐεργεσίας ἀρυόμενοι, καὶ καρποφοροῦντες τοῖς τε κοινοβίοις αὐτοῦ καὶ λαύραις σῖτον καὶ ὄσπριον. ἐξ ὧν ἦν τις γέρων Γερόντιος καλούμενος, ὅστις σωματικὴν ἀσθένειαν περικείμενος, καὶ C διὰ ταύτην εἰς τὴν ἁγίαν πόλιν χρονίσας, ἐπεθύμησεν εὔξασθαι εἰς τὴν ἁγίαν ἀνάληψιν· καὶ ζώῳ τινὶ ἐπικαθίσας ἀπῄει ἔχων σὺν πρὸς τὴν ὑπηρεσίαν. περὶ δὲ τὴν τοῦ ὄρους ἀνάβασιν, τοῦ ἀλόγου ἔκ τινος συμβάντος σκιασθέντος, ἔπεσεν ὁ Γερόντιος, καὶ οὕτως ἐκλάσθη, ὥστε ἐλθόντα τὸν κηρωματίτην τῆς αὐτοῦ ἀπογνωσθῆναι θεραπείας. Πορφύριος δέ τις ὁ τούτου μικρότερος ἀδελφὸς, μηδενὶ μηδὲν εἰρηκὼς κατέρχεται εἰς τὴν λαύραν, παρακαλῶν τὸν ἐν ἁγίοις

A Σάβαν ἐλθεῖν καὶ ἐπισκέψασθαι τὸν Γερόντιον. ὅστις πρεσβύτης, τὴν ἐπελθοῦσαν Γεροντίῳ συμφορὰν ἀκούσας, καὶ σφόδρα λυπηθεὶς, αὐτίκα εἰς τὴν ἁγίαν πόλιν ἀνῆλθε. καὶ ἐλθὼν πρὸς Γερόντιον, καὶ εὐχὴν ἐκτενῆ ὑπὲρ αὐτοῦ ποιήσας, καὶ ἔλαιον τοῦ ἁγίου σταυροῦ ἀλείψας αὐτὸν, ὑγιῆ ἀποκατέστησεν· ὥστε εἶναι πάντας θαυμάζειν ἐπὶ τῇ τοσαύτῃ ἀθρόᾳ μεταβολῇ καὶ παραδόξῳ θαυματουργίᾳ.

B μϛʹ. Χρόνου δὲ πολλοῦ διαδραμόντος, ὁ τούτου τοῦ Γεροντίου υἱὸς Θωμᾶς καλούμενος, παραβαλόμενος τῷ ἐν Ἱεριχῷ τῆς μεγίστης λαύρας ξενοδοχείῳ, ὀψίας βραδείας οὔσης, ἐν τῷ τοῦ λιμοῦ καιρῷ, ηὗρεν αὐτόθι τόν τε ἁγιώτατον Σάβαν, καὶ Θεόδωρον καὶ Παῦλον τοῦ Καστελλίου καὶ σπηλαίου διοικητάς. ὁ μὲν οὖν μακαρίτης Σάβας, τοῦτον ἰδὼν καὶ περιχαρὴς γεγονὼς, εἶπεν τῷ ξενοδόχῳ· ποίησον ἡμῖν δεῖπνον. αὐτῶν δὲ δειπνούντων ἐρωτηθεὶς ὁ ξενοδόχος, εἰ ἔχει οἶνον, ἀπεκρίνατο μηδόλως ἔ- C χειν· κολοκύνθιον ὄξους ἔλεγεν ἔχειν ἐπὶ τὸ ἀρτύειν τὰ ὄσπρια. καὶ λέγει ὁ ἅγιος· φέρε μοι ἐνταῦθα τὸ κολοκύνθιν· καὶ εὐλογητὸς κύριος, ὅτι ἔχομεν εὐφρανθῆναι ἐξ αὐτοῦ. ὁ γὰρ τὸ ὕδωρ εἰς οἶνον μεταβαλὼν Χριστὸς ὁ θεὸς ἡμῶν, αὐτὸς καὶ τὸ ὄξος εἰς οἶνον μεταβάλλειν δυνατός ἐστι. ταῦτα τοῦ ἁγίου εἰρηκότος, καὶ τοῦ κολοκυνθίου ἐνεχθέντος, ηὑρέθη τὸ ὄξος οἶνος καλὸς γεγενημένος. καὶ ἐξέστη ὁ

Sabam ut proficiſceretur ac Gerontium viſitaret. Qui ſenex, cùm calamitatem Gerontio illatam accepiſſet, magno dolore affectus, ſtatim ad ſanctam civitatem aſcendit. Et accedens ad Gerontium, precatuſque intentè pro eo, ubi oleo ſanctæ crucis eum unxiſſet, ſanitati reſtituit; adeò ut omnes de tam ſubita mutatione, inopinatoque miraculo admiratio teneret.

XLVI. Multo autem interlapſo tempore, hujus Gerontii filius Thomas vocatus, cùm ad Xenodochium maximæ Lauræ Jerichuntinum valde ſerò, tempore famis adveniſſet, illic ſanctiſſimum Sabam, & Theodorum Paulumque, Caſtellii & Speluncæ adminiſtratores nactus eſt. Quem videns beatus Sabas, magna lætitia affectus, dixit Xenodocho; Præpara nobis cœnam. Inter cœnandum verò interrogatus Xenodochus, an vinum haberet, reſpondit ſibi nequaquam eſſe; ſe dumtaxat dixit habere cucurbitam aceti ad condienda legumina. Tum ait ſanctus; Huc mihi affer cucurbitam; Benedictus Dominus, ex ea lætificabimur. Chriſtus enim Deus noſter, qui *Ioh. 2. 9.* aquam in vinum mutavit, ipſe acetum quoque in vinum commutare poteſt. Quibus à ſancto dictis, & cucurbita allata, acetum vinum optimum factum repertum eſt. Et obſtupuit

A Thomas super miraculo inexspectato. Aitque Xenodocho beatus Sabas; Affer citò prunas, & injice thymiama seu suffitum; hac quippe hora visitatio divina ergo nos facta est. Tantam porrò benedictionem accepit vinum cucurbitæ, ut cuncti ex illo tribus diebus affatim biberint. At Thomas editione miraculi mirificè oblectatus, à sene postulavit, ut cucurbitam auferret in domum suam. Cucurbitam sanctus dedit; accepit Thomas, B abiit, atque ex residuo vino tum ipse tum qui cum eo erant usque ad Medaba bibere perseveraverunt. Cæterùm hæc mihi retulit Abbas Gerontius, T. 2. p. 146. qui nunc Monasterii sancti Euthymii administrationem obtinet, filius Thomæ, Gerontii nepos; idque addidit narrationi; Servavimus in domo nostra cucurbitam annis pluribus, cúmque aliquis in morbum incidebat, eam aqua implebant qui in domo versa- C bantur, & ægrotum aspergebant, ipsaque aspersio laborantem ab omni corporis adversa valetudine allevabat.

XLVII. Hic pietatis pugil Sabas dum proficiscitur aliquando à Jerichunte ad Jordanem una cum quodam discipulo suo, nonnullis mundi hominibus occurrit, inter quos erat adolescentula elegans. Qui ubi præterierunt, volens senex discipulum probare, ait;

A Θωμᾶς ἐπὶ τῷ παραδόξῳ τοῦ θαύματος. καὶ λέγει ὁ μακαρίτης Σάβας τῷ ξενοδόχῳ· φέρε λαμπρὰ τάχιον, καὶ βάλε θυμίαμα· ἐπισκοπὴ γὰρ θεία γέγονεν ἡμῖν κατὰ τὴν ὥραν ταύτην. ηὐλογήθη δὲ ὁ τοῦ κολοκυνθίου οἶνος τοσοῦτον, ὥστε ἐπὶ τρεῖς ἡμέρας πλουσίως ἅπαντας πιεῖν ἐξ αὐτοῦ. ὁ δὲ Θωμᾶς ἀγασθεὶς τῇ θαυματουργίᾳ, παρεκάλεσε τὸν γέροντα λαβεῖν τὸ κολοκύνθιον εἰς τὸν ἑαυτοῦ οἶκον. τοῦ δὲ ἁγίου τὸ κολοκύνθιον δεδωκότος, B λαβὼν ὁ Θωμᾶς ἀπῆλθε, καὶ ἔμεινεν ἐξ αὐτοῦ τοῦ περισσεύσαντος οἴνου πίνων αὐτὸς καὶ οἱ μετ' αὐτοῦ ἕως Μεδάβων. ταῦτα δέ μοι διηγήσατο ὁ Ἀββᾶς Γερόντιος, ὁ νῦν τὴν μονὴν τοῦ ἐν ἁγίοις Εὐθυμίου διοικῆσαι λαχὼν, τοῦ μὲν Θωμᾶ υἱὸς ὑπάρχων, τοῦ δὲ Γεροντίου ἔγγονος· προστεθηκὼς τῇ διηγήσει καὶ τοῦτο, ὅτι ἔχομεν τοῦτο τὸ κολοκύνθιον εἰς τὸν οἶκον ἡμῶν ἐπὶ ἔτη πολλά· καὶ ὅταν ἠσθενήθη τις, ἐγέμιζον αὐτὸ ὕδατος οἱ τοῦ οἴκου, καὶ C τὸν ἀσθενοῦντα ἐρράντιζον, καὶ αὐτὸς ὁ ῥαντισμὸς τὸν κάμνοντα πάσης σωματικῆς ἐκούφιζε νόσου.

μζʹ. Οὗτος ὁ τῆς εὐσεβείας ἀγωνιστὴς Σάβας ὁδεύων ποτὲ μετά τινος μαθητοῦ αὐτοῦ ἀπὸ τῆς Ἱεριχὼ ἐπὶ τὸν Ἰορδάνην, συνηντήθησαν κοσμικαῖς τισὶ, ἐν οἷς νεᾶνίς τις ὑπῆρχε πιθανή. ἐκείνων δὲ παρελθόντων, θέλων ὁ γέρων δοκιμάσαι τὸν μαθητὴν, λέγει·

ποταπή ἐστιν ἡ παρελθοῦσα κόρη; καὶ ἔστι μονόφθαλμος. καὶ λέγει ὁ ἀδελφός· οὐχί πάτερ, ἀλλὰ δύο ὀφθαλμοὺς ἔχει. ὁ δὲ γέρων φησί· ἠπατήθης τέκνον· μονόφθαλμος γάρ ἐστιν. ὁ δὲ διεβεβαιοῦτο μετ' ἀκριβείας εἰδέναι, μὴ εἶναι αὐτὴν μονόφθαλμον, ἀλλὰ καὶ λίαν εὐόμματον. καὶ λέγει ὁ γέρων· πόθεν σοι τὸ σαφῶς εἰδέναι; ὁ δὲ εἶπεν· ἐγὼ πάτερ ἐπιμελῶς προσέσχον, καὶ ἔγνων ὅτι ἀμφοτερόφθαλμός ἐστι. τότε λέγει ὁ γέρων· καὶ ποῦ τέθειται παρὰ σοὶ τὸ παράγγελμα φάσκον· μὴ ἐρείσῃς σὸν ὄμμα πρὸς αὐτήν· καὶ μὴ συναρπασθῇς σοῖς βλεφάροις· φλέγων τὸ πάθος ἐκ περιέργου θέας; καὶ πέπεισο ἀπὸ τοῦ νῦν, οὐ μένεις μετ' ἐμοῦ ἐν τῷ κελλίῳ, διὰ τὸ μὴ τηρεῖν σε σοὺς ὀφθαλμοὺς ὡς πρέπει. καὶ ἀποστέλλει αὐτὸν εἰς τὸ Καστέλλιν, καὶ ποιήσαντα ἐκεῖσε χρόνον τινά, καὶ ἱκανῶς παιδευθέντα πάσῃ φυλακῇ τηρεῖν τούς τε ὀφθαλμοὺς καὶ τὴν διάνοιαν, ἐδέξατο αὐτὸν κελλιώτην εἰς τὴν λαύραν.

μη'. Μάγειρος τῆς λαύρας ἥψησέ ποτε κολοκύνθια εἰς λόγον τεχνιτῶν, καὶ τῇ ὥρᾳ φαγεῖν γευσάμενος, ηὗρεν αὐτὰ πικρά· καὶ στενοχωρηθείς, μὴ ἔχων ἄλλο τίποτε παραθῆναι αὐτοῖς, ἀπελθὼν δρομαίως προσέπεσε τῷ γέροντι, τὸ συμβὰν ἀπαγγέλλων. ὁ δὲ ἅγιος ἐλθών, καὶ σφραγίσας τὸ χαλκίον τῷ σημείῳ τοῦ σταυροῦ, λέγει τῷ μαγείρῳ· πορεύου, εὐλογητὸς κύριος,

A Qualis est quæ transiit puella? & est unocula. Ait frater; Nequaquam, pater; duos habet oculos. Tum senex, Deceptus es, inquit, fili; est enim uniocula. Ille verò affirmabat se probè nosse non esse eam desioculam, sed potiùs pulcris valde oculis præditam. Et dicit senex; Unde tibi ut manifestò scias? Respondit ille; Ego, pater, diligenter attendi, atque agnovi eam habere ambos oculos. Tunc ait se-

B nex; Et ubinam positum est apud te illud præceptum, quo dicitur; *Ne fixeris oculum tuum in eam; neque abripiaris palpebris tuis;* qui ex curiosa inspectatione affectu ardeas? Per-*suasum habeto, non mansurum te ampliùs jam mecum in cella, quòd oculos tuos, prout decet non serves. Mittitque eum in Castellium; cúmque illic aliquo tempore versatus fuisset, sufficienterque esset edoctus, omni custodia oculos

C mentemque servare, eumdem in Laura celliotam admisit.

Prov. VI. 25. XXIII. 5.

* Metaphr. ἐπιστάσεως

XLVIII. Lauræ coquus cucurbitas aliquando pro opificibus coxit, & hora sumendi cibi degustatas, invenit amaras. Unde ad angustias redactus, quòd nihil aliud haberet ipsis apponendum, cursim procidit seni, quod evenerat nunciat. Sanctus profectus, signo crucis super ahenum facto, coquo dicit; Vade, Benedictus Dominus;

appone mensis. Atque illico A cucurbitæ edulcatæ sunt, & cuncti comederunt, expleti sunt, Deoque gloriam dederunt.

XLIX. Seni huic sancto è Ruba in Calamonem Jordanis venienti, occurrit leo prægrandi magnitudine, claudicans, qui accidendo pedem ei ostendebat, nutuque adhortabatur ut curaretur. Pater autem noster Sabas, intellecto feræ dolore, sedit, pedem ejus apprehendit, infixum spi- B culum eduxit; tum leo dolore liberatus, surrexit atque abiit: & ab eo tempore per dies quadragesimales senem sequebatur, benevolam servitutem impendendo. Habebat tunc sacer senex discipulum quemdam Syrum, Phlaim nomine, qui inferiùs in Ruba asinum habebat ad ministerium; cúmque mitteret eum ad responsum seu negotium aliquod, committebat leoni asini custodiam. Itaque leo manè asini capi- C strum ore accipiens abibat, totoque die pascebat, ad vesperam verò potabat, atque sic cum eo revertebatur. Cæterùm interlapsis aliquot diebus, leone ministerium hoc adimplente, missus ad responsum Phlais, suam salutem quòd negligeret, aut fortè in elationem aliquam lapsus, ideoque derelictus, incidit in fornicationem; atque eodem die leo contritum asinum sibi

A παρατεθὲν εἰς τὰ τραπέζια. καὶ παραχρῆμα ἐγλυκάνθησαν τὰ κολοκύνθια, καὶ ἔφαγον πάντες, καὶ ἐχορτάσθησαν, καὶ ἐδόξασαν τὸν θεόν.

μθ'. Τούτῳ τῷ ἁγίῳ πρεσβύτῃ πορευομένῳ ἀπὸ τοῦ Ῥουβᾶ ἐπὶ τὸν Καλαμῶνα τοῦ Ἰορδάνου, συνήντησε λέων παμμεγεθέστατος χωλαίνων, καὶ προσεστὼς ἐδείκνυεν αὐτῷ τὸν πόδα, νεύματι παρακαλῶν ἐπιμελείας τυχεῖν. ὁ δὲ πατὴρ ἡμῶν Σάβας κατανοήσας τὴν τοῦ θηρίου ὀδύνην, καθίσας, καὶ B τοῦ ποδὸς αὐτοῦ ἐπιλαβόμενος, σκόλοπα ἐμπεπαρμένον ἐξήγαγεν ἀπ' αὐτοῦ· καὶ κουφισθεὶς τῆς ὀδύνης ὁ λέων ἀναστὰς ᾤχετο· καὶ ἀπὸ τότε τὰς τῆς τεσσαρακοστῆς ἡμέρας ἠκολούθει τῷ γέροντι, εὐνοϊκὴν δουλείαν ἀποπληρῶν. εἶχε δὲ τότε ὁ ἡγιασμένος πρεσβύτης μαθητήν τινα Σύρον, Φλαῒν καλούμενον, κάτω εἰς τὸν Ῥουβᾶν ἔχοντα ὄνον πρὸς ὑπηρεσίαν. καὶ ὅτε ἀπέστελλεν αὐτὸν εἰς ἀπόκρισιν, ἐπέτρεπε τῷ λέοντι φυλάττειν αὐτοῦ τὸν ὄνον. ὁ μὲν οὖν C λέων κατὰ πρωῒ τὸ τοῦ ὄνου φορβαίαν τῷ στόματι λαμβάνων ἀπήρχετο, καὶ ὅλην τὴν ἡμέραν ἔβοσκε, καὶ περὶ τὸ ὀψὲ ποτίζων ἤρχετο ἔχων αὐτόν. ἡμερῶν δέ τινων διελθουσῶν, καὶ τοῦ λέοντος τὴν τοιαύτην διακονίαν ἀποπληροῦντος, ἀποσταλεὶς εἰς ἀπόκρισιν ὁ Φλαῒς, καὶ τῆς ἑαυτοῦ σωτηρίας ἀμελήσας, ἢ τάχα ἐπάρσει τινὶ περιπεσὼν, καὶ διὰ τοῦτο ἐγκαταλειφθεὶς, ἔπεσεν εἰς πορνείαν· καὶ ἐν αὐτῇ τῇ ἡμέρᾳ ὁ λέων συντρίψας τὸν ὄνον, βρῶμα

ἑαυτοῦ πεποίηκε. τοῦτο γνοὺς ὁ Φλαΐς, ἐπέγνω αἰτίαν οὖσαν τοῦ βρωθῆναι τὸν ὄνον τὴν ἑαυτοῦ ἁμαρτίαν· καὶ μηκέτι τολμήσας φανῆναι τῷ γέροντι, ἀπέγνω ἑαυτὸν κακῶς ποιῶν· καὶ ἐλθὼν ἔμενεν εἰς τὸ ἴδιον χωρίον, τὴν ἑαυτοῦ πενθῶν ἁμαρτίαν. πλὴν, ὅτι ὁ θεῖος πρεσβύτης τὴν δεσποτικὴν φιλανθρωπίαν μιμούμενος, οὐ παρεφρόνησεν αὐτοῦ· ἀλλὰ πολλὰ ζητήσας, καὶ εὑρὼν, τῇ τοῦ Χριστοῦ χάριτι, νουθετήσας αὐτὸν καὶ παρακαλέσας, καὶ τοῦ πτώματος διαναστήσας, τοῦτον αὐτὸν ἔσωσεν, ἐγκλείσαντα ἑαυτὸν, καὶ μετανοήσαντα ἐκ ψυχῆς, καὶ εὐαρεστήσαντα τῷ θεῷ μεγάλως.

ν΄. Τῷ ἑβδομηκοστῷ τρίτῳ τοῦ τοῦ ἡγιασμένου Σάβα ἡλικίας χρόνῳ, ὁ ἀρχιεπίσκοπος Ἱεροσολύμων Ἡλίας, τινὰς τῶν ἡγουμένων βουληθεὶς ἐν Κωνσταντινουπόλει ἀποστεῖλαι, μεταπεμψάμενος τὸν πατέρα ἡμῶν Σάβαν, ἐδυσώπει αὐτὸν ἀνελθεῖν μετ' αὐτῶν, καὶ πάσῃ τῇ δυνάμει ἀγωνίσασθαι, ἀτάραχον τὴν μητέρα τῶν ἐκκλησιῶν διαφυλαχθῆναι· τοῦ βασιλέως Ἀναστασίου σφοδρῶς ἀγανακτοῦντος, καὶ πᾶσαν τὴν κατὰ Παλαιστίνην ἐκκλησιαστικὴν κατάστασιν ἀναστρέψαι καὶ συγχέειν πειρωμένου. τίς δὲ ἡ αἰτία τῆς τοῦ βασιλέως κατὰ τοῦ ἀρχιεπισκόπου μανίας καὶ ἀγανακτήσεως, ἄνωθεν καὶ ἐξ ἀρχῆς δι' ὀλίγων ἐρῶ. τοῦ πατριάρχου Ἡλία τῆς Ἱεροσολύμων ἱεραρχίας κρατήσαντος, τῷ τρίτῳ ἔτει τῆς Ἀναστασίου

A pabulum fecit. Quo agnito, Phlais, caussam devorati asini esse cognovit peccatum suum; nec ampliùs ausus est venire in conspectum senis, sed desperationi se tradidit, malo exemplo; veniensque mansit in agro suo, lugebatque de peccato. Verumtamen divinus senex, Domini benignitatem imitatus est, nec contempsit eum; sed multùm quæsitum, ac inventum, per Dei gratiam, cùm admonuisset & adhortatus esset, atque à lapsu erexisset, eumdem servavit, ut qui incluserit se, ex animo pœnitentiam egerit, evaseritque Deo valde acceptus.

B

L. Septuagesimo tertio ætatis sanctificati Sabæ anno, Archiepiscopus Hierosolymorum Elias, qui quosdam Hegumenorum vellet mittere Constantinopolim, arcessitum patrem nostrum Sabam rogabat, ut cum iis proficisceretur, totisque viribus ad conservandam in tranquillitate matrem Ecclesiarum decertaret; quòd Imperator Anastasius vehementer indignaretur, omnemque Palæstinæ Ecclesiasticam constitutionem evertere & confundere conaretur. Quænam verò caussa fuerit Imperatoris adversùs Archiepiscopum vesaniæ ac indignationis, altiùs & à principio paucis repetam. Cùm Patriarcha Elias Hierosolymitanum pontificatum obtinuisset, tertio imperii Anastasii

C

anno, conturbata est Ecclesia A Dei, in tres partes divisa; Pontificibus quidem Romanis dissidentibus à Byzantinis, eò quòd sacris Diptychis insertum esset nomen Acacii Episcopi quondam Constantinopolitani, qui illorum non secutus fuerat accuratam diligentiam rigidamque disciplinam; Byzantinis verò dissentientibus ab Alexandrinis, qui Synodum Chalcedonensem anathematizabant, & Dioscori B ab ea depositi communionem admittebant. Elias igitur solum cum quo communicaret habuit Euphemium Byzantii Antistitem, cùm Occidentales, ut dictum est, sejunxissent se, & Antiochenus Palladius in gratiam Imperatoris decreta Chalcedonensia anathemate feriret, atque Alexandrinorum communionem amplecteretur. Tunc igitur Euphemium Constantinopoleos Episcopum, qui Chalcedone sancita confirma- C verat Synodicè, Episcopatu *Imperator* dejecit, calumniâ irretiens. Cúmque Alexandrinus & Antiochenus Euphemii ejectioni consentirent, Elias nondum completo secundo Episcopatûs sui anno, assentiri detrectabat. Macedonium tamen qui ordinatus fuerat, ubi ex Synodicis ejus deprehendit esse Orthodoxum, ad communionem admisit. Atque id ab exordio non parum Imperatorem turbavit. Erat ergo inter

A βασιλείας, συνεκέχυτο καὶ ἡ τοῦ θεοῦ ἐκκλησία, τριχῆ διαιρεθεῖσα· τῶν μὲν κατὰ τὴν Ῥώμην ἀρχιερέων διαφερομένων πρὸς τοὺς κατὰ τὸ Βυζάντιον, διὰ τὸ ἐντετάχθαι τοῖς ἱεροῖς διπτύχοις τὴν προσηγορίαν Ἀκακίου ἐπισκόπου γεγονότος Κωνσταντινουπόλεως, μὴ τῇ αὐτῶν ἀκριβείᾳ ἀκολουθήσαντος· τῶν δὲ κατὰ τὸ Βυζάντιον διαφερομένων πρὸς τοὺς κατὰ Ἀλεξάνδρειαν, ὡς ἀναθεματίζοντας τὴν ἐν B Χαλκηδόνι σύνοδον, καὶ τὴν τοῦ ὑπὸ ταύτης καθαιρεθέντος Διοσκόρου κοινωνίαν προσιεμένους. ὁ μὲν οὖν Ἠλίας τὸν τοῦ Βυζαντίου μόνον εἶχε κοινωνικὸν Εὐφήμιον, τῶν δυτικῶν ὡς εἴρηται ἀποσχοινισάντων, καὶ τοῦ κατὰ τὴν Ἀντιόχειαν Παλλαδίου πρὸς χάριν τοῦ βασιλέως τὰ ἐν Χαλκηδόνι δογματισθέντα ἀναθεματίσαντος, καὶ τὴν κοινωνίαν τῶν Ἀλεξανδρέων προσιεμένου. τότε τοίνυν Εὐφήμιον τὸν Κωνσταντινουπόλεως ἐπίσκοπον τὰ ἐν C Χαλκηδόνι δογματισθέντα συνοδικῶς κυρώσαντα, καθεῖλε τῆς ἐπισκοπῆς, συκοφαντίᾳ περιβάλλων. τῶν δὲ κατὰ Ἀλεξάνδρειαν καὶ Ἀντιόχειαν συναινεσάντων τῇ Εὐφημίου ἐκβολῇ, Ἠλίας οὔπω τὸν δεύτερον ἐν τῇ ἐπισκοπῇ πληρώσας ἐνιαυτὸν, συναινέσαι οὐκ ἠνέχετο. ὁρῶν μέντοι ὀρθόδοξον τὸν χειροτονηθέντα Μακεδόνιον, ἐκ τῶν αὐτοῦ συνοδικῶν, τοῦτον κοινωνικὸν εἰσεδέξατο. καὶ τοῦτο ἐν προοιμίοις οὐ μικρῶς τὸν βασιλέα διετάραξεν. ἦν τοίνυν ὁμόνοια

Μακεδονίου

Μακεδονίου καὶ Ἠλία. Φλαβιανοῦ δὲ μετὰ τὴν τελευτὴν Παλλαδίου τῆς Ἀντιοχέων κρατήσαντος, καὶ τούτοις ἑνωθέντος, οὐκ ἤνεγκεν ὁ κατὰ μόνης τῆς εὐσεβείας θρασὺς βασιλεὺς τὴν τούτων συμφωνίαν· ἀλλ' ἐμάνη ὑπερορίσαι αὐτούς. καὶ πρῶτον μὲν Μακεδόνιον συκοφαντίαις διαφόροις περιβαλὼν, καὶ τῆς ἐπισκοπῆς ἐξελάσας, καὶ Τιμόθεον εἰς ταύτην προαγαγὼν, Φλαβιανὸν καὶ Ἠλίαν ἀπῄτει συνθέσθαι. οἵτινες τοῖς μὲν Τιμοθέου συνῄνεσαν συνοδικοῖς· οὐ μὴν δὲ καὶ τοῖς καθαιρετικοῖς Μακεδονίου. τότε σφοδρῶς κατὰ τῶν ἀμφοτέρων κινηθέντος τοῦ βασιλέως, κλύδων μέγας ταῖς ἀμφοτέραις ἐπέκειτο ἐκκλησίαις. τούτου τοίνυν ἕνεκεν ὁ πατριάρχης Ἠλίας ὡς εἴρηται ἀποστέλλει ἐν Κωνσταντινουπόλει τὸν πατέρα ἡμῶν Σάβαν καὶ ἑτέρους σὺν αὐτῷ ἡγουμένους, γράψας τῷ βασιλεῖ τοιάδε· ἐπιλογὴν δούλων θεοῦ ἀγαθῶν τε καὶ πιστῶν καὶ τῆς πάσης ἐρήμου ἀρχηγῶν, ἐν οἷς καὶ τὸν κύριον Σάβαν τὸν πολιστὴν καὶ πολιοῦχον τῆς καθ' ἡμᾶς ἐρήμου καὶ ὅλης τῆς Παλαιστίνης φωστῆρα, ἀπέστειλα πρὸς δυσώπησιν τοῦ ὑμετέρου κράτους. ὁ μὲν οὖν ἀρχιεπίσκοπος Ἠλίας τοιαῦτα γεγράφηκεν. ὁ δὲ πατὴρ ἡμῶν [Σάβας * *] ἀρχιερέως ἐπλήρου ὑπακοὴν, προθυμούμενος εἰ δυνηθείη βοηθῆσαι τῇ καθολικῇ

A Macedonium & Eliam concordia. Post mortem verò Palladii Flavianus Antiochiam obtinuit, & cum Macedonio ac Elia adunatus est: quorum consensum non tulit qui adversùs solam pietatem audax erat Imperator; sed ad furorem ut eos in exsilium mitteret concitatus est. Et primò quidem Macedonium diversis calumniis implicat, ab Episcopatu expellit, ad quem provehit Timotheum; à Flaviano B autem & Elia postulabat, ut adstipularentur. Qui quidem Synodicis Timothei assensum præbuerunt, non tamen actis depositionis Macedonii. Tunc vehementer commoto in utrumque Imperatore, magna ingruebat in utramque Ecclesiam tempestas. Ea ergo de caussa Elias Patriarcha, sicut dixi, Constantinopolim mittit patrem nostrum Sabam aliosque cum eo Monasteriorum C præpositos, & hujusmodi ad Imperatorem litteras dat; Selectos Dei servos bonos ac fideles totiusque Eremi principes, atque in iis dominum Sabam, solitudinis nostræ frequentatorem, gubernatorem & patronum, totiusque Palæstinæ luminare misi ad placandum imperium vestrum. Archiepiscopus igitur Elias hæc scripsit. Pater autem noster Sabas Pontificis sententiæ obsequebatur, promptè operam dans, si fortè Catholicæ

Orthodoxæ fidei eo tempore A vexatæ & periclitanti auxilium ferre posset. Eo itaque dimisso, & iter peragente, Anastasius Imperator, effreni insaniâ in Flavianum ac Eliam Patriarchas usus, præcipit Synodum Sidone Episcoporum
* In Metaphr. Σιδῶνι Et infrà.
Orientalium & Palæstinorum fieri; jussitque ut Synodo præessent Sotericus Cæsareæ Cappadociæ, & Philoxenus Hierapolis, qui Episcopi decreta Concilii Chalcedonensis præcipuè anathematizabant, necnon Eutychi ac Dioscoro eo- B rumque pravæ alienæque doctrinæ patrocinabantur.

LI. Ubi verò sanctus Sabas cum patribus unà missis ad regiam urbem pervenisset, Imperatorique indicâsset, jussi sunt omnes ingredi. At Deus
1. Reg. 2. 30.
qui glorificantes eum glorificat, volens manifestare gratiam quæ servum suum Sabam comitabatur, aliquid hujusmodi contingere procuravit. Cunctis enim iis in palatium ingressis, & ad locum qui di- C citur Silentiarium progressis, Silentiarii ostio præpositi cùm universos introduxissent, hunc, qui magnum erat luminare, quique semetipsi moderationem animi præscripserat, repulsum instar mendici alicujus, cunctorumque vilissimi apparentis, non admiserunt, quòd intuerentur vestitum eum esse parvis sordidisque multarumque suturarum centonibus.

A ὀρθοδόξῳ πίστει, τὸ τηνικαῦτα κλυδωνιζομένῃ καὶ κινδυνευούσῃ. αὐτοῦ τοίνυν ἀπολυθέντος, καὶ τὴν ὁδὸν διανύοντος, ὁ βασιλεὺς Ἀναστάσιος ἀσχέτῳ μανίᾳ κατὰ Φλαβιανοῦ καὶ Ἠλία τῶν πατριαρχῶν κεχρημένος, κελεύει σύνοδον ἐν Σιδόνι γενέσθαι, τῶν τε ἀνατολικῶν καὶ τῶν Παλαιστινῶν ἐπισκόπων· ἐξάρχειν τε τῆς συνόδου κελεύσας Σωτήριχόν τε τὸν Καισαρείας Καππαδοκίας, καὶ Φιλόξενον τὸν ἱερᾶς πόλεως, τοὺς μάλιστα τὰ ἐν Χαλκηδόνι δογματισθέντα ἀναθε- B ματίζοντας, καὶ Εὐτυχοῦς καὶ Διοσκόρου [καὶ τῶν ἐκείνων] ἑτεροδοξίας ἀντιλαμβανομένους.

να'. Τοῦ δὲ ἐν ἁγίοις Σάβα μετὰ τῶν συναποσταλέντων πατέρων τὴν βασιλίδα φθάσαντος, καὶ τῷ βασιλεῖ μηνύσαντος, ἐκελεύσθησαν ἅπαντες εἰσελθεῖν. ὁ δὲ δοξάζων τοὺς δοξάζοντας αὐτὸν θεὸς, βουλόμενος τὴν τοῦ δούλου αὐτοῦ Σάβα ἑπομένην χάριν φανερῶσαι, ᾠκονόμησέ τι τοιοῦτον συμβῆναι. πάντων γὰρ αὐ- C τῶν εἰς τὸ παλάτιον εἰσερχομένων, καὶ τὸ λεγόμενον σιλεντιαρίκιν φθασάντων, οἱ ἐπὶ τῶν θυρῶν σιλεντιάριοι πάντας ἔνδον εἰσδεξάμενοι, τοῦτον τὸν μέγαν φωστῆρα τῇ τοῦ φρονήματος μετριότητι [ἑαυτὸν] κανονίσαντα ἀπωσάμενοι ὡς προσαίτην τινὰ, καὶ πάντων εὐτελέστατον φαινόμενον, οὐκ εἰσεδέξαντο, κεντωνάρια ῥυπαρὰ καὶ πολύρραφα φορεῖν αὐτὸν θεασάμενοι.

A καὶ ὁ μὲν βασιλεὺς Ἀναστάσιος εὐμενῶς τοὺς πατέρας δεξάμενος, τὸν ἐν τοῖς γράμμασιν ἐπαινούμενον ἅγιον ἐπεζήτει Σάβαν. οἱ δὲ πατέρες περιεβλέποντο ὧδε κἀκεῖσε, πῶς ἀπέστη ἀπ' αὐτῶν μὴ γινώσκοντες. τοῦ δὲ βασιλέως κελεύσαντος σπουδαίως ζητηθῆναι αὐτὸν, καὶ θορύβου ὑπὸ τῶν κουβικουλαρίων γεγονότος, ἐξελθόντες οἱ σιλεντιάριοι, ηὗρον αὐτὸν εἰς γωνίαν παρὰ μέρος ἱστάμενον εἰς τὸν [οὕτω καλού] μενον κονσιστώριον, ψαλμοὺς B Δαυιτικοὺς καθ' ἑαυτὸν στιχολογοῦντα· καὶ ἁρπάσαντες αὐτὸν εἰσήγαγον. αὐτοῦ δὲ ἔνδον τοῦ βήλου γενομένου, θεωρεῖ ὁ βασιλεὺς ἀγγελικήν τινα μορφὴν προηγουμένην αὐτοῦ· καὶ ἀναστὰς, καὶ μετὰ τῆς πρεπούσης τιμῆς δεξάμενος αὐτὸν, ἐκέλευσε πάντας καθίσαι· ἦν γὰρ φιλομόναχος, εἰ καὶ ὑπό τινων μιαρῶν παρεσκευάζετο τὴν ὀρθὴν ἐκπολεμῆσαι πίστιν. εἶτα τινῶν κινηθέντων λόγων, τῶν ἄλλων ἡγου- C μένων ἕκαστος τοῦ ἰδίου ἐφρόντιζε μοναστηρίου· καὶ ὁ μὲν αὐτῶν ᾐτεῖτο τὰ κυκλοῦντα τὸ ἴδιον μοναστήριον χωρία· ὁ δὲ ἑτέραν τινὰ [κομί]σασθαι θείαν κέλευσιν. ὁ μέντοι βασιλεὺς ἕκαστον θεραπεύσας, λέγει πρὸς τὸν ἐν ἁγίοις Σάβαν· αὐτὸς καλόγηρε μηδὲν βουλόμενος αἰτῆσαι, τίνος χάριν τοσοῦτον σκυλμὸν ὑπέμεινας; ὁ δὲ ἀποκριθεὶς ὁ γέρων εἶπεν· ἦλθον ἐνταῦθα, προηγουμένως μὲν

Et Imperator quidem Anastasius post patres benignè exceptos, laudatum in litteris requirebat sanctum Sabam. Patres verò huc illucque circumspiciebant, nescii quo pacto ab iis abscessisset. Tum jussit Imperator ut sedulò quæreretur: ideoque tumultu à Cubicularriis facto, egressi Silentiarii, invenerunt eum in angulo seorsum stantem in loco qui Consistorii nomen gerit, & Davidis Psalmos apud se recitantem; raptumque introduxerunt. Porrò cùm esset intra velum, cernit Imperator Angelicam quamdam formam ei præeuntem; & consurgens, cumque honore convenienti ipsum excipiens, jussit cunctos sedere. erat enim Monachorum amator, quamvis à quibusdam sceleratis ad impugnandam rectam fidem induceretur. Dein quibusdam habitis sermonibus, cæterorum Hegumenorum unusquisque, proprii curam gerebat Monasterii; & alius quidem agros suum Monasterium circumdantes postulabat; alius verò quampiam aliam divinam jussionem reportare nitebatur. Cæterùm Imperator singulorum desideriis expletis, ad sanctum Sabam dicit; Tu Calogere, seu bone senex Monache, qui nihil petere cuperes, quare tantam itineris molestiam suscepisti? Et respondens senex ait; Huc veni, præcipuè quidem

ad pietatis vestræ adoranda vestigia, dum adhuc sum in hocce corpore; dein verò ut exorem vos pro sancta Dei urbe Hierusalem, sanctissimoque ipsius Archiepiscopo, quò sanctis regionis nostræ Ecclesiis pacem donetis, sacerdotesque earum absque turbatione maneant. Nam per pacem Ecclesiarum, dum in quiete degimus, in qua virtutes excoli solent, noctu dieque pro vestra serenitate preces fundemus, ut piis vestris acquiescentes legibus. Tum Imperator jussit afferri mille nummos, dixitque; Accipe hos, pater, & pro nobis ora: audivi enim te multorum solitudinis Monasteriorum possessionem habere. Magnus autem Sabas infit; Volo hic hyemare, & eâ gratiâ ut adorem vestram pietatem donari. Tunc Imperator alios quidem Monasteriorum præpositos in Palæstinam dimisit, ipsum verò illic hyemem transigere præcepit, atque in regiam libere introire absque indicatione.

LII. Quibusdam pòst diebus, arcessivit eum Imperator, & ita allocutus est; Vester Archiepiscopus propugnatorem se fecit Chalcedonensis Synodi quæ Nestorii dogmata confirmavit; neque hoc solùm, sed etiam Antiochiæ præsulem Flavianum labefactatum ad se pertraxit. Unde cùm Chalcedonensis

A προσκυνῆσαι τὰ ἴχνη τῆς ὑμετέρας εὐσεβείας, ὡς ἔτι εἰμὶ ἐν τῷδε τῷ σώματι, ἔπειτα δὲ δυσωπῆσαι ὑμᾶς ὑπὲρ τῆς ἁγίας τοῦ Θεοῦ πόλεως Ἱερουσαλὴμ, καὶ τοῦ ὁσιωτάτου αὐτῆς ἀρχιεπισκόπου, πρὸς τὸ εἰρήνην βραβεῦσαι ταῖς καθ' ἡμᾶς ἁγίαις ἐκκλησίαις, ἀταράχου τῆς ἐν αὐταῖς ἱερατείας μενούσης. διὰ γὰρ τῆς τῶν ἐκκλησιῶν εἰρήνης, ἐν ἡσυχίᾳ [διάγοντες,] ἐν ᾗ κατορθοῦσθαι πεφύκασιν αἱ ἀρεταὶ, νύκτωρ τε καὶ μεθ' ἡμέραν B ὑπερευξόμεθα τῆς ὑμετέρας γαληνότητος, ὡς τοῖς εὐσεβέσιν ὑμῶν ἐπαναπαυόμενοι νόμοις. ὁ δὲ βασιλεὺς ἐκέλευσεν ἐνεχθῆναι χίλια νομίσματα, λέγων· λάβε ταῦτα πάτερ, καὶ εὔχου ὑπὲρ ἡμῶν· ἤκουσα γὰρ ὅτι πολλῶν ἐν τῇ ἐρήμῳ ἀντέχῃ μοναστηρίων. ὁ δὲ μέγας Σάβας ἔφη· βούλομαι ἐνταῦθα παραχειμάσαι, καὶ ἀξιοῦσθαι προσκυνεῖν τὴν ὑμετέραν εὐσέβειαν. τότε ὁ βασιλεὺς τοὺς μὲν ἄλλους ἡγουμένους ἐπὶ Παλαιστίνην C ἀπέλυσεν, αὐτὸν δὲ ἐκεῖσε παραχειμάσαι ἐκέλευσε, καὶ ἀκωλύτως εἰς τὰ βασίλεια εἰσιέναι, μηνύσεως χωρίς.

νβ'. Ἡμερῶν δέ τινων διελθουσῶν, μεταπεμψάμενος αὐτὸν ὁ βασιλεὺς εἶπεν· ὁ ὑμέτερος ἀρχιεπίσκοπος ὑπέρμαχον ἑαυτὸν κατέστησε τῆς τὰ Νεστορίου δόγματα κυρωσάσης ἐν Χαλκηδόνι συνόδου· οὐ μὴν, ἀλλὰ τὸν Ἀντιοχείας Φλαβιανὸν, ἀνάστατον ποιησάμενος, ἑαυτῷ συγκατέσπασεν. ὅθεν μελλόντων τῶν ἐν Χαλκηδόνι

A δογματισθέντων ἀναθεματισθῆναι καθολικῶς, ὑπὸ τῆς νυνὶ συναθροισθείσης συνόδου ἐν Σιδόνι, αὐτὸς μόνος ἐκώλυσε, συμποιήσας μετὰ τοῦ Ἀντιοχείας Φλαβιανοῦ· καὶ ὡς ἐνόμισε τὸ ἡμέτερον ἔπαιζε κράτος, [ἐν ἐπιστολαῖς] ἡμῖν αὐταῖς λέξεσιν οὕτως λέγων· πᾶσαν αἵρεσιν καινοπρεπές τι κατὰ τῆς ὀρθοδόξου πίστεως ἐπεισάγουσαν ἀποβαλλόμεθα, οὐ παραπεμπόμενοι καὶ τὰ ἐν Χαλκηδόνι πεπραγμένα, διὰ τὰ γενόμενα δι' αὐτὴν σκάνδαλα· καὶ ὡς ἐνόμισε τούτοις ἡμᾶς B τοῖς λόγοις ἠπάτησε, θεσπίσαντας ἄπρακτον διαλυθῆναι τὴν σύνοδον. πλὴν οὐκ ἔλαθεν ἡμᾶς, οὔτε νῦν, οὔτε πρότερον, ἡνίκα τοῖς καθαιρετικοῖς Εὐφημίου καὶ Μακεδονίου τῶν Νεστοριανῶν συναινέσαι οὐ κατεδέξατο· ὅτι ὑπέρμαχος τυγχάνει τῆς ἐν Χαλκηδόνι συνόδου, καὶ ὅλης τῆς Νεστορίου αἱρέσεως. ὅθεν καὶ [ἐκεῖνον ὡς ὁρᾷς] θεσπίζομεν τῆς ἐπισκοπῆς ἐκβληθῆναι, καὶ ἄνθρωπον ὀρθόδοξον καὶ τοῦ ἁγίου ἐκείνου καὶ C ἀποστολικοῦ θρόνου ἄξιον προχειρισθῆναι· ἵνα μὴ οἱ σεβάσμιοι ἐκεῖνοι καὶ θεοδόχοι τόποι τοῖς Νεστορίου δόγμασι καταμιαίνωνται. καὶ ταῦτα μὲν ὁ βασιλεύς. ὁ δὲ ἐν ἁγίοις πατὴρ ἡμῶν Σάβας ἀπεκρίθη λέγων· πληροφορείσθω ἡ ὑμετέρα γαληνότης, ὅτιπερ ὁ τῆς ἡμετέρας ἁγίας τοῦ θεοῦ πόλεως ἀρχιεπίσκοπος, ὑπὸ τῶν ἀρχαίων φωστήρων καὶ σημειοφόρων πατέρων τῶν καθ' ἡμᾶς

doctrina anathemate Catholico & universali percutienda jam esset à Synodo quæ nunc Sidone congregata est, ipse solus prohibuit, re unà cum Flaviano Anthiocheno composità; atque ut arbitratus est, nostrum imperium ludificavit, in Epistolis nobis ad verbum ita locutus; Omnem Hæresim quæ adversùs rectam fidem novi quidpiam inducit rejicimus, nec admittimus etiam quæ Chalcedone gesta sunt, propter scandala inde exorta: & ut censuit nos hocce sermone decepit, qui sanximus Synodum negotio infecto dirimi. Verùm non latuis nos, neque nunc, neque priùs, quando decretis per quæ Euphemius & Macedonius Nestoriani depositi sunt, assentiri recusavit; quòd Chalcedonensis Concilii totiusque Nestorianæ Hæreseos propugnator sit. Quocirca eum, uti vides, decernimus Episcopatu expelli, hominemque Orthodoxum sanctaque illa & Apostolica sede dignum promoveri; ne venerabilia illa quæque Deum susceperunt loca, dogmatibus Nestorii inquinentur. Atque hæc Imperator. Sanctus verò pater noster Sabas in hæc verba respondit; Plenè sibi persuadeat serenitas vestra, Archiepiscopum sanctæ nostræ Dei civitatis, qui ab antiquis luminaribus & miraculorum editoribus patribus deserti

nostri in doctrina pietatis eruditus fuerit, ex æquo rejicere, tum Nestorii divisionem, tum Eutychis confusionem, atque medium Orthodoxæ fidei iter ingrediendo, neque in dexte-
Deut. v. 32. ram neque in sinistram, ut cum Scriptura loquar, declinare sustinere. Hunc quippe scimus divina sancti Cyrilli Alexandriæ Archiepiscopi dogmata spirare, iisque adversatos vel adversantes anathemate percutere. Obsecramus igitur vestram serenitatem, ut sancta Hierosolymorum civitas in
1. Tim. iii. 16. qua magnum pietatis manifestatum est sacramentum, imperturbata servetur, immoto manente apud nos pontificatu sive cœtu pontificum. Tum Imperator post consideratam senis sanctitatem & simplicitatem atque constitutionem, dixit; Re verâ, Calogere, præclarè per divinam Scripturam
Prov. x. 9. dictum est; *Qui ambulat simpliciter, ambulat fidens.* Verùm ora pro nobis, & abjice curam, quia nihil adversùs Archiepiscopum vestrum ob sanctitatem tuam, sancimus, teque hinc cum omni dimittimus cultu.

LIII. Ita egressus ab Imperatore senex, ad Augustam Ariadnam introiit; eamque post benedictionem impertitam hortatus est ut fidem sancti patris ipsius Leonis magni Imperatoris tuendam susciperet. At illa dicit ei; Bene

A ἐρήμου τὰ τῆς εὐσεβείας δόγματα παιδευθεὶς, ἐξ ἴσου ἀποβάλλεται τήν τε Νεστορίου διαίρεσιν, καὶ τὴν σύγχυσιν Εὐτυχοῦς, καὶ τῆς ὀρθοδόξου [πίστεως] μέσην βαδίζων ὁδὸν, οὔτε εἰς δεξιὰ, οὔτε εἰς ἀριστερὰ, γραφικῶς εἰπεῖν, ἐκκλῖναι ἀνέχεται. τοῦτον γὰρ ἴσμεν τὰ τοῦ ἐν ἁγίοις Κυρίλλου τοῦ ἀρχιεπισκόπου Ἀλεξανδρείας θεῖα δόγματα πνέοντα, καὶ τοὺς ἐναντιωθέντας, ἢ ἐναντιουμένους τοῖς ἐκείνου δόγμασιν ἀνα-
B θεματίζοντα. δυσωποῦμεν τοίνυν τὴν ὑμετέραν γαληνότητα, ἀτάραχον διαφυλαχθῆναι τὴν ἁγίαν πόλιν Ἱερουσαλὴμ, ἐν ᾗ τὸ μέγα τῆς εὐσεβείας ἐφανερώθη μυστήριον, ἀκινήτου μενούσης τῆς καθ' ἡμᾶς ἱεραρχίας. καὶ ὁ βασιλεὺς κατανοήσας τὴν τοῦ πρεσβύτου ἁγιωσύνην τε καὶ ἁπλότητα καὶ [κατάστασ]ιν, εἶπεν· ὄντως καλόγηρε καλῶς εἴρηται τῇ θείᾳ γραφῇ, ὅτι ὁ πορευόμενος ἁπλῶς, πορεύεται πεποιθώς. ἀλλ'
C εὖξαι ἡμῖν, καὶ ἀμερίμνησον, ὅτι οὐδὲν κατὰ τοῦ ἀρχιεπισκόπου ὑμῶν θεματίζομεν, διὰ τὴν σὴν ἁγιωσύνην, καὶ μετὰ πάσης θεραπείας ἀπολυόμεν σε ἐντεῦθεν.

ιγ'. Οὕτως ἐξελθὼν ἀπὸ τοῦ βασιλέως ὁ πρεσβύτης, εἰσῆλθε πρὸς τὴν Αὐγοῦσταν Ἀριάδνην· καὶ εὐλογήσας αὐτὴν παρεκάλει ἀντιλαβέσθαι τῆς τοῦ ἐν ἁγίοις αὐτῆς πατρὸς Λέοντος τοῦ μεγάλου βασιλέως πίστεως. καὶ λέγει αὐτῷ ἐκείνη· καλῶς

λέγεις καλόγηρε, ἐὰν ἔστιν ὁ ἀκούων. A καὶ οὕτως ἐξελθὼν ἀπ' αὐτοῦ, τοὺς πολιτικοὺς φεύγων θορύβους, [ἔξεισι] τῆς πόλεως, καὶ ἔμεινεν εἰς τὸ προάστιον Ῥουφίνου τὸ κατὰ Δημόστρατον. ἡ δὲ πατρικία Ἰουλιάνα ἡ Οὐαλεντινιανοῦ τοῦ βασιλέως * ἐγγόνη, καὶ Ἀναστασία ἡ τοῦ πατρικίου Πομπηίου ὁμόζυγος, ἡ ἐπὶ τοῦ παρόντος ἐν τῷ ὄρει τῶν ἐλαιῶν τοῖς μοναχικοῖς κατορθώμασι διαλάμπουσα, ἐξήρχοντο πρὸς αὐτὸν πυκνότερον ἔνθα κατέμενε, προσκυνῆσαι αὐτὸν, καὶ τῆς θείας διδασκαλίας B αὐτοῦ ἀπολαῦσαι. ἦσαν γὰρ λίαν πιστόταται, ἔν τε τῇ ὀρθοδοξίᾳ καὶ ταῖς ἄλλαις ἀρεταῖς διαπρέπουσαι.

νδ'. Μεθ' ἡμέρας δὲ ὀλίγας πάλιν μεταπεμφθεὶς, εἰσῆλθεν πρὸς τὸν βασιλέα· [καὶ γενόμενος ἐντὸς] περὶ τῆς ἁγίας πόλεως παρεκάλει λέγων· πᾶσα ἡ τῶν Ῥωμαίων πολιτεία τῇ ὑμετέρᾳ εὐχαριστεῖ γαληνότητι, ἐλευθερωθεῖσα ἤδη πρὸ δεκατριῶν τούτων χρόνων τῆς ἀδι- C κωτάτης τοῦ χρυσαργύρου συντελείας. καὶ νῦν δυσωποῦμεν ὑμᾶς κουφίσαι τὴν ἐπιτεθεῖσαν περισσοπρακτίαν τῇ τε ἁγίᾳ ἀναστάσει, καὶ τοῖς τῆς ἁγίας πόλεως κτήτορσιν ἐκ τῶν ἀπόρων καὶ δυσπράκτων προσώπων. τίς δὲ ἡ αἰτία γέγονε τῆς τοιαύτης περισσοπρακτίας ἐρῶ. οἱ κατὰ καιρὸν πρακτῆρες καὶ βίνδικες τῶν κατὰ Παλαιστίνην δημοσίων, ἑκατὸν χρυσίου λίτρας, ἐξ ἀπόρων προσώπων καὶ

A mones, bone senex, si esset qui audiret. Sicque ab ea egressus, urbanos fugiens tumultus, exiit à civitate, mansitque in suburbio Rufini ad Demostratum. Patricia autem Juliana Valentiniani Imperatoris neptis, & Anastasia patricii Pompeii conjux, quæ ad præsens tempus in monte Oliveti, monachalibus refulget virtutibus, ad ipsum frequentiùs ubi manebat veniebant, ut salutarent eum, ejusque divi- B na doctrina fruerentur. Erant enim fidei addictissimæ, Orthodoxiâ aliisque virtutibus ornatæ.

* Metaphr. ἔκγονος

LIV. Post aliquot verò dies, iterum arcessitus, ad Imperatorem perrexit; admissusque, orabat pro sancta civitate, his verbis; Universa Romanorum Respublica vestræ serenitati gratias agit, quòd jam ante tredecim hosce annos ab iniquissimo Chrysargyri vectigali liberata fuerit. Et nunc obsecramus vos, ut impositam sanctæ Resurrectioni sanctæque civitatis possessoribus civibusque, ob inopes ac re malè gestâ solvere non valentes personas, residui exactionem tollatis. Quænam verò caussa extiterit hujuscemodi exactionis residuorum dicam. Qui pro tempore exactores seu tractatores & vindices fuerunt publicorum Palæstinæ tributorum, cùm auri centum libras, quæ à personis egenis &

inefficacibus pendi peragique A non poterant, repeterentur, coacti sunt pensitationem in tributarios Hierosolymitanos rejicere, pro cujusque facultate. Ergo illis centum auri libris, quo modo dictum est, distributis, ad superexactionem sancta Resurrectio, & reliqui venerabiles loci, eorumque habitatores descripti sunt. Hanc igitur onerosam reliquationem tolli postulabat magnus senex. Imperator autem petitioni cessit, reveritus B senis sanctitatem, Zoticumque præfectum prætorio advocavit, ac jussit prædictam reliquiarum coactionem è Palæstinæ scrinio auferri, eamque indulgentiam & concessionem sanctæ civitati donari. His ita decretis, Marinus quidam vir injustissimus, qui ex permissione Dei publicorum negotiorum administrationem tenebat, & Imperatoris instabilem animum pro libito suo agebat ferebatque, agnitâ Imperato- C ris circa remissionem sententiâ, illico adveniens, non sivit ut constitutio de hujusmodi munere promulgaretur, sanctæ civitatis incolas Nestorianos & Judæos appellando, gratiaque Imperatoria indignos. Tunc sanctus pater noster Sabas, verè repletus Spiritu sancto, dixit ad Marinum; Desine bonum Imperatoris dissipare consilium; absiste bello adversùs sanctas Dei Eccle-

A δυσπεράκτων ἀνυσθῆναι μὴ δυναμένας εἰσπραττόμενοι, ἠναγκάσθησαν ἐπιῤῥίψαι τὴν τούτων εἴσπραξιν τοῖς κατὰ Ἱεροσόλυμα συντελεσταῖς κατὰ ἀναλογίαν τῆς ἑκάστου δυνάμεως. τῶν τοίνυν ἑκατὸν τῶν χρυσίου λιτρῶν, καθ' ὃν εἴρηται τρόπον διαμερισθέντων, περισσοπρακτίαν ἀπεγράφησαν, ἥ τε ἁγία ἀνάστασις, καὶ οἱ λοιποὶ σεβάσμιοι τόποι καὶ οἰκήτορες. ταύτην οὖν τὴν περισσοπρακτίαν παρεκάλει ὁ μέγας πρεσβύτης κουφισθῆναι. ὁ δὲ βασι- B λεὺς τῇ παρακλήσει εἴξας, αἰδεσθεὶς τοῦ πρεσβύτου τὴν ἁγιό[τητα, μετε-]πέμψατο τὸν ἔπαρχον τῶν πραιτωρίων Ζωτικὸν, καὶ ἐκέλευσε κουφισθῆναι τὴν εἰρημένην περισσοπρακτίαν ἐκ τοῦ κατὰ Παλαιστίνην σκρινίου, καὶ ταύτην τὴν συγχώρησιν τῇ ἁγίᾳ πόλει φιλοτιμεῖσθαι. τούτων οὕτως δοξάντων, Μαρῖνός τις ἀδικώτατος, καὶ ἐκ συγχωρήσεως θεοῦ τὴν τῆς πολιτείας πραγμάτων κρατῶν, καὶ κατὰ τὸ δοκοῦν αὐτῷ ἄγων καὶ φέρων τὴν τοῦ βασιλέως εὐέμπι- C στον γνώμην, γνοὺς τὰ τῷ βασιλεῖ περὶ τῆς συγχωρήσεως δόξαντα, παραυτίκα εἰσελθὼν, οὐ συνεχώρησε τὴν περὶ τῆς τοιαύτης συγχωρήσεως διάταξιν προε[λθεῖν,] Νεστοριανοὺς τοὺς κατὰ τὴν ἁγίαν πόλιν ἀποκαλῶν καὶ Ἰουδαίους, καὶ τῶν βασιλικῶν δωρεῶν ἀναξίους. τότε ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν Σάβας πλησθεὶς ὡς ἀληθῶς πνεύματος ἁγίου, εἶπεν πρὸς Μαρῖνον· παῦσαι διασκεδάζων τὴν ἀγαθὴν τοῦ βασιλέως βουλήν· παῦσαι τὸν κατὰ τῶν ἁγίων τοῦ θεοῦ ἐκκλησιῶν

σιῶν πολέμου· παῦσαι τῆς φιλοχρη- A ματίας καὶ πονηρίας, καὶ ἀσφάλισαι σεαυτόν. εἰ δὲ ἐμοῦ παρακούσῃς, οὐ μετὰ πολὺν χρόνον πανέχθιστα κακὰ σεαυτῷ μὲν προξενεῖς, τῷ δὲ κράτει αὐτοῦ οὐ μικρὸν ἐπαγάγῃς κίνδυνον [καὶ βασιλείᾳ π] δώσῃ· καὶ πάντων μὲν γυμνωθήσῃ ἐν μιᾷ καιροῦ ῥοπῇ· ὁ δὲ οἶκός σου πυρίκαυστος γενήσεται. ταῦτα ὁ ἅγιος γέρων ἐπὶ τοῦ βασιλέως πρὸς Μαρῖνον εἰρηκὼς, μετὰ συνέσεως καὶ ἁπλουστάτης ἕξεως, B παρεκάλει ἐπὶ Παλαιστίνην ἀπολυθῆναι· καὶ λαβὼν ἀπὸ χειρὸς τοῦ βασιλέως ἄλλα χίλια νομίσματα, καὶ συνταξάμενος κατέπλευσεν ἐπὶ τὴν Παλαιστίνην περὶ τὸν Μάϊον μῆνα τῆς πέμπτης Ἰνδικτιόνος. καὶ οὕτως ἐκωλύθη ἐπὶ Ἀναστασίου ἡ ἐκ τῶν ἀπόρων περισσοπρακτία συγχωρηθῆναι. πλὴν ὅτι μέρος μὲν αὐτῆς συνεχωρήθη ἐπὶ τοῦ εὐσεβῶς βασιλεύσαντος Ἰουστίνου, ἀναφορᾶς γενομένης ὑπό τε τοῦ πατρὸς ἡμῶν C Σάβα καὶ τῶν λοιπῶν τῆς ἐρήμου ἡγουμένων. τοῦ δὲ λοιποῦ αὐτῆς τελεία συγχώρησις γέγονεν ἐπὶ τῆς παρούσης θεοφυλάκτου βασιλείας Ἰουστινιανοῦ, διὰ τῆς τοῦ πάπα Εὐσεβίου μεσιτείας. καὶ τοῦτο μὲν ὕστερον. ἡ δὲ πρὸς Μαρῖνον ῥηθεῖσα τοῦ θείου πρεσβύτου προφητεία οὐ διήμαρτεν. ὀλίγων γὰρ μηνῶν διελθόντων, γέγονεν ἐν τῇ τοῦ δήμου στάσει ὁ οἶκος Μαρίνου πυρίκαυστος· καὶ τὰ λεχθέντα πάντα ὑπὸ τοῦ ἁγίου, ἐπληρώθη.

sias; cessa ab avaritia & nequitia, tibique caveto. Quòd si mihi non auscultaveris, molestissima mala tum tibi non multum post tempus conciliabis, tum potentiæ ipsius, totique imperio non parvum induces periculum; atque omnibus quidem uno temporis momento nudaberis, domus verò tua igni succendetur. Hæc sanctus senex postquam coram Imperatore dixisset Marino, cum perspicientia & simplicissimo habitu, rogavit ut in Palæstinam dimitteretur. Acceptisque de manu Imperatoris aliis mille nummis, valedixit, & ad Palæstinam enavigavit, mense Maio quintæ Indictionis. Eumque in modum prohibita est sub Anastasio indulgentia repetitionis residui ex inopibus. Cæterùm pars ejus exactionis tempore pii Imperatoris Justini indulta est, ob relationem factam per patrem nostrum Sabam cæterosque Eremi Hegumenos; reliquæ verò partis absoluta largitio in præsenti Justiniani per Deum conservato imperio, ex Papæ Eusebii intercessione, concessa est. Et id quidem postea. Divini verò senis prædictio quæ ad Marinum prolata est non aberravit à veritate. Paucis enim elapsis mensibus, Marini domus in populi seditione igni ambusta fuit; cunctaque quæ sanctus dixerat, peracta sunt.

A Hæc autem mihi narravit, ut à Pompeio marito suo & Imperatoris ex sorore nepote auditu acceperat, Amma seu mater Anastasia, quæ in monte Olivarum Monachalem honestat habitum, cunctisque gratiæ donis refulget.

LV. Itaque pater noster Sabas, magnam auri copiam ex Byzantio in Mutalascam vicum suum misit, ut sua ex parentibus domus in Ecclesiam sanctorum Martyrum Cosmæ & Damiani ædificaretur. Quod B & factum est. Mamam verò quemdam Monachorum Aposchistarum circa Eleutheropolim Archimandritam, qui unà cum Severo Acephalorum principe Constantinopolim adversùs fidem Orthodoxam profectus fuerat, multamque apud Imperatorem libertatem & fiduciam obtinuerat, tandem verò cum eodem Severo acerbè contenderat, secum Hierosolymam adductum, pater noster Sabas hortabatur ut ab C errore Acephalorum resiliret, & Catholicæ Ecclesiæ communicaret; atque multis hujusmodi adhibitis exhortationibus, ad Patriarcham Eliam adducens eum; effecit ut admitteret Synodum Chalcedonensem, & communionem Ecclesiæ Catholicæ amplecteretur, Eutychem ac Dioscorum anathemate percuteret, multosque suo exemplo ad idem faciendum perduceret; quod

A ταῦτα δέ μοι διηγήσατο ἡ Ἀμμᾶ Ἀναστασία ἡ ἐν τῷ ὄρει τῶν ἐλαιῶν, τὸ μοναχικὸν σεμνύνουσα σχῆμα, [καὶ παντοίοις] χαρίσμασι διαλάμπουσα, παρὰ Πομπηίου τοῦ ἑαυτῆς ὁμοζύγου, τοῦ δὲ βασιλέως ἀνεψιοῦ ἀκούσασα.

νε΄. Ὁ τοίνυν πατὴρ ἡμῶν Σάβας, πολλὴν μὲν χρυσίου ποσότητα ἀπέστειλεν ἀπὸ τοῦ Βυζαντίου εἰς Μουταλάσκην τὴν ἰδίαν κώμην, πρὸς τὸ κτισθῆναι τὸν γονικὸν αὐτοῦ οἶκον ἐκ-
B κλησίαν τῶν ἁγίων μαρτύρων Κοσμᾶ καὶ Δαμιανοῦ. ὅπερ καὶ γέγονε. Μάμαν δέ τινα ἀρχιμανδρίτην τῶν περὶ Ἐλευθερόπολιν ἀποσχιστῶν μοναχῶν, τὸν μετὰ Σευήρου τινὸς ἐξάρχου τῶν Ἀκεφάλων ἀνελθόντα ἐν Κωνσταντινουπόλει κατὰ τῆς ὀρθοδόξου πίστεως, καὶ πολλῆς παρὰ τῷ βασιλεῖ παρρησίας μετασχόντα, καὶ [τῷ αὐτῷ] Σευήρῳ ἔσχατον πικρῶς διενεχθέντα, κατενέγκας μεθ' ἑαυτοῦ ὁ πατὴρ ἡμῶν Σάβας εἰς Ἱε-
C ροσόλυμα, παρεκάλει ἀποστῆναι τῆς τῶν Ἀκεφάλων ἑτεροδοξίας, καὶ τῇ καθολικῇ κοινωνῆσαι ἐκκλησίᾳ· καὶ πολλαῖς τοιαύταις χρησάμενος προτροπαῖς, προσαγαγὼν αὐτὸν τῷ πατριάρχῃ Ἡλίᾳ, δέξασθαι τὴν ἐν Χαλκηδόνι σύνοδον, καὶ κοινωνῆσαι τῇ καθολικῇ ἐκκλησίᾳ παρεσκεύασε, τὸν Εὐτυχῆ καὶ Διόσκορον ἀναθεματίσαντα, καὶ πολλοὺς εἰς τοῦτο καθοδηγήσαντα διὰ τοῦ καθ' ἑαυτὸν ὑποδείγματος· ὅπερ

A οὐ μικρῶς τὸν βασιλέα Ἀναστάσιον κατὰ τοῦ πατριάρχου Ἠλία διετάραξε. [διένειμε δὲ ὁ θεῖος] πρεσβύτης τὸ κατενεχθὲν μετ' αὐτοῦ ἀπὸ τοῦ Βυζαντίου χρυσίον τοῖς ὑπ' αὐτὸν μοναστηρίοις. τῶν δὲ μετ' αὐτοῦ ὄντων ἐν τῷ Βυζαντίῳ μαθητῶν αὐτοῦ σφόδρα λυπηθέντων διὰ τὴν τοῦ χρυσίου διανομὴν, ἔλεγεν αὐτοῖς· ἡμεῖς μὲν σωματικῶς ἐκοπιάσαμεν, οὗτοι δὲ πνευματικῶς ὑπὲρ ἡμῶν ἠγωνίσαντο, καὶ διὰ τῶν εὐχῶν αὐτῶν ἔσωσεν ἡμᾶς ὁ θεός. τοῦτο δὲ ὡς οἶμαι πεποίηκε, τῷ τοῦ B Δαβὶδ ἑπόμενος ὑποδείγματι, ὃς ἰσομοιρίαν ἀπένειμε, τοῖς τε ἐν πολέμῳ κοπιάσασι, καὶ τοῖς τὸ στρατόπεδον διαφυλάξασιν.

νϛʹ. Ἀλλὰ καλεῖ με λοιπὸν ὁ καιρὸς, τοῖς ἰδικοῖς τοῦ θείου πρεσβύτου κατορθώμασί τε καὶ ἀγωνίσμασι τοὺς γενικοὺς περὶ πίστεως ἀγῶνας αὐτοῦ τε καὶ τῶν σὺν αὐτῷ κατὰ τὴν ἔρημον ταύτην διαπρεψάντων ἐπισυνάψαι. Φλαβιανοῦ τοίνυν καὶ Ἠλία τῶν πατριαρχῶν ὡς εἴρηται ἐν * Σιδῶνι γεγονότων, C καὶ γράμμασι κολακευτικοῖς τε καὶ οἰκονομικοῖς πρὸς τὸν βασιλέα χρησαμένων, καὶ τὴν ἐν Σιδῶνι κατὰ τῆς ὀρθῆς πίστεως συναθροιζομένην σύνοδον * διαλυσάντων, καὶ εἰς τοὺς οἰκείους θρόνους ἐπανελθόντων, ἀγανακτήσαντες οἱ περὶ Σωτήριχον καὶ Φιλόξενον, εἰς ὀργὴν ἄσχετον ἐκίνησαν τὸν βασιλέα, ὡς ἀπατηθέντα ὑπὸ τῆς τῶν πατριαρχῶν πανουργίας καὶ παραποιήσεως. καὶ λαβόντες τὴν

non mediocriter Imperatorem Anastasium in Patriarcham Eliam concitavit. Porrò divinus senex delatum secum ex Byzantio aurum in Monasteria sua dispertitus est. Cúmque discipuli ejus qui simul Byzantium venerant vehementer de distributione auri contristarentur; dixit illis; Nos quidem corpore laboravimus; isti verò spiritu pro nobis decertarunt, ac per eorum preces servavit nos Deus. Hoc autem, ut equidem puto, fecit, Davidis secutus exemplum, qui æqualem partem tribuit, tum iis qui in prælio laboraverant, tum iis qui servaverant castra.

1. Reg. xxx. 24.

LVI. Sed jam me vocat tempus ad hoc ut propriis divini senis rectè factis & certaminibus, universales cùm ipsius tum aliorum pariter in hac solitudine insignium decertationes subnectam. Itaque cùm Flavianus & Elias Patriarchæ, sicut dictum est, Sidonem venissent, litterasque blandas ac dispensatorias ad Imperatorem misissent, Synodumque Sidoniam quæ contra rectam fidem congregata fuerat dissoluissent, atque ad proprias sedes essent reversi; indignati Sotericus & Philoxenus, ad effrenem iram concitaverunt Imperatorem, quasi per Patriarcharum astutiam, fraudem & simulationem deceptus fuisset. Unde acceptâ

* Al. Σιδῶνι ὁ infra

* Al. καταλυσάντων

quam volebant poteſtate, multum auri Antiochenæ plebi tribuendo, variis modis Flavianum affligentes, & quodammodo ſuffocantes, cogenteſque Chalcedonenſem Synodum anathemate ferire, eum ab Epiſcopatu expulſum exſilio damnarunt. Quo comperto Imperator, lætitiâ affectus, Severum Acephalorum principem in Epiſcopum Antiochiæ miſit; qui Severus arrepto Patriarchatu, multa quidem mala iis qui nollent cum eo B communicare intulit; miſſis verò Synodicis ad Archiepiſcopum Eliam, nec admiſſus in communionem, ad iram commovet Imperatorem; iterumque eaſdem Synodicas ſuas menſe Maio ſextæ Indictionis mittit Hieroſolymam, cum quibuſdam Clericis & Imperatoriis copiis. Eaque re cognita ſanctus pater noſter Sabas in ſanctam civitatem aſcendens unà cum aliis Eremi Hegumenis, tum eos qui C venerant cum Synodicis Severi, à ſacra civitate expulit; tum multitudine Monachorum undique collectâ, ante ſanctam Caluariam cum Hieroſolymitis clamabant, dicentes; Anathema Severo, iiſque qui cum eo communicant; cùm præſentes adhuc eſſent ac audirent magiſtriani, duces atque milites quos miſerat Imperator. Hic enim Severus gravi arrogantia correptus, & Imperatoria

A ἤθελον ἐξουσίαν, καὶ χρυσίον ἱκανὸν τῷ Ἀντιοχείας δήμῳ * διαδώσαντες, * πολυτρόπως θλίψαντες τὸν Φλαβιανὸν, καὶ τρόπον τινὰ ἀποπνίξαντες, καὶ καταναγκάσαντες τὴν ἐν Χαλκηδόνι ἀναθεματίσαι σύνοδον, οὕτως αὐτὸν τῆς ἐπισκοπῆς ἐξεώσαντες, ὑπερορίᾳ κατεδίκασαν. καὶ γνοὺς ὁ βασιλεὺς, καὶ περιχαρὴς * γεγονὼς, * Σευῆρον τὸν τῶν Ἀκεφάλων ἔξαρχον, ἐπίσκοπον Ἀντιοχείας ἀπέστειλεν· ὅστις Σευῆρος * τῆς πατριαρχίας δραξάμενος, B πολλὰ μὲν δεινὰ τοῖς μὴ κοινωνοῦσιν αὐτῷ * ἀπεδείκνυτο· * ἀποστείλας δὲ τὰ ἑαυτοῦ συνοδικὰ τῷ ἀρχιεπισκόπῳ Ἠλίᾳ, καὶ μὴ δεχθεὶς, κινεῖ εἰς ὀργὴν τὸν βασιλέα· καὶ πάλιν ἀποστέλλει τὰ * αὐτοῦ * συνοδικὰ τῷ Μαΐῳ μηνὶ τῆς ἕκτης * ἰνδικτιῶνος, μετὰ τινῶν κληρικῶν καὶ δυνάμεως βασιλικῆς. καὶ τοῦτο γνοὺς ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν * Σάβας, ἀνελθὼν ἐν τῇ ἁγίᾳ πόλει μετὰ τῶν ἄλλων ἡγουμένων τῆς ἐρήμου, τοὺς C μὲν ἐλθόντας μετὰ τῶν συνοδικῶν Σευήρου, τῆς ἁγίας ἀπεδίωξε πόλεως· τὸ δὲ πλῆθος τῶν μοναχῶν πάντοθεν * ἐπισυνάξαντες ἔμπροσθεν τοῦ ἁγίου κρανίου μετὰ τῶν Ἱεροσολυμιτῶν ἔκραζον λέγοντες· ἀνάθεμα Σευήρῳ καὶ τοῖς κοινωνοῦσιν αὐτῷ· παρόντων ἔτι καὶ ἀκουόντων τῶν τε μαγιστριανῶν, καὶ ἀρχόντων, καὶ στρατιωτῶν ὑπὸ τοῦ βασιλέως ἀποσταλέντων. οὗτος γὰρ ὁ Σευῆρος ἀλαζονείᾳ δεινῇ κρατηθεὶς, καὶ βασιλικῇ

* Al. διαδιδόντες
* Al. inser. καὶ
* Al. γενόμενος
* Al. Σεβῆρον & infra.
* Al. ἢ τῆς πατριαρχίας δραξάμενος
* Al. ἐπεδ
* Al. ἀποστέλλει
* Al. συνοδικὰ αὐτοῦ εἰς Ἱεροσόλυμα
* Al. ἰνδικτιῶνος
* Al. Σάββας & infra.
* Al. συνάξας

δυναστείᾳ ἐπερειδόμενος, τὴν ἐν Χαλκηδόνι σύνοδον μυρίοις * καθυπέβαλεν ἀναθέμασι, καὶ τὴν Εὐτυχοῦς ἑτεροδοξίαν κρατῦναι φιλονεικῶν, μίαν τοῦ δεσπότου Χριστοῦ μετὰ τὴν ἐκ παρθένου σάρκωσιν * ἐκήρυττε φθαρτὴν φύσιν· καὶ φιλοτάραχος ὤν, πολλὰς καινοτομίας ἀνεπλάσατο κατὰ τῶν ὀρθῶν τῆς ἐκκλησίας δογμάτων τε καὶ θεσμῶν. τὴν γὰρ ἀσεβεστάτην τε καὶ λῃστρικωτάτην ἐν Ἐφέσῳ δευτέραν σύνοδον ἀποδέχεται, καὶ ὁμοίαν εἶναι ταύτην λέγει τῇ προτέρᾳ ἐν τῇ αὐτῇ Ἐφέσῳ συνελθούσῃ, καὶ ἴσους ἐν διδασκάλοις ἀποφαίνεται, Κύριλλόν τε τὸν θεοφόρον τῶν Ἀλεξανδρέων * ἐπίσκοπον, καὶ Διόσκορον, τὸν εἰς κοινωνίαν δεξάμενον Εὐτυχῆ τὸν αἱρετικὸν ὡς ὁμόφρονα, καὶ τὸν ἁγιώτατον καὶ ὀρθοδοξότατον Φλαβιανὸν τὸν τῆς βασιλίδος πόλεως ἀρχιεπίσκοπον καθελόντα καὶ κατακτείναντα· καὶ * οὕτως τῇ ἀσεβείᾳ προκόπτων ὁ αὐτὸς Σεβῆρος ἠκόνησεν εἰς βλασφημίαν θεοῦ τὴν ἑαυτοῦ γλῶσσαν· καὶ διεῖλεν ἐν τοῖς ἑαυτοῦ λόγοις τὴν ἐν τριάδι μίαν καὶ ἀδιαίρετον θεότητα. λέγων γὰρ καὶ διαβεβαιούμενος εἶναι τὴν ὑπόστασιν φύσιν, καὶ τὴν φύσιν ὑπόστασιν, καὶ μηδεμίαν διαφορὰν ἐν τούτοις γινώσκων τοῖς ὀνόμασι, τὴν ἁγίαν καὶ προσκυνητὴν καὶ ὁμοούσιον τριάδα τῶν θείων ὑποστάσεων, τριάδα φύσεων καὶ θεοτήτων καὶ θεῶν

A potentia fultus, Chalcedonensem Synodum innumeris subjecit anathematibus; & dum Eutychis falsam sententiam confirmare contendit, unam Christi Domini, postquam carnem ex Virgine sumpsit, naturam corruptibilem prædicabat. Ad hæc turbarum studiosus, multa nova adversùs recta Ecclesiæ dogmata decretaque commentus est. Impiissimam quippe latrocinioque maximam Synodum secundam B Ephesinam recipit, paremque affirmat priori quæ Ephesi etiam congregata fuit, tum æquales in doctoribus esse affirmat Deiferum seu divinum Cyrillum Alexandrinorum Episcopum, ac Dioscorum, qui ad communionem admisit Eutychem Hæreticum, ut ejusdem secum sententiæ, necnon sanctissimum maximéque Orthodoxum Flavianum regiæ urbis Archiepiscopum deposuit ac C interemit: atque ita impietate progressus idem Severus, in blasphemiam Dei exacuit linguam suam; & in suis sermonibus ac libris unam indivisamque in Trinitate divinitatem divisit. Nam aiens & affirmans esse hypostasim naturam, naturam hypostasim, nullamque differentiam in his nominibus agnoscens, sanctam, adornandam, & consubstantialem divinarum hypostaseon Trinitatem, naturarum, divinitatum, ac Deorum Trinitatem

* Al. καθυπέβαλλε
* Al. inser. τε καὶ ἐκαρθεάτισεν
* Al. ἀρχιεπίσκοπον
* Al. οὕτω

dicere ausus est. Ut ergo hujusmodi animarum corruptorem hominemque perniciosum Archiepiscopus Elias ad communionem suam admitteret cogebat Imperator. Illo verò nequaquam hoc facere volente, ira exardescens Imperator, Olympium quemdam Cæsariensem, qui ducatum Palæstinæ tenebat, misit, simul Epistolam illam dispensatoriam mittens, quæ ex Sidone scripta fuerat, quæque profitebatur non admittendam esse Synodum Chalcedonensem; ut omni modo Eliam ab Episcopatu dejiceret. Qui Olympius cum Imperatoris militibus advenit, multisque modis, artibus & machinis usus, Eliam quidem ab Episcopatu expulit, & in Ailam relegavit; Johannem verò Marciani filium, qui sponderet, tum Severum in communicatorem admittere, tum Synodum Chalcedonensem anathematizare, Episcopum Hierosolymorum fecit, tertio Septembris mensis, initio undecimæ Indictionis. Postquam autem cognovit sanctus Sabas unà cum reliquis deserti patribus, hæc Johannem pactum fuisse, collecti contestati sunt eum, ne Severum ad communionem reciperet, sed potiùs pro Synodo Chalcedonensi adiret periculum, ut qui cunctos se socios & auxiliatores haberet. Sicque Johannes quæ duci facturum

A λέγειν τετόλμηκε. τὸν τοιοῦτον τοίνυν ψυχοφθόρον καὶ λυμεῶνα ὁ βασιλεὺς Ἀναστάσιος * ἠνάγκαζε τὸν ἀρχιεπίσκοπον Ἠλίαν κοινωνικὸν εἰσδέξασθαι. τοῦ δὲ μηδόλως τοῦτο πρᾶξαι καταδεξαμένου, ὑπερζέσας τῷ θυμῷ ὁ βασιλεὺς, ἀπέστειλεν Ὀλύμπιόν τινα Καισαρέα, τὸ δουκάτον ἔχοντα Παλαιστίνης, συναποστείλας αὐτῷ τὴν ἀπὸ * Σιδῶνος γραφεῖσαν οἰκονομικὴν ἐπιστολὴν, B καθομολογοῦσαν μὴ προσίεσθαι τὴν ἐν Χαλκηδόνι σύνοδον· πρὸς τὸ πᾶσι τρόποις τὸν Ἠλίαν τῆς ἐπισκοπῆς ἐξεῶσαι. ὅστις Ὀλύμπιος μετὰ δυνάμεως βασιλικῆς παραγενόμενος, καὶ πολλοῖς τρόποις καὶ μηχανήμασι χρησάμενος, Ἠλίαν μὲν τῆς ἐπισκοπῆς ἐξέωσε, καὶ εἰς τὸν Ἀΐλαν παρώρισεν· Ἰωάννην δὲ τὸν Μαρκιανοῦ υἱὸν συνθέμενον, τόν τε Σευῆρον κοινωνικὸν εἰσδέξασθαι, C καὶ τὴν σύνοδον Χαλκηδόνος ἀναθεματίσαι, ἐπίσκοπον Ἱεροσολύμων πεποίηκε *. γνοὺς δὲ ὁ * ἡγιασμένος Σάβας, καὶ οἱ λοιποὶ τῆς ἐρήμου πατέρες, ταῦτα συνθέμενον τὸν Ἰωάννην, συναχθέντες διεμαρτύραντο * αὐτὸν Σευῆρον εἰς κοινωνίαν μὴ δέξασθαι, ἀλλ᾽ ὑπὲρ τῆς ἐν Χαλκηδόνι συνόδου προκινδυνεύειν, ἔχοντα πάντας συμμαχοῦντας. καὶ οὕτως ὁ Ἰωάννης ὅσα ὑπέσχετο τῷ δουκὶ

* Al. ἠνάγκασε

* Al. Σιδῶνος

* Add. al. τῇ τρίτῃ τοῦ Σεπτεμβρίου μηνὸς, ἀρχῇ τῆς ἐνδικτιῶνος ἑνδεκάτης

* Al. inser. τε

* Al. αὐτῷ

A ποιεῖν παρέβη, τοὺς πατέρας ὑφορώμενος. Ἀναστάσιος δὲ ὁ βασιλεὺς γνοὺς τὸν Ἰωάννην τὰς συνθήκας ἠθετηκότα, καὶ ἀπομανεὶς, τοῦ Ὀλυμπίου ἐκποδὼν γεγονότος, ἀποστέλλει Ἀναστάσιον τὸν Παμφίλου, τὸ δουκάτον ἔχοντα Παλαιστίνης, ἐπὶ τὸ παρασκευάσαι τὸν Ἰωάννην Σευῆρον εἰς κοινωνίαν εἰσδέξασθαι, καὶ τὴν σύνοδον Χαλκηδόνος ἀναθεματίσαι, ἢ τῆς ἐπισκοπῆς αὐτὸν ἐξῶσαι. ὅστις ἐλθὼν εἰς Ἱεροσόλυμα αἰφνιδιάζει τὸν ἀρχιεπίσκοπον καὶ βάλλει αὐτὸν εἰς τὴν B δημοσίαν * φυλακήν. πάντες δὲ οἱ τῆς ἁγίας πόλεως οἰκήτορες ἐπεχάρησαν, διὰ τὸ γενέσθαι αὐτὸν ἐπίβουλον καὶ προδότην τοῦ ἀρχιεπισκόπου Ἠλία. Ζαχαρίας δέ τις τὴν τῆς Καισαρέων ἀρχὴν διέπων, λαθραίως εἰς τὴν φρουρὰν εἰσελθὼν, συμβουλεύει τῷ Ἰωάννῃ λέγων· εἰ θέλεις καλῶς πρᾶξαι, καὶ τὴν ἐπισκοπῆς μὴ στερηθῆναι, μηδείς σε πείσῃ Σευῆρον εἰς κοινωνίαν δέξασθαι· ἀλλὰ δόξον * συνθέσθαι τῷ δουκὶ καὶ λέγειν, ὡς ὅτι * ἐνταῦθα μὲν C τὰ προτεινόμενα ποιεῖν οὐκ ἀναβάλλομαι· ἀλλ' ἵνα μὴ λέγωσί τινες, κατ' ἀνάγκην καὶ βίαν πεποιηκέναι με, ἀπολυθῶ ἐντεῦθεν, καὶ μετὰ δύο ἡμέρας κυριακῆς οὔσης, πράξω προθύμως τὰ παρ' ὑμῶν κελευόμενα. καὶ τοῖς τοιούτοις λόγοις * πεισθεὶς ὁ δοὺξ, ἀποκαθίστησιν αὐτὸν τῇ ἐκκλησίᾳ. ὁ οὖν ἀρχιεπίσκοπος ἀπολυθεὶς, διὰ τῆς νυκτὸς ἅπαν τὸ μοναχικὸν εἰς τὴν ἁγίαν μετεπέμψατο

A se promiserat, transgressus est, patrum reverentiâ. At Imperator Anastasius ubi comperit Johannem pacta violasse, in furorem versus, Olympio amoto, Anastasium Pamphili, ducatui Palæstinæ præfectum, mittit; quò efficeret, ut Johannes ad communionem Severum susciperet, ac Synodum Chalcedonensem anathemate prosequeretur, aut eumdem Johannem Episcopatu deturbaret. Is Hierosolymam veniens, B Archiepiscopum statim de improviso adoritur, cumque in publicum carcerem conjicit. Cuncti autem sanctæ urbis habitatores lætati sunt, quòd Archiepiscopi Eliæ insidiator proditorque exstitisset. Zacharias porrò quidam qui Cæsariensium magistratum gerebat, clam in custodiam ingressus, consilium dat Johanni his verbis; Si rectè agere cupis, nec Episcopatu privari, nihil te adducat ad Severum in communionem recipiendum; C sed simula te duci consentire, ac dicito, Hoc quidem in loco quæ proposita sunt facere non differo; sed ne quidam dicant, me per necessitatem ac vi fecisse, educar hinc, & post duos dies proximâ Dominicâ, quæ jubetis alacriter peragam. Quo sermone persuasus dux, restituit eum Ecclesiæ. Itaque Archiepiscopus cùm dimissus fuisset, omnem Monachorum cœtum noctu ad sanctam civitatem

* Al. φρουρὰν, ἤτοι τὴν φυλακήν

* Al. σιωπῆσαι

* Al. inser. καὶ

* Al. πτοηθεὶς

A convocavit, & undique collegit; quam multitudinem quidam numerando, renunciarunt agmen decem millia Monachorum continuisse. Et quia tota Ecclesia tantum populum capere non poterat, placuit ut omnes die Dominico convenirent in ædem sancti Martyris primi Stephani, quæ ad recipiendam multitudinem idonea esset; simul & obviam ire volentes Hypatio Imperatoris ex sorore nepote, qui tunc à Vitaliani captivitate solutus fue- B rat, & Hierosolymam voti ac orationis caussa se conferebat. Convenerunt ergo cuncti tum Monachi tum cives in memorata venerabili æde: convenit etiam Anastasius dux, & Zacharias consularis; cúmque advenisset Hypatius, & cum multitudine in Protomartyris Stephani templum intrasset, exspectaretque dux voluntatem Imperatoris esse eventuram, ascendit in ambonem Archiepiscopus, secum habens Theo- C dosium & Sabam, Monachorum principes ac ductores; omnisque populus per multas horas clamabat; Hæreticos anathemati subjice, Synodum confirma. Statim igitur ex consensu unaque voce tres illi anathematizant Nestorium, Eutychem, Severum, Soterichum Cæsareæ Cappadociæ, & omnem qui Synodum Chalcedonensem non reciperet. Quæ postquam ii tres prædicaverunt,

* Al. εἶχε τὸ

* Al. ἐλθόντι

* Al. ἁπάντων τῶν τε μοναχῶν καὶ τῶν πολιτῶν

* Abest ab al.

* Abest ab al.

A πόλιν, τοῦτο πάντοθεν ἐπισυνάξας· ὡς δέ τινες ἀριθμήσαντες τὸ πλῆθος, ἀπήγγειλαν, ὅτι * εἶχεν ἄθροισμα δέκα χιλιάδας μοναχῶν. καὶ ἐπειδὴ πᾶσα ἡ ἐκκλησία τὸν τοσοῦτον οὐκ ἐχώρει λαὸν, ἔδοξε συνελθεῖν πάντας κατὰ τὴν κυριακὴν εἰς τὸν οἶκον τοῦ ἁγίου πρωτομάρτυρος Στεφάνου, ἱκανὸν ὄντα εἰς ὑποδοχὴν πλήθους· ἅμα δὲ καὶ ὑπαντῆσαι βουλόμενοι Ὑπατίῳ τῷ ἀνεψιῷ τοῦ βασιλέως, τότε ἐκ τῆς Βιταλιανοῦ ἀπο- B λυθέντι αἰχμαλωσίας, καὶ εἰς Ἱεροσόλυμα εὐχῆς ἕνεκεν ἐλθόντι. * συνελθόντες οὖν * ἅπαντες * οἵ τε * μοναχοὶ * καὶ * οἱ * πολῖται ἐν τῷ μνημονευθέντι σεβασμίῳ οἴκῳ, συνῆλθε καὶ Ἀναστάσιος ὁ δοὺξ, καὶ Ζαχαρίας ὁ ὑπατικός· παραγενομένου δὲ τοῦ Ὑπατίου, καὶ μετὰ τοῦ πλήθους εἰς τὸν τοῦ πρωτομάρτυρος * Στεφάνου εἰσεληλυθότος ναὸν, προσδοκοῦντος τοῦ δουκὸς τὸ θέλημα τοῦ βασιλέως γενήσεσθαι, ἀνέρχεται ἐπὶ ἄμβωνος ὁ C ἀρχιεπίσκοπος, ἔχων μεθ' ἑαυτοῦ Θεοδόσιον καὶ Σάβαν, τοὺς τῶν μοναχῶν κορυφαίους καὶ ἡγεμόνας· καὶ πᾶς ὁ λαὸς ἐπὶ πολλὰς τὰς ὥρας ἔκραζε λέγων· τοὺς αἱρετικοὺς ἀναθεμάτισον, καὶ τὴν σύνοδον βεβαίωσον. ἀμελητὶ οὖν οἱ τρεῖς ἐκ συμφώνου ἀναθεματίζουσι Νεστόριον καὶ Εὐτυχέα καὶ * Σευῆρον, καὶ Σωτήριχον τὸν Καισαρείας Καππαδοκίας, καὶ πάντα τὸν μὴ δεχόμενον τὴν σύνοδον Χαλκηδόνος. καὶ τῶν τριῶν ταῦτα κηρυξάντων,

καὶ

καὶ κατελθόντων, ὑποστρέψας ὁ Ἀββᾶς Θεοδόσιος, ἀφίησι φωνὴν τοιαύτην τοῦ λαοῦ λέγων· εἴ τις οὐ δέχεται τὰς τέσσαρας συνόδους, ὡς τὰ τέσσαρα εὐαγγέλια, ἀνάθεμα ἔστω. τούτων οὕτως γεγονότων, ὁ μὲν δοὺξ τὸ πλῆθος τῶν μοναχῶν φοβηθεὶς, ἔφυγεν εἰς Καισάρειαν· ὁ δὲ Ὑπάτιος, ὅρκοις ἔπεισε τοὺς πατέρας, ὅτι ἦλθον ἐνταῦθα, μὴ κοινωνήσας Σεβήρῳ, ἀλλ' ἔσπευσα τῆς ὑμῶν ἀξιωθῆναι κοινωνίας· καὶ προσφέρει ἀνὰ χρυσίου λίτρας ἑκατὸν, τῇ τε ἁγίᾳ ἀναστάσει, καὶ τῷ ἁγίῳ κρανίῳ, καὶ τῷ τιμίῳ σταυρῷ, καὶ δίδωσι Θεοδοσίῳ καὶ Σάβᾳ χρυσίου λίτρας ἑκατὸν, πρὸς τὸ διανεῖμαι τοῖς κατὰ τὴν χώραν μοναχοῖς.

νζ. Ὁ δὲ βασιλεὺς Ἀναστάσιος γνοὺς τὰ ἐν Ἱεροσολύμοις γεγονότα, παρεσκευάζετο δυνάμει τόν τε ἀρχιεπίσκοπον Ἰωάννην, καὶ Θεοδόσιον καὶ Σάβαν σὺν τῷ ἀρχιεπισκόπῳ εἰς τὸν ἄμβωνα συναναβάντας ὑπερορίαις καταδικάσαι. Καὶ τούτου ἐν Ἱεροσολύμοις γνωσθέντος, οἱ τῶν μοναχῶν ταξιάρχαι, καὶ τῆς εὐσεβείας ἀγωνισταὶ, καὶ τῆς ὀρθοδοξίας στρατηγοὶ καὶ πρόμαχοι, Θεοδόσιός τε καὶ Σάβας, συναθροίσαντες ἅπαν τὸ μοναχικὸν τῆς ἐρήμου, καὶ μιᾶς γνώμης γεγονότες, δέησιν ἤτοι διαμαρτυρίαν γράψαντες τῷ βασιλεῖ ἀποστέλλουσιν, οὕτω περιέχουσαν. Βασιλεῖ θεοφιλεστάτῳ καὶ εὐσεβεστάτῳ, ἐκ θεοῦ Αὐγούστῳ καὶ αὐτοκράτορι, Φλαβίῳ

A atque descenderunt, reversus Abbas Theodosius, hanc ad populum vocem emisit; Si quis, inquit, quatuor Synodos non admittit, sicut quatuor Evangelia, anathema sit. His ita gestis, dux quidem multitudine Monachorum territus, in Cæsaream fugit; Hypatius verò juramentis hoc persuasit patribus; Huc veni, non quòd cum Severo communicem, sed properavi ut vestra dignus haberer communione. Tum auri certum libras offert sanctæ Re- B surrectioni, & sanctæ Calvariæ, ac venerabili Cruci, singulis singulas, datque Theodosio & Sabæ totidem alias, ut in regionis Monachos partirentur.

LVII. Cæterùm Anastasius Imperator quæ Hierosolymis gesta fuerant comperiens, Archiepiscopum Johannem & Theodosium Sabamque qui ambonem una cum Archiepiscopo conscenderant, per vim C exiliis condemnare meditabatur. Eaque re Hierosolymis cognita, Monachorum præsides, pietatis pugiles, orthodoxæ fides duces & propugnatores, Theodosius & Sabas, cunctos Eremi Monachos congregaverunt; cúmque unâ ducerentur sententiâ, preces seu obtestationem scribunt mittuntque Imperatori, in hæc verba. Imperatori religiosissimo & piissimo, Dei gratiâ Augusto ac dominatori Flavio

Anastasio Christi studioso, Preces & Supplicatio à Theodosio & Saba Archimandritis, cæterisque Monasteriorum præpositis, atque omnibus Monachis, qui in sancta Dei urbe totaque circa eam solitudine, & ad Jordanem habitant. Summus & universalis Rex atque Imperator, omnium Deus ac Dominus Jesus Christus, unigenitus Dei filius, sceptra imperii post ipsum generalis religiosæ tuæ potentiæ commisit, volens per vestram pietatem magnum pacis bonum conciliare omnibus sanctissimis Ecclesiis, præsertimque matri
1. Tim. Ecclesiarum, in qua magnum
III. 16. pietatis pro mundi salute manifestatum consummatumque sacramentum, initio ducto à Hierosolymis, per divinam & Evangelicam prædicationem lumen veritatis emisit in omnes fines terræ. Hujus venerandi immensique secundùm Christum mysterii, per victricem ac victoriæ effectricem preciosamque ejus crucem & vivificam resurrectionem, adhucque etiam per omnnia sancta & adorata loca, nos sanctæ hujus terræ habitatores, veram & non imaginariam confessionem ac fidem, olim & à principio à beatis sanctisque Prophetis & Apostolis suscipientes, illæsam atque intactam in Christo servavimus, semperque Dei gratia custodiemus;
Philipp. perque Dei gratia custodiemus;
1. 28. *In nullo territi ab adversariis*,

A Ἀναστασίῳ τῷ φιλοχρίστῳ, δέησις καὶ ἱκετηρία παρὰ Θεοδοσίου καὶ Σάβα τῶν ἀρχιμανδριτῶν, καὶ λοιπῶν ἡγουμένων καὶ μοναχῶν ἁπάντων τῶν τὴν ἁγίαν τοῦ θεοῦ πόλιν καὶ πᾶσαν περὶ αὐτὴν ἔρημον καὶ τὸν Ἰορδάνην κατοικούντων. ὁ παμβασιλεὺς τῶν ἁπάντων θεὸς καὶ δεσπότης Ἰησοῦς Χριστὸς, ὁ μονογενὴς τοῦ θεοῦ υἱὸς, τὰ σκῆπτρα τῆς ἐπὶ πάντων μετ' αὐτὸν βασιλείας τῷ θεοφιλεῖ ὑμῶν κράτει B κατεπίστευσε, τὸ μέγα τῆς εἰρήνης ἀγαθὸν διὰ τῆς ὑμῶν εὐσεβείας, πάσαις μὲν ταῖς ἁγιωτάταις αὐτοῦ ἐκκλησίαις, ἐξαιρέτως δὲ τῇ μητρὶ τῶν ἐκκλησιῶν, βραβεῦσαι βουλόμενος, ἐν ᾗ τὸ μέγα τῆς εὐσεβείας ὑπὲρ τῆς τοῦ κόσμου σωτηρίας φανερωθὲν καὶ τελειωθὲν μυστήριον, ἀρχόμενον ἀπὸ Ἱερουσαλὴμ διὰ τοῦ θείου καὶ εὐαγγελικοῦ κηρύγματος εἰς πάντα τὰ πέρατα τῆς γῆς τὸ φῶς τῆς ἀληθείας ἀνέτειλε. τούτου τοῦ τιμίου καὶ ὑπερ- C φυοῦς κατὰ Χριστὸν μυστηρίου, διὰ τοῦ νικοποιοῦ καὶ τιμίου σταυροῦ καὶ τῆς ζωοποιοῦ αὐτοῦ ἀναστάσεως, ἔτι μὴν καὶ πάντων τῶν ἁγίων καὶ προσκυνουμένων τόπων, τὴν ἀληθῆ καὶ ἀφαντασίαστον ὁμολογίαν καὶ πίστιν, ἄνωθεν καὶ ἐξ ἀρχῆς διὰ τῶν μακαρίων καὶ ἁγίων προφητῶν τε καὶ ἀποστόλων παραλαβόντες οἱ τῆς ἁγίας γῆς ταύτης οἰκήτορες, ἄτρωτον καὶ ἀπαρεγχείρητον ἐν Χριστῷ διεφυλάξαμεν, καὶ εἰς ἀεὶ θεοῦ χάριτι διαφυλάξομεν, μὴ πτυρόμενοι ἐν μηδενὶ ὑπὸ τῶν ἀντικειμένων,

κατὰ τὰς ἀποστολικὰς παραινέσεις, μήτε μὴν περιφερόμενοι παντὶ ἀνέμῳ τῆς διδασκαλίας ἐν τῇ κυβείᾳ τῶν ἀνθρώπων, ἐν πανουργίᾳ τῶν ψυχοφθόροις καὶ ἀπατηλοῖς σοφίσμασιν ἐξαπατώντων τὰς καρδίας τῶν ἀκεραίων, καὶ τὸ καθαρὸν καὶ ἄδολον τῆς ὀρθῆς πίστεως νᾶμα τῇ ἑαυτῶν κακοδοξίᾳ ταραττόντων. ἐν ταύτῃ τῇ ἁγίᾳ καὶ ἀμωμήτῳ πίστει τῆς φιλοχρίστου ὑμῶν βασιλείας θεοῦ χάριτι τεχθείσης καὶ τραφείσης, καὶ πάσης σχεδὸν τῆς ὑφ᾽ ἡλίῳ τὸ κράτος θεόθεν, B καθὼς πιστεύομεν, δεξαμένης, θαυμάζομεν πῶς ἐπὶ τῶν θεοφιλῶν καιρῶν τῆς ὑμετέρας βασιλείας, τάραχος τοσοῦτος καὶ κλόνος κατὰ τῆς ἁγίας τοῦ θεοῦ πόλεως Ἱερουσαλὴμ ἐπεχύθη, εἰς τοσαύτην ὑπερβολὴν ἐκταθείς, ὡς καὶ τὴν μητέρα πασῶν τῶν ἐκκλησιῶν, καὶ τὴν ἁγίαν τοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν ἀνάστασιν, τὸ καταφύγιον καὶ φυγαδευτήριον πάντων τῶν ἀδικουμένων ἐκ παντὸς τοῦ κόσμου καὶ σωτηρίας ἐπιδεομένων, δημοσίαν ἀγορὰν καὶ κοινὸν τόπον C γενέσθαι· τῆς εἰς τύπον καὶ τόπον θεοῦ προκαθημένης ἱερωσύνης, καὶ τῶν περὶ αὐτὴν τελούντων λειτουργῶν, οὐ μὴν ἀλλὰ καὶ τῶν τὸν μονήρη βίον ἀναδεδεγμένων, ἐν ὄψεσιν Ἐθνικῶν, Ἰουδαίων τε καὶ Σαμαρειτῶν, ἐξ αὐτῆς τῆς ἁγίας Σιὼν καὶ τῆς προσκυνητῆς ἀναστάσεως φανερῶς μετὰ βίας ἐξωθουμένων, καὶ εἰς βεβήλους καὶ ἀκαθάρτους τόπους διὰ μέσης τῆς πόλεως κατασυρομένων, καί τινα πρὸς βλάβην τῆς πίστεως

A juxta monita Apostolica; neque etiam *circumlati omni vento doctrina in nequitia* seu alea *hominum, in astutia* eorum qui animæ perniciosis fraudulentisque sophismatibus & argutiis corda simplicium decipiunt, purumque & candidum rectæ fidei laticem pravâ suâ doctrinâ conturbant. In hac sancta atque inculpata fide cùm Christi amans vestrum Imperium per Dei gratiam natum sit & educatum, totiusque tantumnon sub sole orbis dominatum divinitùs, sicuti credimus, acceperit, miramur quo pacto religiosis vestri Imperij temporibus, tumultus tantus ac motus in sanctam Dei civitatem Jerusalem redundavit, ad tantam exsuperationem progressus, ut omnium Ecclesiarum mater, & sancta Dei Servatorisque nostri Resurrectio, refugium & asylum omnium ex toto mundo injuria affectorum ac salutis indigentium, evaserint in publicum forum, in locum communem; eò quòd sacerdotium, quod in formam & locum Dei præsidet, quique circa illud versantur ministri, prætereaque qui Monasticam vitam professi sunt, in conspectu Gentilium, Judæorum, Samaritanorum, ex ipsa sancta Sion, & adoranda Resurrectione palam cum vi expellantur, in profanos impurosque locos per mediam urbem trahantur, necnon ad quædam fidei

Eph. IV. 14.

noxia cogantur; adeò ut jam A hinc ii qui precandi caussa adveniunt, pro emolumento & animæ ædificatione, scandalis repleti, in patriam suam remeent. Si ergo fidei caussâ hæc omnia adversùs sanctam Dei urbem Hierosolymam moventur, totius orbis oculum & luminare; quandoquidem juxta illud Prophetæ o-
Is. 11. 3. raculum, *De Sion exibit lex, & verbum Domini de Jerusalem*; tum velut propriis manibus quotidie incolæ ejus B veritatem palpant, per ipsa venerabilia loca, in quibus Incarnationis magni Dei & Servatoris nostri actum est mysterium; quo modo igitur post quingentos & ampliùs à Christi adventu annos, Hierosolymitæ fidem discimus? Unde certò intelligere est, hanc, quæ nempe nunc priori secundùm Christum fidei inducitur correctionem, non veri Christi, sed Antichristi esse doctri-
* Abest in Allat. nam, qui unionem & pacem C Ecclesiarum Dei confundere nititur, cunctaque tumultu ac seditione replevit. Porrò horum omnium auctor & opifex exstitit, qui pridem & ab initio Acephalus & Aposchista est Severus, quique Antiochiæ Antistes in exitium animæ suæ communisque Reipublicæ, Deo ob peccata nostra permittente, promotus est; necnon sanctos patres nostros, qui Apostolicam fidem definitam &

A ἀναγκαζομένων· ὡς ἐντεῦθεν λοιπὸν καὶ τοὺς εὐχῆς χάριν παραγινομένους, ἀντὶ ὠφελείας τε καὶ οἰκοδομῆς, σκανδάλων πληρουμένους, εἰς τὰς ἰδίας ἐπανιέναι πατρίδας. εἰ τοίνυν πίστεως ἕνεκεν ταῦτα πάντα κατὰ τῆς ἁγίας τοῦ θεοῦ πόλεως Ἱερουσαλὴμ κινεῖται, τοῦ ὀφθαλμοῦ καὶ φωστῆρος πάσης τῆς οἰκουμένης· εἴπερ κατὰ τὸ προφητικὸν ἐκεῖνο λόγιον, ἐκ Σιὼν ἐξελεύσεται νόμος, καὶ λόγος κυρίου ἐκ Ἱερουσαλήμ· καὶ οἱονεὶ χερσὶν οἰκείαις καθ' ἑκάστην τὴν
LXIX. Cùm ſuperiùs memorata patricia Juliana, multa Conſtantinopoli bona opera peregiſſet, atque vivere deſiiſſet, Hieroſolymam venerunt ejus Eunuchi; & quoniam ex Conſtantinopoli noti erant Abbati Sabæ, ad eum profecti ſunt in maximam Lauram, cum multa quam ferebant pecunia, rogabantque in conventum ipſi ſubjectum accenſeri. At ſenex decreverat, nullum in Laura imberbem aut Eunuchum recipere. Valde enim diſplicebat ei, faciem muliebrem cernere, in cunctis quidem Monaſteriis ſuis, præcipuè verò in Laura qualibet. Verumtamen quia noti erant, omnibus modis perſuaſos & ſpiritu ædificatos, beato Theodoſio commendavit. Illi pauco tempore vitam Monachalem edocti, rogaverunt Archiepiſcopum, uti daret ipſis locum ad tenendam quietem idoneum. Quocirca Archiepiſcopus advocavit Alexandrum quemdam præpoſitum Monaſteriorum Archiepiſcopi Eliæ quæ circa Jerichuntem ſita erant, Neſtabi & Zachariæ ſucceſſorem, ſuaſitque illi, ut ad paucos dies eos incolas admitteret. Alexander

σφραγίσας αὐτὴν τρίτον τῷ σημείῳ τοῦ σταυροῦ, ἀποκατέστησεν ὑγιῆ. τοῦ δὲ θαύματος κατὰ πᾶσαν τὴν ἁγίαν πόλιν διαφημισθέντος, ἐδόξαζον ἅπαντες τὸν Θεόν.

ξθ'. Τῆς ἀνωτέρω μνημονευθείσης πατρικίας Ἰουλιάνας πολλὰς ἀγαθοεργίας ἐν Κωνσταντινουπόλει ποιησάσης, καὶ τέλει τοῦ βίου χρησαμένης, οἱ ταύτης εὐνοῦχοι ἦλθον εἰς Ἱεροσόλυμα, καὶ ἐν γνώσει ὄντες τοῦ Ἀββᾶ Σάβα ἀπὸ Κωνσταντινουπόλεως ἦλθον πρὸς αὐτὸν εἰς τὴν μεγίστην λαύραν, χρήματα ἱκανὰ ἐπιφερόμενοι, καὶ παρεκάλουν τῇ ὑπ' αὐτὸν συνοδίᾳ συναρίθμιοι γενέσθαι. ὁ δὲ πρεσβύτης ἐκεκρίκει, ἀγένειον ἢ εὐνοῦχον ἐν λαύρᾳ μὴ δέξασθαι· πάνυ γὰρ ἀπηρέσκετο ὄψιν γυναικείαν βλέπειν, ἐν πᾶσι μὲν τοῖς ὑπ' αὐτὸν μοναστηρίοις, ἐξαιρέτως δὲ εἰς οἵαν δή ποτε λαύραν. πλὴν ἐπειδὴ γνωστοὶ αὐτῷ ἦσαν, πᾶσι τρόποις πληροφορήσας καὶ οἰκοδομήσας αὐτούς, τῷ μακαρίτῃ παρέθετο Θεοδοσίῳ. οἵτινες ἐπὶ χρόνον ὀλίγον μοναχικῶς παιδευθέντες, παρεκάλεσαν τὸν ἀρχιεπίσκοπον δοῦναι αὐτοῖς τόπον ἐπιτήδειον πρὸς τὸ ἡσυχάσαι. ὁ μὲν οὖν ἀρχιεπίσκοπος μεταπεμψάμενος Ἀλέξανδρόν τινα ἡγούμενον τῶν περὶ Ἱεριχὼ μοναστηρίων τοῦ ἀρχιεπισκόπου Ἠλία, Νέσταβον καὶ Ζαχαρίαν διαδεξάμενον, παρεκάλει αὐτὸν πρὸς ὀλίγας ἡμέρας δέξασθαι αὐτοὺς ἐν παροικίᾳ. ὁ δὲ Ἀλέξανδρος,

ἢ φιλαργυρίᾳ δουλωθεὶς, ἢ κενοδοξίᾳ κρατηθεὶς, τὰς τοῦ ἀρχιεπισκόπου Ἠλία ἐντολὰς παραλογισάμενος, καὶ τὸ ἴδιον καταπατήσας συνειδὸς, διεῖλε τὰ μοναστήρια· καὶ ἀπὸ τότε τὸ διαιρεθὲν μοναστήριον, τὴν τῶν εὐνούχων ἐπωνυμίαν ἐδέξατο.

ο'. Ἀρχομένου τοῦ ἐνενηκοστοῦ πρώτου τῆς τοῦ ἁγίου πατρὸς ἡμῶν Σάβα ἡλικίας χρόνου, ὁ ἐν ἁγίοις Ἀββᾶς Θεοδόσιος τέλει τοῦ βίου ἐχρήσατο, μηνὶ Ἰαννουαρίῳ ἐνδεκάτῃ, πρεσβύτης καὶ πλήρης ἡμερῶν. τῷ οὖν τετάρτῳ μηνὶ τῆς τοῦ Ἀββᾶ Θεοδοσίου κοιμήσεως, οἱ κατὰ Παλαιστίνην Σαμαρεῖται, τὸ ἔθνος ἅπαν, κατὰ τῶν Χριστιανῶν στρατεύσαντες, πολλὰ ἀθέμιτα διεπράξαντο· τὰς μὲν ἐμπιπτούσας ἐκκλησίας πραιδεύοντές τε καὶ πυρὶ παραδιδόντες, τοὺς δὲ ἐμπίπτοντας Χριστιανοὺς διαφόροις κολάσεσιν ἀφειδῶς ἀποκτείνοντες, καὶ χωρία ὁλόκληρα τῷ πυρὶ παραδιδόντες, ἐν τοῖς μάλιστα περὶ Νεάπολιν τόποις, ἔνθα τυραννήσαντες ἔστεψαν ἑαυτοῖς βασιλέα Ἰουλιανόν τινα σύνεθνον αὐτῶν. τότε δὴ τὸν μὲν ἐπίσκοπον Νεαπόλεως * Ἀμμωνᾶ κατέσφαξαν, τινὰς δὲ συλλαβόμενοι πρεσβυτέρους, κατακόψαντες αὐτοὺς, ἀπετηγάνησαν μετὰ λειψάνων ἁγίων μαρτύρων· καὶ πολλὰ τοιαῦτα δεινὰ πεποιήκασιν· ὥστε τὰς βασιλικὰς καλουμένας ὁδοὺς, ἀβάτους καὶ ἀδιοδεύτους τοῖς Χριστιανοῖς γενέσθαι. τούτων οὖν ἁπάντων εἰς ἀκοὰς ἐλθόντων τοῦ εὐσεβεστάτου

A verò aut avaritia subactus, aut inani gloria devictus, Eliæ Archiepiscopi mandatis nihili computatis, propriaque conscientia conculcata, divisit Monasteria; atque ab eo tempore divisum Monasterium, Eunuchorum appellationem accepit.

LXX. Ineunte anno ætatis sancti patris nostri Sabæ nonagesimo primo, sanctus Abbas Theodosius finem vitæ sortitus est, mense Januario, die B undecima, senex ac plenus dierum. Quarto igitur post Theodosii Abbatis obitum mense, Palæstinæ Samaritani, gens tota, bello aggressi Christianos, multa nefaria perpetraverunt; dum incidentes Ecclesias deprædantur, ignique tradunt, incurrentes Christianos variis suppliciis crudeliter necant, integras villas incendunt, maximè in locis quæ Neapolim cingunt, ubi tyrannide assumptâ sibi regem co- C ronaverunt Julianum quemdam suæ gentis hominem. Tunc certè Episcopum quidem Neapoleos Ammonam jugulavere, quosdam verò Presbyteros comprehensos atque concisos, unà cum reliquiis sanctorum Martyrum frixerunt, multaque hujusmodi atrocitatis perpetrarunt; adeò ut viæ quæ regiæ vocantur, inaccessæ ac imperviæ Christianis fierent. Quæ omnia ubi ad aures pervenerunt piissimi

* Al. Σαμμωνᾶ

Imperatoris nostri Justiniani, A jussi sunt Theodorus & Johannes viri clarissimi, exercitum cogere, & contra Samaritanos bellum gerere. Conflictu igitur facto, occisus est Julianus, pariterque cum eo ingens Samaritanorum numerus.

* Al. Σιλβανός. * Al. εἰρήνης

Tunc sanè Silvanus, quasi tempore pacis Scythopolim absque Imperatoris mandato ingressus, per Christianos arripitur atque in medio urbis comburitur; & completa est erga illum sancti patris nostri Sabæ B prophetia, quam in Episcopali æde ad Johannem Expelleutæ protulerat. Quidam porrò Arsenius, incensi Silvani filius, qui Illustris dignitatem obtinebat, tuncque Constantinopoli commorabatur, multumque nescio unde aditum habebat apud nostrum à Deo protectum Imperatorem & Theodoram Imperatricem, utriusque pietatem falsis relationibus circumventam, in iram adversùs Christianos Pa- C læstinæ habitatores concitavit.

* Al. ὅθεν

* Al. εἰς τ. ὀρθοδόξων πιστῶν

Tunc ergo Archiepiscopus Petrus, eique subjecti Episcopi, hortati sunt sanctum Sabam, Constantinopolim proficisceretur, ac preces offerret Imperatori, ut primæ & secundæ Palæstinæ publicorum tributorum remissionem concederet, propter cædes & vastationes à Samaritis factas. Ac senex hortaminibus summorum sacerdotum cedens,

A ἡμῶν βασιλέως Ἰουστινιανοῦ, ἐκελεύσθησαν Θεόδωρος καὶ Ἰωάννης οἱ ἐνδοξότατοι, στρατὸν συναγεῖραι, καὶ τῶν Σαμαρειτῶν καταστρατεῦσαι. καὶ συμβολῆς γενομένης, ἀνῃρέθη Ἰουλιανὸς, καὶ πλῆθος πολὺ Σαμαρειτῶν σὺν αὐτῷ. τότε δὴ * Σιλουανὸς ὡς ἐπὶ * εἰρήνῃ ἐν Σκυθοπόλει εἰσελθὼν χωρὶς κελεύσεως βασιλικῆς, ἁρπαγεὶς ὑπὸ τῶν Χριστιανῶν, εἰς τὸ μέσον ἐκαύθη τῆς πόλεως· καὶ ἐπληρώθη ἡ περὶ αὐτοῦ πρὸς Ἰωάννην τὸν τοῦ Ἐκαπηλλάτου ῥηθεῖσα ἐν τῷ ἐπισκοπίῳ προφητεία τοῦ ἐν B ἁγίοις πατρὸς ἡμῶν Σάβα. Ἀρσένιος δέ τις τοῦ καέντος Σιλουανοῦ υἱὸς, τοῦ ἰλλουστρίου ἀξίωμα ἔχων, καὶ ἐν Κωνσταντίνου πόλει τὸ τηνικαῦτα διατρίβων, καὶ πολλὴν οὐκ οἶδα * πόθεν πάροδον ἔχων, παρά τε τῷ θεοφυλάκτῳ ἡμῶν βασιλεῖ καὶ Θεοδώρᾳ τῇ βασιλίσσῃ, παραδιδάξας τὴν αὐτῶν εὐσέβειαν, εἰς ὀργὴν C κατὰ τῶν ἐν Παλαιστίνῃ Χριστιανῶν * κεκίνηκε. τότε τοίνυν ὁ ἀρχιεπίσκοπος Πέτρος, σὺν τοῖς ὑπ' αὐτὸν ἐπισκόποις παρακαλεῖ τὸν Ἀββᾶν Σάβαν, ἀνελθεῖν ἐν Κωνσταντινουπόλει, καὶ δεηθῆναι τοῦ βασιλέως, συγχώρησιν φιλοτιμήσασθαι δημοσίων πρώτης καὶ δευτέρας Παλαιστίνης, διὰ τοὺς γεγονότας ὑπὸ τῶν Σαμαρειτῶν φόνους τε καὶ ἀφανισμούς. καὶ εἴξας ὁ γέρων ταῖς τῶν ἀρχιερέων παρακλήσεσιν, ἀνέρχεται

ἐν Κωνσταντίνου πόλει περὶ τὸν Ἀ- A πρίλλιον μῆνα τῆς ὀγδόης ἰνδικτιόνος. τοῦ δὲ πατριάρχου γράμματα προαποστείλαντος τῷ βασιλεῖ, τὴν τοῦ θείου Σάβα παρουσίαν μηνύσαντα, ὁ θεοφύλακτος ἡμῶν βασιλεὺς περιχαρὴς γεγονὼς, σὺν βασιλικοὺς ἀπέστειλε δρόμωνας εἰς ἀπάντησιν αὐτοῦ, μεθ' ὧν ἐξῆλθον οἱ περὶ τὸν πατριάρχην Ἐπιφάνιον, καὶ τὸν Πάπαν * Εὐσέβιον, καὶ τὸν ἐπίσκοπον Ἐφέσου Ὑπάτιον· οἵτινες λαβόντες αὐτὸν εἰσήγαγον τῷ βασιλεῖ· ὁ δὲ θεὸς τὴν B ἑπομένην τῷ δούλῳ αὐτοῦ χάριν, τῷ βασιλεῖ ἐφανέρωσεν, ὥσπερ καὶ πάλαι ἐπὶ Ἀναστασίου.

οα'. Τούτου γὰρ μετὰ τῶν μνημονευθέντων ἀρχιερέων εἰς τὰ βασίλεια εἰσερχομένου, καὶ ἔνδον τοῦ βήλου γεγονότος, διήνοιξεν ὁ θεὸς τοὺς ὀφθαλμοὺς τοῦ βασιλέως, καὶ θεωρεῖ θείαν τινὰ χάριν φωτοειδῆ ἐξαστράπτουσαν, καὶ τύπον ἔχουσαν στεφάνου, ἐπὶ τῆς τοῦ πρεσβύτου κεφαλῆς, ἀκτῖνας ἡλιακὰς ἐκπέμπου- C σαν· καὶ προσδραμὼν προσεκύνησεν αὐτῷ, καὶ μετὰ χαρᾶς καὶ δακρύων τὴν θείαν αὐτοῦ κατεφίλησε κεφαλήν. καὶ εὐλογηθεὶς παρ' αὐτοῦ, ἐδέξατο ἐκ χειρὸς αὐτοῦ τὰς ἀπὸ Παλαιστίνης δεήσεις, καὶ ἔπεισεν αὐτὸν εἰσελθεῖν, καὶ τὴν Αὔγουσταν Θεοδώραν εὐλογῆσαι. καὶ ὁ μὲν γέρων εἰσῆλθεν· ἡ δὲ Αὔγουστα δεξαμένη αὐτὸν μετὰ χαρᾶς καὶ προσκυνήσασα, παρεκάλει αὐτὸν λέγουσα· εὖξαι ὑπὲρ

Constantinopolim pergit, ad mensem Aprilem nonæ Indictionis. Cúmque Patriarcha ad Imperatorem litteras præmisisset, divini Sabæ adventûs indices, à Deo servatus Imperator noster, lætitiæ plenus, in occursum ejus misit Imperatorios dromones, quibuscum egressi sunt, Patriarcha Epiphanius, Eusebius Papa, & Hypatius Episcopus Ephesi, cum suis; atque assumentes eum, ad Imperatorem introduxerunt. At Deus gratiam quæ servum suum comitabatur, Imperatori manifestam fecit, quemadmodum quondam tempore Anastasii.

* MS. Εὐσέβειον & infra.

LXXI. Ipso enim cum præsulibus memoratis in regiam ingresso, & intra velum consistente, adaperuit Deus oculos Imperatoris, qui divinam quamdam gratiam, lucidam, refulgentem, instar coronæ figuratam, intuetur supra caput senis, quæ radios solares emitteret; unde accurrens, reverenter salutavit eum, & cum gaudio ac lacrymis divinum ejus caput deosculatus est; tum benedictione ab ipso accepta; de ejusdem manu suscepit preces è Palæstina missas; persuasitque ut ingrederetur, Augustamque Theodoram benediceret. Et intravit quidem senex; Augusta verò excepit eum cum lætitia, & venerabunda salutavit; posteaque his verbis adhortata est; Ora pro

οβʹ. Καὶ μεθ' ἡμέρας ὀλίγας μεταστειλάμενος ὁ βασιλεὺς τὸν ἡγιασμένον Σάβαν λέγει αὐτῷ· ἤκουσά μοι πάτερ ὅτι πλεῖστα μοναστήρια ἐν τῇ ἐρήμῳ συνεστήσω· ἀλλ' ὅπου δ' ἂν βούλει, αἴτησαι πρόσοδον πρὸς τὴν τῶν οἰκούντων χρείαν, καὶ παρέξομεν, ἵνα εὔχωνται ὑπὲρ ἡμῶν καὶ τῆς ἐμπιστευθείσης ἡμῖν πολιτείας. ὁ δὲ εἶπεν· οἱ τῆς ὑμετέρας εὐσεβείας ὑπερευχόμενοι, τοιαύτης προσόδου οὐ χρήζουσιν. ἡ γὰρ μερὶς αὐτῶν καὶ ἡ πρόσοδος, ὁ κύριός ἐστιν, ὁ ἐν ἐρήμῳ λαῷ ἀπειθοῦντι καὶ ἀντιλέγοντι ἄρτον οὐράνιον ὀμβρήσας. πλὴν ἡμεῖς εὐσεβέστατε βασιλεῦ, διὰ τὴν σύστασιν τῶν κατὰ Παλαιστίνην ἁγίων ἐκκλησιῶν, συγχώρησιν δημοσίων αἰτούμεθα, καὶ ἀνοικοδομὴν τῶν ὑπὸ τῶν Σαμαρειτῶν καέντων σεβασμίων οἴκων, καὶ ἀντίληψιν τῶν ἐν Παλαιστίνῃ ὀλιγωθέντων καὶ πραιδευθέντων Χριστιανῶν· ἓν δὲ νοσοκομεῖον ἐν τῇ ἁγίᾳ πόλει παρακαλοῦμεν ὑμᾶς συστήσασθαι, πρὸς τὴν τῶν ἀρρωστούντων ξένων ἐπιμέλειαν· καὶ τὴν αὐτόθι θεμελιωθεῖσαν νέαν τῆς θεοτόκου ἐκκλησίαν πρὸ χρόνων ὑπὸ τοῦ ἀρχιεπισκόπου Ἠλία, οἰκοδομῆσαι καὶ διακοσμῆσαι· τοῦτο γὰρ μάλιστα τῇ ὑμετέρᾳ πρέπει εὐσεβείᾳ. καὶ διὰ τὴν τῶν Σαρακηνῶν ἐπιδρομὴν, τὴν ὑμετέραν παρακαλοῦμεν γαληνότητα, κελεῦσαι Σούμμῳ τῷ ἐνδοξοτάτῳ, ἀπὸ τοῦ δημοσίου λόγου κάστρον οἰκοδομῆσαι ἐν τῇ ἐρήμῳ, παρακάτω τῶν διὰ τῆς ἐμῆς μετριότητος συσταντῶν μοναστη-

LXXII. Post aliquot dies sanctificatum Sabam arcessivit Imperator, dixitque ei, Comperi, pater, à te multa Monasteria in deserto constituta fuisse; verùm quocumque volueris postula reditum in usum inhabitantium, & præbebimus, quò pro nobis & Republica nobis commissa precentur. Respondit Sabas; Qui pro vestra pietate precantur, hujusmodi reditu non egent. Pars enim eorum ac reditus, Dominus est, qui in solitudine populo incredulo & contradicenti panem cœlestem pluit. (Is. LXV. 2. Ex. XVI. 4.) Atqui nos, religiosissime Imperator, ad constabiliendas sanctas Palæstinæ Ecclesias, concessionem tributorum petimus, & reædificationem venerabilium ædium quas Samaritæ combusserunt, subsidiumque erga Christianos qui in Palæstina ad paucitatem redacti sunt ac direpti: ad hæc ut unum in sancta civitate Nosocomium seu valetudinarium construatis rogamus, in peregrinorum ægrotantium curam; utque illic ante aliquod tempus ab Archiepiscopo Elia fundatam novam Deiparæ Ecclesiam ædificetis atque exornetis; hoc quippe maximè vestram decet pietatem. Tum propter Saracenorum incursiones, vestram oramus serenitatem, uti clarissimo Summo jubeat, castrum ex ærario condere in solitudine intra Monasteria quæ mediocritas mea construxit.

Et credo atque confido, Deum A pro hisce quinque ipsi gratis operibus adjuncturum imperio vestro Africam & Romam, omnemque reliquam Honorii ditionem, quam amiserunt qui ante vestram piissimam serenitatem imperarunt. insuper uti vos Arianam Hæresim cum Nestoriana & illa Origenis è medio tollatis, atque à lue harum trium Hæreseon libereris Ecclesias Dei. Quam verò ob caussam de tribus dumtaxat hisce Hæresibus ejiciendis sug- B gesserit Imperatori, dicam. De Arii quidem Hæresi, quandoquidem Gotthi, Visigotthi, Vandali, & Gepidæ, qui Ariani erant, in toto Occidente dominabantur, noratque omnino ex inspiratione, Imperatorem ipsos devicturum. At Nestorii Hæresim ideo nominavit, quia nonnulli ex Monachis qui cum eo venerant, Theodoro Mopsuesteno patrocinari detecti sunt, dum in regia cum Aposchistis conten- C dunt. Origenis denique exitiosam Hæresim, cum dictarum Hæresum abjectione recensuit, quoniam inter Monachos qui cum eo erant, quidam Byzantinus genere, nomine Leontius, unus eorum qui unà cum Nonno in Novam Lauram post Agapeti Hegumeni mortem suscepti fuere, inventus est Origenis dogmata defendere. Nam simulando Concilii Chalcedonensis tuitionem,

ελων. καὶ πιστεύω ὅτι ὑπὲρ τῶν πέντε τούτων θεαρέστων πράξεων, προστίθησιν ὁ θεὸς τῇ ὑμετέρᾳ βασιλείᾳ Ἀφρικήν τε καὶ Ῥώμην, καὶ τὴν λοιπὴν πᾶσαν Ὁνωρίου βασιλείαν, ἥνπερ ἀπώλεσαν οἱ προβεβασιλευκότες τῆς ὑμετέρας πανευσεβοῦς γαληνότητος. πρὸς τὸ, ὑμᾶς τὴν Ἀρειανὴν αἵρεσιν σὺν τῇ Νεστοριανῇ καὶ τῇ Ὠριγένους ἐκποδὼν ποιήσασθαι, καὶ ἐκ τῆς τῶν τριῶν τούτων αἱρέσεων λύμης ἐλευθερῶσαι τὰς τοῦ θεοῦ ἐκκλησίας. τίνος δὲ ἕνεκεν τῶν τριῶν τούτων αἱρέσεων μόνων τὴν ἀποβολὴν ποιήσασθαι τῷ βασιλεῖ ὑπέθετο ἐρῶ. τὴν μὲν Ἀρείου αἵρεσιν, ἐπείπερ οἱ Γότθοι καὶ Οὐισίγοτθοι καὶ Οὐάνδαλοι καὶ Γήπιδες, Ἀρειανοὶ ὄντες, πάσης τῆς δύσεως ἐκράτουν, καὶ ἔγνω πάντως διὰ τοῦ πνεύματος, μέλλειν τούτων τὸν βασιλέα περιγενέσθαι. τὴν δὲ Νεστορίου αἵρεσιν ὠνόμασεν, ὅτι τινὲς τῶν ἀνελθόντων μετ' αὐτοῦ μοναχῶν, Θεοδώρου τοῦ Μομψουεστίας ηὑρέθησαν ἀντιλαμβανόμενοι, εἰς τὴν βασιλικὴν μετὰ τῶν Ἀποσχιστῶν ἀντιβάλλοντες. τὴν δὲ Ὠριγένους φθοροποιὸν αἵρεσιν τῇ τῶν εἰρημένων αἱρέσεων ἀποβολῇ συνηρίθμησεν, ἐπειδήπερ ηὑρέθη τις τῶν μετ' αὐτοῦ μοναχῶν, Βυζάντιος τῷ γένει, Λεόντιος ὀνόματι, εἷς ὑπάρχων τῶν μετὰ τοῦ Νόννου εἰσδεχθέντων εἰς τὴν νέαν λαύραν μετὰ τὴν Ἀγαπητοῦ τοῦ ἡγουμένου κοίμησιν, τῶν Ὠριγένους δογμάτων ἀντιλαμβανόμενος. τῆς γὰρ ἐν Χαλκηδόνι συνόδου προΐστασθαι προσποιούμενος,

ἐγνώσθη

ἐγνώσθη τὰ Ὠριγένους φρονῶν. ὅθεν A ἀκούσας ὁ πατὴρ ἡμῶν Σάβας, καὶ τῶν τοῦ μακαρίου Ἀγαπητοῦ λόγων ἀναμνησθεὶς, αὐτόν τε καὶ τοὺς τὰ Θεοδώρου φρονοῦντας, ἀποτομίᾳ χρησάμενος, ἀπεβάλετο, καὶ τῆς ἑαυτοῦ ἀπέστησε συνδιαγωγῆς, τῷ δὲ βασιλεῖ ὑπέθετο ἀποβολὴν ποιήσασθαι τῶν ἀμφοτέρων αἱρέσεων.

ογʹ. Ὅσα μὲν οὖν ᾔτησεν ὁ πατὴρ ἡμῶν Σάβας, ὁ εὐσεβέστατος ἡμῶν βασιλεὺς ἀνυπερθέτως πεποίηκεν· ὅσα δὲ αὐτῷ προεφήτευσεν, ὁ φιλάν- B θρωπος εἰργάσατο θεός. καὶ τοῦτο σαφῶς διὰ τῶν ἑξῆς μαθησόμεθα. πρῶτον μὲν γὰρ γίνονται θεῖαι κελεύσεις, πρός τε τὸν ἀρχιεπίσκοπον Πέτρον, καὶ πρὸς τοὺς κατὰ Παλαιστίνην ἄρχοντας, θεσπίζουσαι, Ἀντώνιον τὸν ἐπίσκοπον Ἀσκάλωνος, καὶ Ζαχαρίαν τὸν ἐπίσκοπον Πέλλης, ἐποπτεῦσαι τὰ καέντα κτήματα ὑπὸ τῶν Σαμαρειτῶν πρώτης καὶ δευτέρας Παλαιστίνης, καὶ συγχωρῆσαι ἀπὸ τῶν δημοσίων ἐνάτης καὶ δεκάτης τῶν ἐπινεμήσεων ἀνα- C λόγως τῇ γενομένῃ ἑκάστῳ τόπῳ βλάβῃ χρυσίου κεντηνάρια δεκατρία. ἐποπτεῦσαι δὲ αὐτοὺς πάλιν ἐκέλευσε τοὺς καέντας εὐκτηρίους οἴκους, καὶ συνιδεῖν τὰ ὀφείλοντα δοθῆναι εἰς ἀνανέωσιν ἑκάστου σεβασμίου τόπου, καὶ ταῦτα παρασχεθῆναι, ἢ ἐκ τοῦ δημοσίου λόγου, ἢ ἐκ τῆς τῶν Σαμαρειτῶν ὑποστάσεως, διὰ Στεφάνου τοῦ λαμπροτάτου Κόμητος, τοῦ καὶ κελευσθέντος διασώζειν τοὺς

cum Origene sentire agnitus est. Unde ubi audiisset pater noster Sabas, & beati Agapeti sermones in memoriam revocasset, ipsum ac Theodori sectatores, severitate usus, rejecit, & à suo ablegavit consortio, Imperatori autem auctor fuit, ut utramque Hæresim amoliretur.

LXXIII. Cæterùm quæcumque pater noster Sabas petiit, piissimus noster Imperator absque mora fecit; quæ verò ei prædixit, benignus operatus est Deus. Idque manifestò per sequentia edocebimur. Primò siquidem emittuntur divina mandata, ad Archiepiscopum Petrum, & Palæstinæ rectores, quæ decernebant, ut Antonius Episcopus Ascalonis, & Zacharias Episcopus Pellæ inspicerent villas primæ ac secundæ Palæstinæ à Samaritanis incensas, atque ex pecunia publica Indictionis nonæ & decimæ, juxta damnum unicuique loco obortum, concederent auri centenaria tredecim. Rursusque eosdem inspicere jussit oratorias ædes quæ combustæ fuerant, & considerare quænam danda essent ad uniuscujusque venerabilis loci instaurationem, eaque aut ex ærario, aut ex Samaritarum facultatibus præberi, per Stephanum clarissimum Comitem; qui etiam jussus est

Episcopos cum eo quo egerent auxilio tueri. Sed & secundùm tertiam divini senis petionem præcepit Nosocomium condi in medio sanctæ civitatis, primò quidem centum grabbatorum; præstituitque ei reditum purum annuum, solidorum mille octingentorum quinquaginta, dein verò ducentorum grabbatorum idem valetudinarium fieri imperavit, adjecitque totidem nummorum reditum purum & non caducum. Multum quoque adhibuit studium in exsequendo quarto senis postulatu, misitque Hierosolymam Theodorum quemdam machinarium & architectum, qui novam beatæ Deiparæ semperque Virginis Mariæ Ecclesiam ædificaret, ac præcepit Palæstinæ tractatoribus uti aurum ad ædificium subministrarent. Tum Petro Archiepiscopo summam ea in re auctoritatem tribuit, Barachum autem Bacathorum Episcopum ædificationis operibus præesse mandavit: atque ita multa manu & diligentia, spatio annorum duodecim constructa fuit Ecclesia laudatissimæ Deigenitricis, omnique ornatu instructa. Cujus venerandæ ædis magnitudem, ac resplendentem gloriam, ornamentorumque magnificentiam, enarrare superfluum est, cùm nostris pateat oculis, cunctaque superet vetera spectacula &

Procop. Pers. ii. 13.

* An deest ὀφθαλμοῖς

A ἐπισκόπους μεθ' ὅσης χρῄζουσι βοηθείας. ἐκέλευσε δὲ κατὰ τὴν τοῦ θείου πρεσβύτου τρίτην αἴτησιν νοσοκομεῖον κτισθῆναι ἐν τῷ μέσῳ τῆς ἁγίας πόλεως, ἑκατὸν μὲν τὸ πρῶτον κραββατίων, ἀφορίσας αὐτῷ πρόσοδον καθαρὰν ἐνιαύσιον, νομισμάτων χιλίων ὀκτακοσίων πεντήκοντα· μετέπειτα δὲ διακοσίων κραββατίων τὸ αὐτὸ ἐκέλευσε γενέσθαι νοσοκομεῖον, προσθεὶς τοσαύτην καθαρὰν καὶ ἀδιάπτωτον πρόσοδον. B σπουδὴν δὲ πολλὴν ἐχρήσατο καὶ τὴν τετάρτην πληρῶσαι αἴτησιν τοῦ πρεσβύτου, καὶ ἀποστέλλει ἐν Ἱεροσολύμοις Θεόδωρόν τινα μηχανικόν, ἐπὶ τῷ τὴν νέαν οἰκοδομῆσαι ἐκκλησίαν τῆς ἁγίας θεοτόκου καὶ ἀειπαρθένου Μαρίας· κελεύσας τοῖς πρακτευταῖς Παλαιστίνης χρυσίον ὑπουργῆσαι εἰς τὴν οἰκοδομήν· καὶ τῷ μὲν ἀρχιεπισκόπῳ Πέτρῳ τὴν αὐθεντίαν παρέσχε, Βαράχῳ δὲ C τῷ ἐπισκόπῳ Βακάθων τοῖς τῆς οἰκοδομῆς ἔργοις ἐπιστατεῖν ἐκέλευσε· καὶ οὕτως τῇ πολυχειρίᾳ καὶ σπουδῇ. διὰ δώδεκα χρόνων ᾠκοδομήθη ἡ νέα ἐκκλησία τῆς πανυμνήτου θεοτόκου, καὶ παντὶ κόσμῳ διεκοσμήθη. οὗ τινος σεβασμίου οἴκου τὸ μέγεθος καὶ τὴν ἀπαστράπτουσαν δόξαν, καὶ τὸ πολυτελὲς τῆς κοσμήσεως, περιττὸν τὸ διηγήσασθαι, τοῖς ἡμῶν προκειμένου * καὶ πάντα ὑπερβάλλοντος τὰ παλαιὰ θεάματα καὶ

διηγήματα, ὅσα θαυμάζουσιν ἄνθρωποι, καὶ ἱστορίαις διαδεδώκασιν Ἕλληνες. καὶ οὗτος μὲν τῆς τοῦ θείου Σάβα τετάρτης αἰτήσεως ὁ καρπός. ὁ δὲ εὐσεβέστατος ἡμῶν βασιλεὺς, ἰδὼν καὶ ἐπὶ τὴν πέμπτην τοῦ θείου Σάβα αἴτησιν, ποιεῖ διάταξιν πρὸς Σοῦμμον, κελεύουσαν χίλια νομίσματα ὑπὲρ οἰκοδομῆς κάστρου τῷ Ἀββᾷ Σάβᾳ δοθῆναι ἐκ τῶν Παλαιστίνης δημοσίων, καὶ παραφυλακὴν στρατιωτικὴν, ἐκ τοῦ δημοσίου λόγου ἀποτρεφομένην, καὶ φυλάττουσαν αὐτοῦ τὰ μοναστήρια. τοῦ τοίνυν θεοφυλάκτου ἡμῶν βασιλέως ἐν τούτοις ἀσχολουμένου μετὰ Τριβουνιανοῦ τοῦ κυαίστωρος, ἐπὶ τὴν καλουμένην * Μαγναῦραν, ὁ μακάριος Σάβας μικρὸν ἑαυτὸν διαχωρίσας, ἐστιχολόγει καθ' ἑαυτὸν Δαυιτικοὺς ψαλμοὺς, τὴν θείαν λειτουργίαν τῆς τρίτης ὥρας ἐπιτελῶν· εἷς δὲ τῶν μαθητῶν αὐτοῦ Ἱερεμίας καλούμενος διάκονος ὑπάρχων τῆς μεγίστης λαύρας, προσελθὼν αὐτῷ λέγει· τίμιε πάτερ, τοῦ βασιλέως τοσαύτην ἐπιδεικνυμένου σπουδὴν τὰς αἰτήσεις σου πληρῶσαι, διὰ τί αὐτὸς ἀποστὰς αὐτοῦ, ἵστασαι παρὰ μέρος; καὶ λέγει αὐτῷ ὁ γέρων· ἐκεῖνοι τέκνον, τὸ ἴδιον ποιοῦσι· ποιήσωμεν καὶ ἡμεῖς τὸ ἡμέτερον.

οδʹ. Καὶ ὁ μὲν βασιλεὺς ταῦτα πάντα διαταξάμενος, καὶ δοὺς τῷ ἁγίῳ πρεσβύτῃ τὰς κελεύσεις, ἀπέλυσεν ἐν εἰρήνῃ. ὁ δὲ θεὸς τῷ βασιλεῖ τὴν ἀντιμισθίαν παρέχει

A monumenta, quæ mirantur homines, quæ Græci in Historiis conscriptâ reliquere. Atque hic quidem quartæ petitionis divini Sabæ fructus exstitit. Denique piissimus Imperator noster ad quintum pariter divini Sabæ postulatum intendendo, constitutionem ad Summum facit, qua mille aureos ex Palæstinæ tributis dari jubebat Abbati Sabæ, in castri constructionem, necnon tribui præsidium militare, quod B ex publica pecunia aleretur, ejusque Monasteria custodiret. Cùm ergo à Deo conservatus noster Imperator in hisce una cum Triboniano quæstore in aula Magnaura dicta occuparetur, beatus Sabas parumper se sejunxit, atque apud se Davidicos Psalmos recitabat, divinumque tertiæ horæ officium peragebat: unus autem ex ejus discipulis, Hieremias vocatus; Diaconus maximæ C Lauræ, accedens ad eum dixit; Honorande pater, dum Imperator tantum exhibet studium in adimplendis petitionibus tuis, cur ipse ab eo secedens, seorsum stas? Respondit senex; Illi, fili, quod suum est faciunt; faciamus nos pariter quod nostrum est.

LXXIV. Et Imperator quidem his omnibus constitutis, datisque sancto seni jussionibus; dimisit eum in pace. Deus verò remunerationem Imperatori infinitè multiplicatam

* Metaphr. Μαγναύραν

A præbuit, ſeniſque prophetiam ad effectum perduxit. Qui Imperator paullo poſt tempore, duo tropæa erexit, & coronas duarum victoriarum tulit, quales nondum antea ulli præcedentium Imperatorum contigerat reportare. Africam enim & Romam à perduellionibus detentas recuperavit, duoſque reges adductos Conſtantinopolim vidit; atque ita terræ mariſque dimidiam partem brevi tempore Romanorum imperio reſtituit; tum Occidente toto à ſervitute memoratorum tyrannorum, qui Ariani erant, liberato, divinis conſtitutionibus edixit, Arianis ubique auferri Eccleſias, juxta divini ſenis mandatum, ſive prædictionem. Sed & præterea Neſtorii Origeniſque Hæreſes, ſtrenuè concitatus, evertit atque anathematizavit; cùm per edicta quæ publicavit; tum per ſanctam & œcumenicam ſeu univerſalem Synodum quintam, nunc Conſtantinopoli congregatam. Verùm hæc poſtea. Divinus autem ſenex, poſt abſciſſos, uti dictum eſt, à ſuo comitatu & cœtu Leontium Byzantinum, eoſque qui Theodoro Mopſueſteno adhærebant, illis Conſtantinopoli relictis, in Palæſtinam appulit, menſe Septembri, Indictione nona. Et Hieroſolymam profectus, divina juſſa manifeſta fecit, quodque ex Byzantio detulerat

μυριοπλασίως, καὶ τὴν τοῦ πρεσβύτου προφητείαν ἐπλήρωσεν. ὅστις βασιλεὺς, ὀλίγου χρόνου διελθόντος δύο τρόπαια ἔστησε, νίκας δύο ἀναδησάμενος, οἵας οὔπω πρότερον οὐδενὶ τῶν προβεβασιλευκότων διαπεπρᾶχθαι συνέβη. τὴν γὰρ Ἀφρικὴν καὶ Ῥώμην ὑπὸ ἀνταρτῶν κρατουμένας παρέλαβε, καὶ τοὺς δύο βασιλεῖς εἰσαχθέντας ἐν Κωνσταντινουπόλει ἴδεν· καὶ οὕτως γῆς τε καὶ θαλάσσης τὴν ἡμίσειαν μοῖραν ἐν ὀλίγῳ χρόνῳ τῇ τῶν Ῥωμαίων βασιλείᾳ ἀνενεώσατο· καὶ ἐλευθερώσας

B πᾶσαν τὴν δύσιν τῆς τῶν εἰρημένων τυράννων Ἀρειανῶν ὄντων δουλείας, θείαις ἐχρήσατο διατάξεσιν, ὥστε τὰς πανταχοῦ τῶν Ἀρειανῶν ἐκκλησίας ἀφαιρεθῆναι, τῇ τοῦ θείου πρεσβύτου ἑπόμενος ἐντολῇ, ἤγουν προφητείᾳ· οὐ μὴν ἀλλὰ καὶ τὰς Νεστορίου καὶ Ὠριγένους αἱρέσεις, γενναίως διαναστὰς, ἀνέτρεψέ τε καὶ ἀνεθεμάτισε· διά τε τῶν ὑπ' αὐτοῦ γενομένων ἰδίκτων, καὶ διὰ τῆς νῦν συναθροισθείσης ἐν Κωνσταντινουπόλει ἁγίας καὶ οἰκουμενικῆς

C συνόδου πέμπτης. καὶ ταῦτα μὲν ὕστερον. ὁ δὲ θεῖος πρεσβύτης, ἀποστήσας ὡς εἴρηται τῆς ἑαυτοῦ συνοδίας Λεόντιόν τε τὸν Βυζάντιον, καὶ τοὺς Θεοδώρῳ τῷ Μομψουεστίας προσκειμένους, καὶ τούτους ἐν Κωνσταντινουπόλει καταλιπὼν, κατέπλευσεν ἐπὶ Παλαιστίνην, μηνὶ Σεπτεμβρίῳ τῆς ἐνάτης ἰνδικτιόνος. καὶ ἐλθὼν εἰς Ἱεροσόλυμα, τὰς μὲν θείας κελεύσεις ἐνεφάνισεν· ὅπερ δὲ ἤγαγεν ἀπὸ τοῦ Βυζαντίου

χρυσίον, διένειμεν τοῖς ὑπ' αὐτὸν μοναστηρίοις. τότε ὁ ἀνωτέρω μνημονευθεὶς διάκονος Ἱερεμίας, λυπηθεὶς διὰ τὴν τοῦ χρυσίου διανομὴν, ἀνεχώρησε τῆς μεγίστης λαύρας, καὶ ᾤκησεν εἰς χείμαῤῥόν τινα ἔρημον, ἐκ βοῤῥᾶ τοῦ σπηλαίου, ὡς ἀπὸ πέντε σταδίων. ὁ δὲ πατὴρ Σάβας ἀπελθὼν πρὸς αὐτὸν, καὶ τὸν τόπον θεασάμενος, ἐχάρη σφόδρα· καὶ λαβὼν τινὰς ἐπιτηδείους, καὶ σκεύη καὶ χρήματα καὶ ἀναλώματα, ἐν ὀλίγαις ἡμέραις, σπουδῇ πολλῇ χρησάμενος, ᾠκοδόμησεν ἐκεῖσε μικρὸν εὐκτήριον, καὶ κελλία διάφορα, καὶ ἔδωκεν αὐτόθι ἀδελφοὺς μένειν, ἐπιτρέψας τῷ Ἱερεμίᾳ διοικεῖν αὐτοὺς, παραδοὺς αὐτοῖς τοὺς τῆς αὐτοῦ μεγίστης λαύρας κανόνας.

οε'. Τῶν θείων τοίνυν ὡς εἴρηται κελεύσεων ἐμφανισθεισῶν εἰς Ἱεροσόλυμα, παρακληθεὶς ὁ πατὴρ Σάβας ὑπό τε τοῦ ἀρχιεπισκόπου καὶ τῶν λοιπῶν ἐπισκόπων, ἀπέρχεται ἐπὶ Καισάρειαν καὶ Σκυθόπολιν, τὰς αὐτὰς κἀκεῖσε ἐμφανίσαι κελεύσεις. καὶ ἐλθόντος αὐτοῦ ἐν Σκυθοπόλει ὡς ἴστε, ἐξῆλθεν ὁ μητροπολίτης Θεοδόσιος μετὰ παντὸς τοῦ λαοῦ εἰς ἀπάντησιν αὐτοῦ· ἐν οἷς ἦν καὶ ὁ ἐμὸς πατὴρ, τοῦ ἐπισκοπείου τὸ τηνικαῦτα κρατῶν, καὶ τῷ μητροπολίτῃ συνεδρεύων· καὶ τῶν κελεύσεων ἐμφανισθεισῶν, εἰσενεχθεὶς ὁ μέγας πρεσβύτης ἐν τῷ ἐπισκοπείῳ κατέμενεν ἐν τῷ ἐκεῖσε οἴκῳ τοῦ ἁγίου μάρτυρος Προκοπίου, ἔχων τὸν ἐμὸν πατέρα ἀναπόσπαστον·

A aurum Monasteriis suis distribuit. Tunc suprà memoratus Diaconus Hieremias, mærore affectus propter auri distributionem, à maxima Laura secessit, & in deserto quodam torrente habitavit, ex Speluncæ Borea, quasi ad quinque stadia. At pater Sabas ad eum perrexit, conspectoque loco, valde gavisus est; & assumens quosdam idoneos, cum vasis, pecuniis, ac impensis, multa cum diligentia per dies pau-
B cos illic parvum oratorium erexit, variasque cellas, & concessit fratres illic manere, commisitque eorum gubernationem Hieremiæ, tradens ipsis magnæ Lauræ regulas.

LXXV. Divinis ergo seu Imperialibus jussis, quemadmodum relatum est, apud Hierosolymam promulgatis, oratus ab Archiepiscopo & cæteris Episcopis pater Sabas, ad
C Cæsaream atque Scythopolim abiit, ut eadem jussa illic quoque publicaret. Cúmque Scythopolim venisset, sicut scitis, obviam ei processit Metropolita Theodosius cum omni plebe; in quibus erat etiam pater meus, tunc temporis Episcopii curator, & Metropolitani assessor: atque post jussa evulgata, introductus magnus senex in Episcopale palatium, illic in ædibus sancti Martyris Procopii mansit, patrem verò meum indivulsum habebat;

A me autem, qui puer eram, & patrem comitabar, atque ad divinis senis pedes accideram, benedixit, erexit, complexus est sanctus senex, dixitque patri meo; Hic puer à præsenti tempore discipulus meus est, patrum solitudinis filius. Ad Metropolitam verò ait, Domine magne, hunc ego tibi puerum commendo, attende ipsi, quia illo egeo. Nunciata porrò hæc fuere matri meæ, ex narratione patris; & expetiit sanctum senem adorare B seu salutare. Cúmque is in loca sancto Thomæ finitima progressurus esset ad Abbatem Procopium solitarium, re per indicium patris compertâ, mater mea assumpto me egressa est ad idem Apostolium, hoc est Apostolicum templum; tum senem illic consistentem seorsum capiens pater, matrem ad adorationem duxit, & qui cognosceret senex eam esse ancillam Dei, benedictione eamdem donavit; atque intuitus C me ait; Ecce discipulus meus Cyrillus; ego me in modum pœnitentis inclinavi, ipse postquam benedixit me & erexit, dixit ad patrem; Doce eum Psalterium, quia ejus indigeo; etenim ab hoc tempore discipulus meus est. Quibus dictis, illam prius benedictam sic dimisit; meque cum patre retinuit. Ingressi autem ad Abbatem Procopium, cibum sumpsimus, & venimus in

Allat. De lib. Eccl Græc. 1. 54.

ἐμὲ δὲ παῖδα ὄντα καὶ μετὰ τοῦ πατρὸς εὑρεθέντα, καὶ τοῖς τοῦ θείου πρεσβύτου ποσὶ προσπεσόντα, εὐλογήσας ὁ ἅγιος γέρων, καὶ ἀναστήσας καὶ ἀναπτυξάμενος, τῷ ἐμῷ πατρὶ ἔφη· οὗτος ὁ παῖς ἀπὸ τοῦ νῦν ἐμὸς μαθητής ἐστι, καὶ τῶν τῆς ἐρήμου πατέρων υἱός. εἶπε δὲ πρὸς τὸν μητροπολίτην· κύρι ὁ μέγας, τοῦτον ἐγὼ σοι παρατίθημι τὸν παῖδα, πρόσχε αὐτῷ, ὅτι χρήζω αὐτοῦ. ἀνηγγέλη δὲ ταῦτα τῇ ἐμῇ μητρί, τοῦ πατρὸς αὐτῇ διηγησαμένου· καὶ ἐζήτει τὸν ἅγιον γέροντα προσκυνῆσαι. τοῦ δὲ εἰς τοὺς περὶ τὸν ἅγιον Θωμᾶν τόπους ἐξιέναι μέλλοντος πρὸς τὸν Ἀββᾶν Προκόπιον τὸν ἡσυχαστήν, ἀκούσασα ἡ μήτηρ μου, τοῦ πατρὸς αὐτῇ δηλώσαντος, ἐξῆλθε λαβοῦσά με εἰς τὸ αὐτὸ ἀποστολεῖον· καὶ τὸν πρεσβύτην αὐτόθι ἐλθόντα λαβὼν ὁ πατὴρ παρὰ μέρος, ἤγαγεν εἰς προσκύνησιν τὴν μητέρα· καὶ γνοὺς αὐτὴν ὁ γέρων εἶναι δούλην τοῦ θεοῦ, εὐλόγησεν αὐτήν· καὶ θεασάμενός με λέγει· ἰδοὺ ὁ μαθητής μου Κύριλλος· καὶ ποιήσαντά με μετάνοιαν, εὐλογήσας καὶ ἀναστήσας εἶπε πρὸς τὸν πατέρα· δίδαξον αὐτὸν τὸ ψαλτήριον, ὅτι χρήζω αὐτοῦ· καὶ γὰρ ἀπὸ τοῦ νῦν μαθητής μου ἐστί. καὶ ταῦτα εἰπών, ἐκείνην μὲν εὐλογήσας ἀπέλυσεν· ἐμὲ δὲ μετὰ τοῦ πατρὸς ἐκράτησεν. εἰσελθόντες δὲ πρὸς τὸν Ἀββᾶν Προκόπιον, καὶ γευσάμενοι, ἤλθομεν εἰς τὸ

ἐπισκοπεῖον. καὶ τῇ ἑξῆς ἡμέρᾳ μέλλων ὁδεύσαι ἐπὶ Ἱεροσόλυμα ὁ πρεσβύτης, ἦλθε μετὰ τοῦ πατρὸς εἰς τὸν οἶκον, καὶ ποιήσας εὐχὴν, καὶ εὐλογήσας τὸν πατέρα καὶ τὴν μητέρα καὶ ἐμὲ, ἐξῆλθεν ἀπὸ Σκυθοπόλεως, μετὰ τῶν σὺν αὐτῷ ὁσίων πατέρων. νομίζω δὲ τίμιε πάτερ, ὅτι περὶ ταῦτα εἰδέναι εἴρηκάς μοι, ἡνίκα συνεβούλευσάς μοι τὴν τοῦ μακαρίου Σάβα λαύραν οἰκῆσαι. ἀμέλει τοι ἐμοῦ εἰρηκότος, ὅτι καὶ ἡ νέα λαύρα δι' αὐτοῦ συνέστη, μάλιστα διωχθέντων τῶν Ὠριγένους ὑπασπιστῶν, ἀπεκρίθης λέγων· ναὶ ναὶ κἀγὼ οἶδα· ἀλλὰ κρεῖττόν ἐστιν οἰκῆσαί σε εἰς τὴν ἔχουσαν τὴν ἐκείνου ἐπωνυμίαν λαύραν· καὶ οἶδα ὅτι πάντως ἀποβήσεται· ἵνα καὶ ἐν τούτῳ προφήτης ἀναδειχθῇ ὁ μέγας πατὴρ ἡμῶν Σάβας καὶ ταῦτα μὲν τὰ παρ' ὑμῶν πρὸς ἐμὲ λεχθέντα. ἐγὼ δὲ θεοῦ θέλοντος, ἑτοίμως ἔχω κελλίον ἐμαυτῷ οἰκοδομῆσαι ἐν τῇ αὐτῇ μεγίστῃ λαύρᾳ, καὶ ἐν αὐτῇ τὴν οἴκησιν ἔχειν· πρὸς τὸ πληρωθῆναι τήν τε ἐκείνου ὡς εἴρηται προφητείαν, καὶ τὴν κέλευσιν τῆς ὑμετέρας ὁσιότητος. ὁ μέντοι μητροπολίτης πυκνότερον ἀπὸ τότε χαριέντως ἔλεγε τῷ ἐμῷ πατρί. πῶς ἔχει ὁ μαθητὴς τοῦ Ἀββᾶ Σάβα· ἅμα δὲ καὶ κατεπείγων αὐτὸν, τό τε ψαλτήριον διδάξαι με καὶ τὸν ἀπόστολον· καὶ οὕτως εὐλογήσας με, καὶ ἀποθρίξας, ἐν τῇ ἀρχῇ τῶν ἐκκλησιαστικῶν κατέστησέ με.

A Episcopium. Ac die sequenti iter ad Hierosolyma suscepturus senex, in domum cum patre accessit, precem fecit, patrem, matrem, & me benedixit, exiitque è Scythopoli, cum sanctis patribus qui erant comites ejus. Arbitror autem, venerande pater, te mihi quòd hæc scires dixisse, quando consilium dedisti, beati Sabæ Lauram habitandi. Scilicet cùm ego dicerem, novam quoque Lauram ab eo consti-
B tutam fuisse, expulsis præsertim Origenis propugnatoribus, in hæc verba respondisti; Næ næ ego quoque novi; sed præstat te habitare in Laura quæ nomen illius gerit, & scio ita planè eventurum, ut in hoc etiam propheta esse ostendatur magnus pater noster Sabas. Et hæc quidem à vobis mihi dicta fuere. Ego autem Deo volente, paratus sum ad cellam mihi in ipsa magna Laura alacriter ædifi-
C candam, eamque incolendam, quò illius prædictio jam memorata complementum accipiat, ac tuæ pariter sanctitatis præceptum. Itaque Metropolita frequenter postea patrem meum cum urbanitate interrogabat; Quo modo habet beati Sabæ discipulus; simulque urgebat eum, uti doceret me Psalterium & Apostolum; atque ita benedictione me donatum, ac tonsurâ, in principio Ecclesiasticorum graduum

constituit. Igitur post præceptiones vulgatas, & damna quæ contigerant inspecta, primæ quidem Palæstinæ, ut quæ totam Samariam contineat, duodecim centenariorum ex publicis vectigalibus remissionem fecerunt; finibus verò Scythopoleos, unius tantùm centenarii remissionem donandam Episcopi senserunt, quòd illic non multæ grassationes contigissent. Pro Ecclesiis autem quæ incensæ fuerant, Episcopi Palæstinæ accepta sufficienti auri summa, quamlibet combustam Ecclesiam ampliter prout decuit erexerunt.

* Al. δοθῆναι

LXXVI. At magnus pietatis pugil Sabas, post impletum in gratiam Christianorum ministerium, Hierosolymam rediit; & cum gaudio à Patriarcha susceptus, venerabilia loca cùm adorasset, iisque quasi valedixisset, in suam Lauram maximam profectus est. Ubi pauco tempore transacto, in morbum incidit. Quod comperiens sanctissimus Archiepiscopus Petrus, ad eum visitandum descendit; cernensque nihil eumdem habere solatii in cella, præter siliquas paucas & veteres palmulas, impositum lecticæ ad Episcopalem domum adduxit, ejusque ibi curam gerebat, propriisque manibus ipsi ministrabat. Porrò aliquot diebus interjectis, revelationem accepit viditque pater noster Sabas,

A βαθμῶν. τοιγαροῦν ἐμφανισθεισῶν τῶν κελεύσεων, καὶ τῶν γενομένων ἀφανισμῶν ἐποπτευθέντων, τῇ μὲν πρώτῃ Παλαιστίνῃ, ὡς τὴν πᾶσαν Σαμάρειαν ἐχούσῃ, δώδεκα κεντηναρίων συγχώρησιν ἐποιήσαντο δημοσίων· τοῖς δὲ ὁρίοις Σκυθοπόλεως, ἑνὸς καὶ μόνου κεντηναρίου συγχώρησιν * δωρηθῆναι συνεῖδον οἱ ἐπίσκοποι, ὡς μὴ πολλῶν αὐτόθι γεγονότων ἀφανισμῶν. ὑπὲρ δὲ τῶν καυθεισῶν ἐκκλησιῶν, λαβόντες οἱ Παλαιστίνης B ἐπίσκοποι χρυσίον ἱκανόν, ἑκάστην καυθεῖσαν ἐκκλησίαν ἀνήγειραν δαψιλῶς καὶ πρεπόντως.

ος'. Ὁ δὲ μέγας τῆς εὐσεβείας ἀγωνιστὴς Σάβας, τὴν ὑπὲρ Χριστιανῶν πληρώσας διακονίαν, ὑπέστρεψεν εἰς Ἱεροσόλυμα· καὶ μετὰ χαρᾶς ὑπὸ τοῦ πατριάρχου εἰσδεχθεὶς, καὶ τοὺς σεβασμίους προσκυνήσας τόπους, καὶ οἱονεὶ συνταξάμενος αὐτοῖς, ἦλθεν εἰς τὴν ἑαυτοῦ μεγίστην λαύραν. καὶ ὀλίγον χρόνον C διατελέσας, ἀρρωστίᾳ περιέπεσεν. ὅπερ μαθὼν ὁ ἁγιώτατος ἀρχιεπίσκοπος Πέτρος, κατῆλθεν ἐπισκέψασθαι αὐτόν· καὶ βλέπων αὐτὸν μὴ ἔχοντά τινα παραμυθίαν ἐν τῷ κελλίῳ, πλὴν ὀλίγων κερατίων καὶ φοινίκων παλαιῶν, βαλὼν αὐτὸν εἰς λεκτίκην, ἔλαβεν εἰς τὸ ἐπισκοπεῖον, καὶ ἐπεμελεῖτο αὐτοῦ, καὶ ἰδίαις χερσὶν ὑπηρέτει αὐτῷ. ἡμερῶν δὲ ὀλίγων διαγενομένων, ἀποκάλυψίν τινα ἑώρακεν ὁ πατὴρ ἡμῶν Σάβας,

τὴν ἑαυτοῦ μηνύουσαν κοίμησιν οὐ μετὰ A πολλὰς ἔσεσθαι ἡμέρας· ἥντινα τῷ ἀρχιεπισκόπῳ ἀπαγγείλας, παρεκάλει ἀπολυθῆναι. ὁ δὲ ἀρχιεπίσκοπος πᾶσι τρόποις βουλόμενος αὐτὸν θεραπεῦσαι, ἀπέστειλεν αὐτὸν εἰς τὴν ἑαυτοῦ λαύραν μετὰ τῆς δεούσης θεραπείας. ὅστις πρεσβύτης ἐν τῷ ἰδίῳ ἀνακλιθεὶς πυργίῳ, ἐν ἀρχῇ τοῦ Δεκεμβρίου μηνὸς, προσκαλεσάμενος τοὺς πατέρας τῆς λαύρας, ἔδωκεν αὐτοῖς τινὰ ἡγούμενον, Βηρύτιον μὲν τῷ γένει, Μελιτᾶν δὲ τῇ κλήσει· παραγγείλας B αὐτῷ τὰς παραδόσεις τὰς παραδοθείσας ἐν τοῖς ὑπ' αὐτὸν μοναστηρίοις ἀτρώτους διαφυλάξαι, δοὺς αὐτῷ ταύτας ἐγγράφως. καὶ διαμείνας τέσσαρας ἡμέρας μηδενὸς μεταλαμβάνων, μήδε τινὶ συντυγχάνων, ὀψὲ σαββάτων, αἰτήσας κοινωνίαν, καὶ κοινωνήσας, καὶ εἰπὼν τελευταῖον, κύριε εἰς χεῖράς σου παραθήσομαι τὸ πνεῦμά μου, παρέδωκε τὴν ψυχήν.

quæ ipsius obitum indicabat non post multos dies fore; quam ubi Archiepiscopo renunciavit, hortatus est ut dimitteretur. Tum Archiepiscopus quòd vellet omnibus modis ei satisfacere, misit eum cum convenienti curatione in Lauram suam. Qui senex in propria discumbens turricula, initio mensis Decembris, convocatis Lauræ patribus, dedit illis quemdam præpositum, Berytium genere, appellatione Melitam; adhortatus eum, ut constitutiones suis Monasteriis traditas inviolatas servaret, quas ei scriptas tribuit. Cúmque dies quatuor transegisset, nihil sumendo, & cum nullo congressus, vesperè Sabbati, petitâ communione atque acceptâ, postquam postremò dixit; *Domine in manus tuas commendabo spiritum meum*; animam dedidit. Ps. xxxi. 6.

οζ'. * Οὗτος ὁ πατὴρ ἡμῶν Σάβας τὸν καλὸν ἀγῶνα ἀγωνισάμενος, C τόν τε δρόμον τελέσας, καὶ τὴν πίστιν τηρήσας, τῷ τῆς δικαιοσύνης κατεκοσμήθη στεφάνῳ. καὶ ἡ μὲν τελείωσις αὐτοῦ γέγονε κατὰ τὴν πέμπτην τοῦ Δεκεμβρίου μηνὸς, τῆς δεκάτης * ἰνδικτιόνος· ἀπὸ μὲν κτίσεως κόσμου, ἀφ' οὗπερ ἤρξατο χρόνος τῇ τοῦ ἡλίου φορᾷ μετρεῖσθαι, ἔτους τετάρτου εἰκοστοῦ ἑξακισχιλιοστοῦ· ἀπὸ δὲ τῆς τοῦ θεοῦ λόγου * ἐμπαρθένου ἐνανθρωπήσεως καὶ κατὰ σάρκα γεννήσεως, ἔτους

LXXVII. Ita hic pater noster Sabas, qui bonum certamen certavit, cursum consummavit, fidem servavit, corona etiam justitiæ decoratus est. Atque ipsius mors contigit quinto Decembris mensis, Indictione decima; à creatione quidem mundi, ex quo tempus cœpit cursu solis mensuram habere, anno sexies millesimo & vigesimo quarto; à Dei Verbi autem Incarnatione ex Virgine, & nativitate secundùm carnem, anno

* Cod. Cæsar. οὕτως

II. Tim. IV. 7. 8.

* Al. ἰνδικτιῶνος

* Al. ἐκ παρθένου

vigesimo quarto supra quingentesimum, juxta tempora conscripta à sanctis nostris patribus, Hippolyto illo antiquo Apostolorum familiari, Epiphanio Cypriorum Archipræsule seu Archiepiscopo, ac Herone Philosopho & Confessore. Ratio autem temporis vitæ ipsius in corpore hæc est; In Palæstinam venit annos natus decem & octo, mansit in Cœnobio annis septemdecim, & in solitudinibus maximaque Laura annos transegit quinquaginta novem; obiit verò ætatis suæ anno nonagesimo quarto, post Consulatum Lampadii & Orestis secundo, sexto præsentis à Deo protecti Imperii. Cæterùm obdormitionis ejus famâ per omnem finitimam regionem pervagatâ, coiit immensa turba Monachorum & Laicorum, adfuit quoque sanctissimus Patriarcha Petrus cum Episcopis qui inventi sunt, & sanctæ civitatis primoribus. Atque in eum modum honorabile ipsius corpus in maxima Laura depositum est, inter duas Ecclesias, quo loco columnam ignis viderat.

* Al. ἀρχιεπισκόπου

* Al. δέκα καὶ ὀκτὼ ὑπάρχων ἐτῶν

* Al. inser. καὶ

* Al. ὑπατείαν

A τετάρτου εἰκοστοῦ πεντακοσιοστοῦ, κατὰ τοὺς συγγραφέντας χρόνους ὑπὸ τῶν ἁγίων πατέρων ἡμῶν, Ἱππολύτου τε τοῦ παλαιοῦ καὶ γνωρίμου τῶν ἀποστόλων, καὶ Ἐπιφανίου τοῦ τῶν Κυπρίων * ἀρχιερέως, καὶ Ἥρωνος τοῦ φιλοσόφου καὶ ὁμολογητοῦ. ὁ δὲ χρόνος τῆς αὐτοῦ ἐν σαρκὶ ζωῆς οὗτός ἐστιν. ἦλθεν μὲν ἐν Παλαιστίνῃ, * ἐτῶν δεκαοκτὼ, καὶ ἔμεινεν ἐν τῷ κοινοβίῳ ἔτη δεκαεπτά· καὶ ἐν τοῖς ἐρήμοις καὶ B τῇ μεγίστῃ λαύρᾳ ἐποίησεν ἔτη πεντήκοντα * ἐννέα· τελευτᾷ δὲ τῷ ἐνενηκοστῷ τετάρτῳ τῆς ἑαυτοῦ ἡλικίας χρόνῳ, μετὰ τὴν * ὑπατίαν Λαμπαδίου καὶ Ὀρέστου τὸ δεύτερον, τῷ ἕκτῳ ἔτει τῆς παρούσης θεοφυλάκτου βασιλείας. φήμης δὲ διαδραμούσης καθ' ὅλης τῆς περιχώρου τῆς τούτου κοιμήσεως, συνήγαγεν ἄπειρον ὄχλον μοναχῶν τε καὶ λαϊκῶν. παρεγένετο δὲ καὶ ὁ ἁγιώτατος πατριάρχης Πέτρος μετὰ τῶν εὑρεθέντων ἐπισκόπων, καὶ τῶν τῆς C ἁγίας πόλεως λογάδων. καὶ οὕτως τὸ τίμιον αὐτοῦ κατετέθη λείψανον ἐν τῇ μεγίστῃ λαύρᾳ, μεταξὺ τῶν δύο ἐκκλησιῶν, ἐν ᾧ τόπῳ τὸν στύλον τοῦ πυρὸς ἑώρακε.

LXXVIII. Verumtamen non mortuus est sanctus hic, sed dormit, utpote qui vitam itreprehensam duxerit, sicut scriptum est; *Anima justorum in manu Dei sunt, & non tanget illos tormentum.* Certè corpus etiam ipsius salvum nec dissolutum in sepulcro ad hanc

Sap. III. 1.

οη'. Πλὴν ὅτι οὐκ ἀπέθανεν οὗτος ὁ ἅγιος, ἀλλὰ καθεύδει, ὡς ἀνεπίληπτον βίον ζήσας, καθὼς γέγραπται· ψυχαὶ δικαίων ἐν χειρὶ θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. ἀμέλει τοι καὶ τὸ σῶμα αὐτοῦ σῶον ἐν τῷ τάφῳ

καὶ ἀδιάλυτον μέχρι τῆς σήμερον πεφύλακται. τοῦτο γὰρ ἐγὼ αὐταῖς ὄψεσιν ἐθεασάμην, ἐπὶ τῆς παρελθούσης ἰνδικτιόνος. τῆς γὰρ τιμίας θήκης διανοιχθείσης, πρὸς τὸ κατατεθῆναι τὸ τοῦ μακαρίου Κασσιανοῦ τὸ λείψανον, κατέβην προσκυνῆσαι τὸ θείου πρεσβύτου τὸ λείψανον, καὶ ηὗρον αὐτὸ σῶον καὶ ἀδιάλυτον πεφυλαγμένον· καὶ θαυμάσας ἐδόξασα τὸν θεὸν, τὸν δοξάσαντα τὸν δοῦλον αὐτοῦ, καὶ τῇ ἀφθαρσίᾳ τιμήσαντα αὐτὸν πρὸ τῆς κοινῆς καὶ καθολικῆς ἀναστάσεως. καὶ ταῦτα μὲν περὶ τοῦ ἁγίου αὐτοῦ λειψάνου. τὸ δὲ πνεῦμα αὐτοῦ πολλῆς ἠξίωται πρὸς θεὸν παῤῥησίας· ἧς τὴν ἀκτῖνα δι' ὀλίγων παραδεῖξαι πειράσομαι. ἔστι τις ἐν ἁγίᾳ πόλει ἀργυροκόπος, τῷ μὲν γένει Δαμασκηνὸς, τῷ δὲ ὀνόματι Ῥώμυλος, διάκονος τῶν πρώτων τῆς ἁγίας Γεθσημανί. οὗτος ἐμοὶ ὁ Ῥώμυλος διηγήσατο λέγων, ὅτι κατὰ τὸν καιρὸν τῆς κοιμήσεως τοῦ μακαρίου Σάβα, ἐσυλήθη τὸ ἀργυροκοπεῖόν μου, καὶ ἀπώλοντο μέχρις που ἀργυρίου λιτρῶν ἑκατόν. ἐγὼ δέ φησιν εὐθέως ἐξῆλθον εἰς τὸ μαρτύριον τοῦ ἁγίου Θεοδώρου, καὶ ἐποίησα ἐπὶ πέντε ἡμέρας τὰ φῶτα τοῦ ναοῦ, καὶ ἔμεινα νυκτὸς καὶ ἡμέρας κλαίων ἐπὶ τῶν καγκέλλων τοῦ θυσιαστηρίου. περὶ δὲ τὸ μεσονύκτιον τῆς πέμπτης ἡμέρας, εἰς ὕπνον ἡρπάγην, καὶ θεωρῶ τὸν ἅγιον τοῦ Χριστοῦ μάρτυρα Θεόδωρον λέγοντά μοι· τί ἔχεις; τί ἀδημονεῖς τοσοῦτον καὶ κλαίεις; ὡς δὲ εἶπον, ὅτι τὰ ἴδια

A usque diem conservatum est. Id enim ego ipsis oculis conspexi superiori Indictione. Nam pretioso loculo adaperto, ad deponendum corpus beati Cassiani, descendi ut divini senis corpus adorarem, nactusque sum illud integrum & insolutum manere, ac demiratus glorificavi Deum qui gloria affecit servum suum, cumque incorruptione honoravit, ante communem universalemque resurrectionem. Et hæc quidem
B de sanctis ejus reliquiis sufficiant. Verùm spiritus ejus ingenti donatus est erga Deum fiducia; cujus libertatis radium paucis exhibere conabor. Est quidam in sacra urbe argentarius, genere Damascenus, Romulus nomine, Diaconus inter primos sanctæ Gethsemani. Hic Romulus mihi ita narravit; Tempore dormitionis beati Sabæ, officina mea argentaria compilata est, & amissæ sunt centum circiter argenti
C libræ. Ego verò, inquit, statim ad sancti Theodori Martyrium perrexi, & per quinque dies templi lumina suppeditavi, mansique die ac nocte plorans ad altaris cancellos. Circa mediam porrò noctem diei quintæ, in somnum raptus sum, & aspicio sanctum Christi Martyrem Theodorum, dicentem mihi; Quid habes? Quare adeò mæres ac lamentaris? Postquam autem respondi; Quoniam perditis

tum propriis tum alienis, per A tot dies tristitiâ conteror, nec quidquam profeci; excipit sanctus; Persuasum habeto, non eram hìc. Jussi namque sumus concurrere, ac sanctæ Abbatis Sabæ animæ obviam ire, eamque deducere ad locum requiei. Nunc verò vade ad illum locum, reperiesque illic fures & argentum. Tum eadem ipsa hora surgens, assumptis aliis quibusdam, abii in locum qui mihi à sancto indicatus est; B atque ita invenimus, sicut per visum significatum fuerat.

* f. Prap. ἦσαν

LXXIX. Erant duo secundùm carnem fratres, ex campestri regione orti, è villa Buriorum, qui fidem habebant erga sanctum Sabam: unde & eos qui ab ipsius Monasteriis illuc ad ministerium deveniebant, fide susceptos reficiebant; studiumque præterea gerebant labores suos distribuendi juxta Dei placitum. Porrò efficientiâ Satanæ, ambo tem- C pore vindemiæ adeò ægrotarunt, ut à suis desperarentur. Cúmque ipsi contristarentur ob vindemiam perditam, & in recordationem sancti Sabæ venissent, preces illius ad auxilium invocabant. Tum utrique seorsum apparet, dicens; Ecce Deum oravi pro sanitate vestra, qui petitioni meæ annuit: itàque in nomine Jesu Christi veri Dei, surgite, ad opus vestrum egredimini. At illi confestim convalescentes,

A καὶ τὰ ἀλλότρια ἀπολέσαι, τοσαύτας ἡμέρας συντρίβομαι, καὶ οὐδὲν ὠφέλησα· λέγει μοι ὁ ἅγιος· πέπεισο, οὐκ ἤμην ὧδε· ἐκελεύσθημεν γὰρ συνδραμεῖν, καὶ τῇ ἁγίᾳ τοῦ Ἀββᾶ Σάβα ψυχῇ ἀπαντῆσαι, καὶ ὁδηγῆσαι ταύτην εἰς τὸν τῆς ἀναπαύσεως τόπον. καὶ τὰ νῦν πορεύου εἰς τόνδε τὸν τόπον, καὶ εὑρήσεις τοὺς κλέψαντας αὐτόθι καὶ τὸν ἄργυρον. καὶ ἀναστὰς αὐτῇ τῇ ὥρᾳ, καὶ λαβὼν ἄλλους τινὰς, B ἀπῆλθον εἰς τὸν ὑπὸ τοῦ ἁγίου μηνυθέντα τόπον· καὶ εὕρομεν οὕτως, καθὼς διὰ τῆς ὀπτασίας ἐμηνύθη.

οθʹ. * Δύο τινὲς ἀδελφοὶ κατὰ σάρκα ἐκ τῆς πεδιάδος ὁρμώμενοι, ἀπὸ Βουρίων τῆς κώμης, πίστιν ἔχοντες εἰς τὸν ἅγιον Σάβαν· ὅθεν καὶ τοὺς ἀπὸ τῶν αὐτοῦ μοναστηρίων ἐκεῖσε εἰς διακονίαν κατερχομένους, πίστει δεχόμενοι ἐθεράπευον· ἐσπούδαζον δὲ καὶ τοὺς ἑαυτῶν πόνους θεαρέστως διανέμειν. ἐξ ἐνεργείας δέ τινος σατανικῆς, ἐν C τῷ καιρῷ τοῦ τρυγητοῦ, τοσοῦτον οἱ ἀμφότεροι ἠῤῥώσθησαν, ὥστε ὑπὸ τῶν ἰδίων ἀπογνωσθῆναι. αὐτῶν δὲ λυπουμένων διὰ τὴν ἀπώλειαν τοῦ τρυγητοῦ, καὶ εἰς ἀνάμνησιν τοῦ Ἀββᾶ Σάβα ἐλθόντων, τὰς εὐχὰς αὐτοῦ ἐκάλουν εἰς βοήθειαν. καὶ ἐπιφαίνεται ἑκάστῳ αὐτῶν κατ' ἰδίαν λέγων· ἰδοὺ ἐδεήθην τοῦ θεοῦ ὑπὲρ τῆς ὑγείας ὑμῶν, καὶ ἐχαρίσατό μοι τὴν αἴτησιν· τοίνυν ἐν ὀνόματι Ἰησοῦ Χριστοῦ τοῦ ἀληθινοῦ θεοῦ, ἀναστάντες ἐξέλθετε εἰς τὸ ἔργον ὑμῶν. οἱ δὲ παραχρῆμα ἐνδυναμωθέντες,

ἀπῆλθον εἰς τὸ ἔργον αὐτῶν, ἀπαγγέλλοντες τοῖς ἰδίοις τὸ θαῦμα· καὶ ἀπὸ τότε κατ᾽ αὐτὴν τὴν τῆς θαυματουργίας ἡμέραν, πάνδημον ἑορτὴν ὅλῳ τῷ ἑαυτῶν ἐπιτελοῦσι κτήματι.

π΄. Γυνή τις ἐκ τῆς καθ᾽ ἡμᾶς μητροπόλεως ὁρμωμένη, Γηναροῦς καλουμένη, δύο κορτίνας ἐτάξατο ποιῆσαι τῷ Καστελλίῳ, καὶ τῷ Σπηλαίῳ. πάσης δὲ τῆς λειτουργίας ἑτοιμασθείσης, αἱ συνθέμεναι ὑφᾶναι, τὰ δόξαντα ἠθέτησαν. τῆς δὲ Γηναροῦς σφόδρα λυπηθείσης, φαίνεται αὐτῇ καθ᾽ ὕπνους ὁ μακαρίτης Σάβας λέγων· ἕωθεν μετάπεμψαι τὰς γερδίσσας, καὶ ἔρχονται, καὶ πληροῦσι τὸ ἔργον· καὶ μὴ λυποῦ· οὐ γὰρ ἐμποδίζεται ἡ καρποφορία σου. ἐμφανίζεται δὲ καὶ ταῖς γερδίσσαις ὁμοίως, ἀγανακτῶν ἐπὶ τῇ τοῦ ἔργου ἀναβολῇ. πρωΐας δὲ γενομένης ἦλθον πᾶσαι μετὰ χαρᾶς καὶ προθυμίας, διηγούμεναι ἀλλήλαις τὰς ὀπτασίας· καὶ οὕτως ἐπλήρωσαν τὸ ἔργον εὐχαριστοῦσαι τῷ θεῷ.

πα΄. Χρόνου δὲ ἱκανοῦ διαδραμόντος, ὁ οἰκονόμος τῆς μεγίστης λαύρας, καμήλους ἐμισθώσατο Σαρακηνικάς, παρακομίσαι βουλόμενος ἀπὸ τῆς νεκρᾶς θαλάσσης τὸν ἀπὸ Μαχαιρουντῶν ἀγορασθέντα σῖτον. ὡς οὖν αἱ μισθωθεῖσαι κάμηλοι ἔφθασαν πεφορτωμέναι τὴν λαύραν, μία ἐξ αὐτῶν ἀπὸ τῆς ἐπὶ τὸ ξενοδοχεῖον ἀνερχομένης ὁδοῦ ἐκκλίνασα εἰς τὰ δεξιὰ, κατέπεσεν ἀπὸ τοῦ κρημνοῦ εἰς τὸν χείμαρρον πεφορτωμένη, τοῦ κρημνοῦ ἐπὶ δέκα

A ad opus suum perrexerunt, annunciaruntque suis miraculum; atque ab eo tempore in ipso editi miraculi die, publicum festum toti suæ villæ peraguut.

LXXX. Mulier quædam cui nostra Metropolis patria erat, * Genarus vocata, duas cortinas constituit facere pro Castellio & Spelunca. Omnibus autem ad id necessariis paratis, quæ texere condixerant, promissa contempsere. Cúmque Genarus valde mæreret, apparet illi in somnis beatus Sabas, dicitque; Manè textrices arcesse, ac venient & opus absolvent; neque tristeris; non enim impedimentum capiet oblatio tua. Apparet etiam textricibus similem in modum, indignabundus de operis dilatione. Proinde orto manè venerunt cunctæ cum gaudio & alacritate, narraverunt inter se quæ viderant; atque sic opus perfecerunt, gratias agentes Deo.

* Metaphr. Γινάρουσα

B

C LXXXI. Non pauco autem tempore præterlapso, dispensator maximæ Lauræ, camelos Saracenicas conduxit, ut qui vellet à mari mortuo importare frumentum Macherunte emptum. Ut ergo conductæ cameli ad Lauram onustæ pervenerunt, una earum è via quâ in Xenodochium ascenditur declinans ad dexteram, decidit à præcipitio in torrentem cum onere suo, quod præcipitium

A altitudinem habet ferè decem hominum. Dominus autem cameli, ipſe Saracenus, clamavit dicens; Abba Saba, preces tuæ camelo meæ opem ferant. Cúmque devolueretur camelus, vociferabatur; Abba Saba, auxiliare. Tum ſacrum quemdam ſenem cernit camelo volutanti inſidere. Et curſim per aliam viam deſcendens, ubi prope camelum fuit, inſidentem quidem ſenem non invenit; camelum autem ſanam ſervatam, erexit onuſtam, B atque in Xenodochium per viam planiorem adducens, deoneravit. Qui barbarus inopinato miraculo obſtupeſcens ac delectatus, ſingulis annis Lauram adit, ad ſenis loculum adorandum, eique qui tunc temporis œconomus eſt, præbet ex labore ſuo trientem nummi in gratiarum actionem.

LXXXII. Per hoc tempus magna ciſterna conſtructa eſt infra turrim ſancti patris noſtri Sabæ, in ſpelunca, in qua aſ- C cenſus occultus à Theoctiſta Eccleſia ad dictam turrim exſtitit; in petra verò in excelſum ſuperpoſita, exceptorium ædificaverunt patres, ut ibi priùs aqua percolaretur, indeque ad ciſternam deſcenderet. Mamas autem quidam Bethlehemites, arte ſtructor, opus ciſternæ ac exceptorii fecit. Qui exceptorio adornando inſiſtens, cum diſcipulo quodam puero, Auxentio nomine,

σχεδὸν ἀνδρόμηκα τὸ ὕψος ἔχοντος. ὁ δὲ τῆς καμήλου δεσπότης Σαρακηνὸς ὤν, ἔκραζε λέγων· Ἀββᾶ Σάβα, αἱ εὐχαί σου βοηθήσωσι τῇ καμήλῳ μου. καὶ κυλιομένης τῆς καμήλου, ἐβόα· Ἀββᾶ Σάβα βοήθει. καὶ θεωρεῖ γέροντά τινα ἱεροπρεπῆ τῇ κυλιομένῃ καμήλῳ ἐπικαθήμενον, καὶ δρομαίως δι' ἄλλης ὁδοῦ κατελθὼν, καὶ πλησίον τῆς καμήλου γενόμενος, τὸν μὲν ἐπικαθήμενον γέροντα οὐχ ηὗρε· τὴν δὲ κάμηλον ὑγιῆ φυλαχθεῖσαν, πεφορτωμένην ἐγείρας, καὶ δι' ὁμαλωτέρας ὁδοῦ ταύτην εἰς τὸ ξενοδοχεῖον ἀναγαγὼν ἀπεφόρτωσεν. ὅστις βάρβαρος τῷ παραδόξῳ τοῦ θαύματος ἀγασθεὶς, καθ' ἕκαστον ἐνιαυτὸν ἔρχεται εἰς τὴν λαύραν, τὴν τοῦ πρεσβύτου θήκην προσκυνῶν, καὶ παρέχων ἐκ τοῦ ἑαυτοῦ κόπου τῷ κατὰ καιρὸν οἰκονόμῳ τριμίσιν ἓν ὑπὲρ εὐχαριστίας.

πβʹ. Κατὰ τοῦτον τὸν χρόνον λάκκος ᾠκοδομήθη μέγας ὑποκάτω τοῦ πύργου τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Σάβα ἐν σπηλαίῳ, ἐν ᾧ ἀνάβασις ὑπῆρχε κρυπτὴ, ἀπὸ τῆς θεοκτίστου ἐκκλησίας, ἐπὶ τὸν εἰρημένον πύργον· ἐν δὲ τῇ ὑπερκειμένῃ πέτρᾳ πρὸς ὕψος, σκηπλύειν ᾠκοδόμησαν οἱ πατέρες, πρὸς τὸ ἐν αὐτῷ διϋλίζεσθαι τὸ ὕδωρ πρότερον, εἶθ' οὕτως εἰς τὸν λάκκον κατιέναι. Μάμας δέ τις Βηθλεμίτης τὴν τέχνην τὸ ἔργον τοῦ λάκκου καὶ τοῦ σκηπλυείου πεποίηκεν. ὅστις τῇ τοῦ σκηπλυείου φιλοκαλίᾳ ἐφιστάμενος, ἔχων μαθητήν τινα παῖδα, Αὐξέντιον καλούμενον,

χειμῶνος γεγονότος τὸ ὕδωρ ἐδέχετο. A
τῶν δὲ ὑδάτων πληθυνθέντων, ἐρράγη
τὸ ἔργον τοῦ σκηπλουείου. καὶ ὁ μὲν Μά-
μας ἀνδρεῖος ὢν διαφυγεῖν τὸν κίν-
δυνον ῥαδίως ἴσχυσεν· ὁ δὲ παῖς κατα-
ληφθεὶς ὑπὸ τοῦ συμπτώματος τῶν τε
λίθων καὶ τοῦ σφοδροῦ ὕδατος, συγκατε-
σύρθη ἀπὸ τοῦ κρημνοῦ κάτω εἰς τὸ μέ-
σαυλον τὸ ἐν μέσῳ τῶν δύο ἐκκλη-
σιῶν, ἔνθα κεῖται τὸ τίμιον λείψανον
τοῦ ἁγίου πατρὸς ἡμῶν Σάβα· ἔχει δὲ
σχεδὸν τὸ τοῦ κρημνοῦ ὕψος ὀργυὰς
δέκα· καὶ μετὰ τὸ παύσασθαι τὴν βροχὴν, B
ηὑρέθη ὁ παῖς ὑποκάτω τοῦ συμπτώ-
ματος τῶν λίθων ἔμπροσθεν τῆς θεοκ-
τίστου ἐκκλησίας, μηδὲν βλαβεὶς τὸ
σύνολον. τούτου τοῦ θαύματος αὐτὸς
ἐγὼ θεατὴς γέγονα, ἀπὸ τῆς νέας λαύ-
ρας ἐν αὐταῖς ταῖς ἡμέραις εἰς τὴν με-
γίστην παραγενόμενος λαύραν, βου-
λόμενος τόπον περιποιήσασθαι, καὶ
κελλίον ἐμαυτῷ οἰκοδομῆσαι. καὶ ταῦ-
τα μὲν ἐκ πολλῶν ὀλίγα, περὶ τοῦ θείου
πρεσβύτου ἀναλεξάμενος ἀνεγρα-
ψάμην. καλεῖ δέ με ὁ καιρὸς, καὶ τὰ C
συμβάντα τοῖς αὐτοῦ διαδόχοις τε
καὶ μαθηταῖς ἐκ μέρους διηγήσασθαι.

πγ'. Ὁ Ἀββᾶς Μελιτᾶς, ὁ τὸν θεῖον
πρεσβύτην διαδεξάμενος, τὰ διὰ τοῦ
Σούμμου δοθέντα κατὰ θείαν κέλευσιν
χίλια νομίσματα ὑπὲρ τῆς τοῦ κάστρου
οἰκοδομῆς, ἢ ῥαθυμίᾳ, ἢ ἀπραγ-
μοσύνῃ χρησάμενος, δέδωκε τῷ ἀρ-
χιεπισκόπῳ Πέτρῳ. καὶ οὕτως ἐκω-
λύθη τῆς κάστρου οἰκοδομή. ὁ μέντοι
πατριάρχης τὰ χίλια δεξάμενος

tempestate obortâ aquam recipiebat. Aquis verò plurimum excrescentibus, exceptorii opus ruptum est. Et Mamas quidem, ut pote virili robore præditus, effugere periculum facile potuit; at puer comprehensus à delapsu lapidum & aquæ vehementis, unà detractus est à præcipitio infrà in atrium quod inter duas Ecclesias medium tenet, ubi preciosum sancti patris nostri Sabæ corpus jacet; habet porrò altitudo præcipiti ferè decem ulnas; & postquam pluvia cessavit, puer sub ruina lapidum ante Ecclesiam à Deo conditam repertus est, absque ulla prorsus læsione. Hujus ipse ego miraculi spectator fui, qui diebus illis à Nova Laura in maximam Lauram adveneram, volens locum comparare, & cellam mihi construere. Atque hæc de pluribus pauca, circa divinum senem collecta, descripsi. Jam tempus me vocat, ut ea quoque ex parte referam quæ ipsius successoribus ac discipulis contigerunt.

LXXXIII. Abbas Melitas, qui divino seni successit, mille solidos à Summo juxta divinum jussum traditos in castri ædificationem, præ segnitie aut amore tranquillitatis, Petro Archiepiscopo dedit: eumque in modum impedita est castri constructio. Patriarcha autem acceptos mille

solidos, variis distribuit Mo- A
nasteriis. Hoc Abbate Melita
divinum senis gregem, quem
in vigore & prosperitate acce-
perat, regente, lupi eum la-
befactaturi erant, nisi princi-
pis pastorum Christi Dei no-
stri visitatio conservasset. Quo
autem pacto, paucis dicam;
Quamdiu omni laude prædi-
candus pater noster Sabas in
carne superstes fuit, una fidei
professio per omnia solitudi-
nis Monasteria invaluit; erat-
que cernere cunctos Hieroso- B
lymæ filios, in domo Dei con-
corditer incedentes, divino-
rum dogmatum consensu, sta-
tum obtinere scissione ac se-
ditione vacuum; adeò ut im-
pleretur quod scriptum est;
Is. LX. *Leva in circuitu oculos tuos,*
4. *& vide congregatos filios tuos.*
Postquam verò optimus pa-
stor migravit hinc, ovile ejus
ad angustias redactum est, quòd
ab imperito duceretur pastore.
Nonnus enim & sectatores ip-
sius obitu patris nostri Sabæ in C
occasionem arrepto, errores
quos in imo corde occultabant
Hab. divulgaverunt, necnon propi-
II. 15. nabant proximo subversionem
turbidam: neque solùm cun-
ctos Novæ Lauræ peritiores
ad impuram suam Hæresim
attraxerunt, sed etiam eos
qui Martyrii Monasterium &
Firmini Lauram incolebant,
jam eorum patribus mortuis,
Firmino ac Sozomeno, beatis,
qui divini senis discipuli &

A νομίσματα, διαφόροις διένειμεν αὐ-
τὰ μοναστηρίοις. τούτου τοῦ Ἀββᾶ
Μελιτᾶ τὴν θείαν τοῦ πρεσβύτου ποίμ-
νην ἀνθοῦσαν παραλαβόντος,
λύκοι αὐτὴν λυμήνασθαι ἤμελλον,
εἰ μὴ ἡ τοῦ ἀρχιποίμενος Χριστοῦ τοῦ
θεοῦ ἡμῶν ἐπισκοπὴ διέσωσε. πῶς δὲ
καὶ ποίῳ τρόπῳ, δι' ὀλίγων ἐρῶ. τοῦ
πανευφήμου πατρὸς ἡμῶν Σάβα ἐν
σαρκὶ περιόντος, μία τῆς πίστεως ὁμο-
λογία ὑπῆρχεν ἐν πᾶσι τοῖς κατὰ τὴν
ἔρημον μοναστηρίοις· καὶ ἦν ἰδεῖν πάν-
B τα τὰ τέκνα Ἱερουσαλὴμ πορευό-
μενα ἐν τῷ οἴκῳ τοῦ θεοῦ ἐν ὁμονοίᾳ,
τῇ συμφωνίᾳ τῶν θείων δογμάτων,
τὸ ἄρρηκτον καὶ ἀστασίαστον κεκτη-
μένα· ὡς πληροῦσθαι τὸ γεγραμ-
μένον· ἆρον κύκλῳ τοὺς ὀφθαλμούς
σου, καὶ ἴδε συνηγμένα τὰ τέκνα
σου. τοῦ δὲ ἀρίστου ποιμένος τοῦ τῇδε
μεταστάντος, τὸ ποίμνιον αὐτοῦ γέ-
γονεν ἠπορημένον, ὑπὸ ποιμένος
ἀπείρου ἀγόμενον. οἱ γὰρ περὶ Νόν-
νον τῆς τοῦ πατρὸς ἡμῶν Σάβα κοι-
C μήσεως δραξάμενοι, τὴν ἐν τῷ
βάθει τῶν σπλάγχνων δημοσιεύ-
σαντες κακοδοξίαν, ἐπότιζον τὸν
πλησίον ἀνατροπὴν θολεράν· καὶ οὐ
μόνον πάντας τοὺς ἐν τῇ νέᾳ λαύ-
ρᾳ λογιωτέρους εἰς τὴν ἑαυτῶν
μιαρὰν συγκατέσπασαν αἵρεσιν,
ἀλλὰ καὶ τοὺς τῆς Μαρτυρίου μο-
νῆς, καὶ τοὺς τῆς Φιρμίνου λαύρας,
ἤδη τῶν αὐτῶν πατέρων κοιμηθέν-
των Φιρμίνου τε καὶ Σωζομενοῦ τῶν
μακαρίων, φοιτητῶν γεγονότων καὶ
συναγωνιστῶν

συναγωνιστῶν τοῦ θείου πρεσβύτου. οὐ A μὴν ἀλλὰ καὶ εἰς τὴν μεγίστην λαύραν καὶ εἰς τὰ λοιπὰ τῆς ἐρήμου μοναστήρια, ἴσχυσαν ἐν ὀλίγῳ χρόνῳ τὴν Ὠριγένους κατασπεῖραι κακοδοξίαν. κατ' αὐτὸν δὲ τὸν χρόνον Δομετιανός τις ὁ τοῦ Μαρτυρίου ἡγούμενος, καὶ Θεόδωρος ὁ ἐπίκλην Ἀσκιδᾶς ὁ τῆς νέας λαύρας ἐξάρχων γεγονώς, ἀμφότεροι τῆς Ὠριγένους λύμης μεταχόντες εἰς κόρον, ἀνέπλευσαν ἐπὶ Κωνσταντινούπολιν· καὶ ὑπὲρ τῆς ἐν Χαλκηδόνι συνόδου προσποιούμενοι ἀγωνίζεσθαι, καὶ διὰ B τῆς παραθέσεως Λεοντίου τοῦ ἀνωτέρω μνημονευθέντος Βυζαντίου, προσκολλῶνται τῷ Πάπᾳ Εὐσεβίῳ, καὶ διὰ τούτου τῷ εὐσεβεστάτῳ ἡμῶν βασιλεῖ· καὶ τῇ τῆς ὑποκρίσεως περιουσίᾳ τὴν κακοδοξίαν ἐπισκιάσαντες, καὶ πρώτης παρρησίας ἐν τῷ παλατίῳ μεταχόντες, ὁ μὲν Δομετιανὸς τῆς Γαλατῶν χώρας τὴν ἱεραρχίαν παρέλαβεν, ὁ δὲ Θεόδωρος τὴν Καισαρείας Καππαδοκίας διεδέξατο προεδρίαν. ἐντεῦθεν οἱ περὶ Νόννον, ἰσχὺν C πλείονα λαβόντες, σπουδαίως καὶ ἐπαγρύπνως τὰ Ὠριγένεια σπέρματα πανταχοῦ τῆς Παλαιστίνης κατέσπειραν.

concertatores fuerant. Neque hoc tantùm, verùm etiam brevi tempore in maximam Lauram, cæteraque solitudinis Monasteria, pravam valuerunt Origenis doctrinam spargere. Eodem porrò tempore Domitianus Monasterio Martyrii præfectus, & Theodorus cognomento Ascidas Neolauritarum dux & princeps, uterque Origenis lue affatim infecti, ad Constantinopolim navigarunt; ubi simulantes pugnare se pro Synodo Chalcedonensi, ex commendatione suprà memorati Leontii Byzantini Eusebio Papæ adjunguntur, ac per eum piissimo nostro Imperatori. Atque dum hypocrisi plurima malam sententiam obtegunt, & prima intimaque libertate in palatio fruuntur, Domitianus quidem Galatarum regionis Episcopatu donatus est, Theodorus verò Cæsareæ Cappadociæ præsulatum suscepit. Inde Nonnus & Nonnani majori potentia accepta, studiosè ac vigilanter Origenica semina per totam Palæstinam dispersere.

πδʹ. Τοῦ δὲ Ἀββᾶ Μελιτᾶ τῆς τοῦ Ἀββᾶ Σάβα ἀγέλης ἐπὶ χρόνοις πέντε κρατήσαντος, τελειωθέντος δὲ καὶ τοῦ μακαρίου Θεοδούλου, τοῦ πολλάκις ἀνωτέρω μνημονευθέντος, ὁ ἀδελφὸς αὐτοῦ Γελάσιος τὴν τοῦ Σάβα ἡγεμονίαν διεδέξατο,

LXXXIV. Cùm verò Abbas Melitas quinque annis caulam Abbatis Sabæ obtinuisset, morteque consummatus etiam esset beatus Theodulus, cujus sæpe suprà mentionem fecimus, frater hujus Gelasius in Sabæ præfectura successit,

principio decimæ quintæ Indictionis. A Qui Gelasius præpositus factus, quia cernebat Origenianam luem per multos è conventu suo grassari, de sententia divini Johannis Episcopi & solitarii, habens certaminis adjutores Eustathium quemdam calligraphum seu librorum scriptorem, genere Galatam, Stephanum Hierosolymitam, atque Timotheum Gebalinum, qui usque ad hoc tempus in Clite virtutibus refulget, opus sancti Bostrorum B Episcopi Antipatri contra Origenis dogmata conscriptum, in Ecclesia legi curavit. Unde commoti qui animæ exitiosam Hæresim tuendam susceperant, Ecclesiam turbabant. Exstitit autem perversionis dux Johannes quidam Lauræ Diaconus & Cănonarcha, Antiochenus genere; qui quòd propter Hæresim è sacrario à patribus expulsus, fuisset, conspirationem facit cum Johanne cognomento Brontodæmone seu C tonitruodæmone, Ptolemæo, aliisque. Hi seorsum mala collegia facientes, pervertere multas animas nitebantur. Tunc patres communi Lauræ decreto eos particulatim ejecerunt, quadraginta ferè numero. Qui in Novam Lauram profecti ad Nonnum, ac Leontium Byzantinum, tunc è Constantinopoli reducem, & contra beati Sabæ successores efferatum, adversùs Abbatem

A ἐν ἀρχῇ τῆς πέμπτης καὶ δεκάτης ἰνδικτιῶνος. ὅστις Γελάσιος τὴν ἡγεμονίαν παραλαβών, πολλοὺς τῆς ἑαυτοῦ συνοδίας νεμομένην θεασάμενος καὶ τὴν Ὠριγένους λύμην, γνώμης γενόμενος τοῦ θεσπεσίου Ἰωάννου τοῦ ἐπισκόπου καὶ ἡσυχαστοῦ, συναγωνιστὰς ἔχων Εὐστάθιόν τέ τινα καλλιγράφον, τῷ τε γένει Γαλάτην, καὶ Στέφανον Ἱεροσολυμίτην, καὶ Τιμόθεον Γεβαλινόν, ὅστις μέχρι τοῦ νῦν ἐν τῇ Κλίτῃ ταῖς ἀρεταῖς διαλάμπει, τὸ σύγγραμμα B τοῦ ἐν ἁγίοις ἐπισκόπου Βόστρων Ἀντιπάτρου, τὸ κατὰ τῶν Ὠριγένους δογμάτων, ἐπ' ἐκκλησίας ἀναγινώσκεσθαι παρεσκεύασεν. ὅθεν κινηθέντες οἱ τὴν ψυχοφθόρον αἵρεσιν εἰσδεξάμενοι, τὴν ἐκκλησίαν ἐτάραττον. γέγονε δὲ τῆς διαστροφῆς ἀρχηγός, Ἰωάννης τις διάκονος τῆς λαύρας καὶ κανονάρχης, Ἀντιοχεὺς τῷ γένει· ὅστις τοῦ ἱερατείου ὑπὸ τῶν πατέρων ἐκβληθεὶς διὰ τὴν αἵρεσιν, συμφατριάζει μετὰ Ἰωάννου τοῦ ἐπίκλην Βροντο- C δαίμονος, καὶ Πτολεμαίου, καὶ ἄλλων. οἵτινες παρασυνάγματα ποιοῦντες ἐπειρῶντο πολλὰς διαστρέφειν ψυχάς. τότε οἱ πατέρες κοινῇ γνώμῃ τῆς λαύρας κατὰ μέρος ἐξέωσαν αὐτοὺς τεσσαράκοντα σχεδὸν εὑρεθέντας. οἵτινες εἰς τὴν νέαν λαύραν ἀπελθόντες πρός τε Νόννον καὶ Λεόντιον τὸν Βυζάντιον, τὸν τηνικαῦτα ἀπὸ Κωνσταντινουπόλεως παραγεγονότα, καὶ κατὰ τῶν τοῦ μακαρίου Σάβα διαδόχων ἐμμανῶς ἔχοντα, κατεβόων τοῦ Ἀββᾶ

Γελασίου καὶ τῶν τῆς μεγίστης λαύρας A πατέρων. πάντων δὲ αὐτόθι τῶν τῆς αἱρέσεως ἀρχηγῶν συναθροισθέντων, Λεόντιος ὁ Βυζάντιος ἐνέχων ἔκπαλαι τῷ μακαρίτῃ Σάβᾳ, συμβουλεύει τοῖς πᾶσιν αὐθαδείᾳ χρήσασθαι, καὶ τὴν μεγίστην λαύραν πάντας πανταχόθεν σὺν τῇ κακοδοξίᾳ συμπεριφερομένους*. οἵ τινες συναθροισθέντες ἦλθον μετὰ Λεοντίου καὶ τῶν διωχθέντων εἰς τὴν τοῦ μακαρίου Θεοδοσίου μονὴν, συναρπάσαι νομίσαντες τόν τε τῆς μονῆς ἡγούμενον B Σωφρόνιον τὸν ἀοίδιμον καὶ σὺν πατέρας. ἀλλ' ἐματαιώθη αὐτῶν ἡ βουλὴ, καὶ ἐξῆλθον κατῃσχυμμένοι. ἐντεῦθεν ἐμμανεῖς γεγονότες οἱ περὶ Λεόντιον κατὰ Γελασίου καὶ τῆς μεγίστης λαύρας, ἀποστείλαντες εἰς διαφόρους τόπους καὶ συναγαγόντες ὀρυκτῆρας καὶ ἄμμας, καὶ μοχλοὺς σιδηροῦς, καὶ τὰ λοιπὰ τῆς καταστροφῆς ὄργανα, καὶ ἀγροικικὴν βοήθειαν, ἀπήρχοντο μετὰ πλείστης μανίας τὴν μεγίστην καταστρέψαι λαύραν. ὁ δὲ C τοῦ Ἀββᾶ Σάβα θεὸς, μέγα θαῦμα εἰργάσατο. οὔσης γὰρ ὥρας δευτέρας τῆς ἡμέρας, ἐπέπεσεν ἐπ' αὐτοῖς ἀχλὺς καὶ σκότος· καὶ πᾶσαν συγκλασθέντες τὴν ἡμέραν διὰ τραχέων τόπων καὶ ἀβάτων ὁδεύοντες· ὡς παρά τινων ἀκριβῶς εἰδότων μεμάθηκα· μόλις τῇ ἑξῆς ἡμέρᾳ εἰς τὴν τοῦ Ἀββᾶ Μαρκιανοῦ μονὴν εὑρέθησαν· καὶ οὕτως τὸ κοινὸν φῶς θεασάμενοι, ἄπρακτοι καὶ κατῃσχυμμένοι

Gelasium & maximæ Lauræ patres clamabant. Cúmque omnes illic Hæreseos principes congregati essent, Leontius Byzantinus qui pridem erga beatum Sabam malè affectus erat, consilium dat cunctis, ut audacia utantur, maximamque Lauram omnes undique pravæ doctrinæ assectatores subvertant. Unde in unum coacti accesserunt unà cum Leontio & expulsis, ad Monasterium beati Theodosii, rati se in suas partes tracturos tum Sophronium Monasterii præpositum, virum celebrem, tum patres. Verùm inane redditum est eorum consilium, atque ignominia affecti redierunt. Inde Leontiani adversùs Gelasium maximamque Lauram in furorem acti, miserunt ad varia loca, & collectis fossoriis, hamis, vectibus ferreis, cæterisque ad evertendum idoneis instrumentis, cum rusticorum manu & subsidio, abierunt maximam Lauram dirutum. At Abbatis Sabæ Deus, ingens edidit miraculum. Nam cùm esset hora diei secunda, ingruit super eos caligo & obscuritas tenebrarum; atque tota die confracti per aspera inviaque loca incedendo; quemadmodum ex quibusdam probè scientibus didici; vix sequenti die ad Monasterium beati Marciani inventi sunt; sicque lucem communem intuiti; re infectâ cum pudore

* f. deest καταστρέψαι

ad suos locos reversi sunt. Hoc miraculum edidit admirabilium Deus, qui superbis resi-
Prov. III. 34. stit, humilibus autem gratiam adjicit.

LXXXV. Eodem tempore adfuerunt in Palæstina, Patriarcha Antiochiæ Ephræmius, & Papa Eusebius, propter Pauli Alexandriæ Episcopi ejectionem: ad quem Papam Eusebium Hierosolymam profectum post solutam Synodum, Leontius adducit eos qui è maxima Laura pulsi fuerant, accusatores Gelasii, quòd nempe in duas partes conventum discidisset, & ipsos quidem expulisset, ipsorum verò adversarios adscivisset. Eusebius verò Papa, verbis Leontii deceptus, nihilque de Hæresi sciens, arcessit Abbatem Gelasium, eumque in necessitatem adducit, vel ejectos admittendi, vel eorum adversarios, qui Hæresim dirimere conabantur, propellendi. Qua necessitate imposita, patres ex communi deliberatione emiserunt è Laura Stephanum, Timotheum, aliosque quatuor fratres; qui voluntariam persecutionem passi, Antiochiam profecti sunt; quæque contigerant indicarunt Ephræmio Patriarchæ, cui beati Antipatri libros ostenderunt. At Patriarcha per traditos libros compertis Origenis blasphemiis, ac per traditores librorum agnitis

* Ἀντιπειρωμένους

A ὑπέστρεψαν εἰς τὰ ἴδια. τοῦτο ἐθαυματούργησεν ὁ τῶν θαυμασίων θεὸς, ὁ τοῖς ὑπερηφάνοις ἀντιτασσόμενος, ταπεινοῖς δὲ χάριν ἐπιμετρῶν.

πε΄. Κατ᾽ αὐτὸν δὲ τὸν χρόνον παρεγένετο ἐν Παλαιστίνῃ, ὅ τε πατριάρχης Ἀντιοχείας Ἐφραίμιος, καὶ ὁ Πάπας Εὐσέβιος, διὰ τὴν τοῦ ἐπισκόπου Ἀλεξανδρείας Παύλου ἐκβολήν. ᾧ τινι Πάπᾳ Εὐσεβίῳ ἐλθόντι εἰς Ἱεροσόλυμα, μετὰ τὸ διαλυθῆναι τὴν σύνοδον, προσάγουσιν οἱ περὶ Λεόντιον
B σὺν ἐκ τῆς μεγίστης λαύρας διωχθέντας, προσστρεχομένους κατὰ Γελασίου, ὡς εἰς δύο μέρη τὴν συνοδίαν σχίσαντος, καὶ τοὺς μὲν διώξαντος, τοὺς δὲ ἀντιδίκους αὐτῶν περιποιησαμένου. ὁ δὲ Πάπας Εὐσέβιος, ὑπὸ τῶν Λεοντίου λόγων ἀπατηθεὶς, καὶ μηδὲν περὶ τῆς αἱρέσεως γνοὺς, μεταπέμπεται τὸν Ἀββᾶν Γελάσιον, καὶ καταναγκάζει αὐτὸν, ἢ τοὺς διωχθέντας εἰσδέξασθαι, ἢ τοὺς ἀντιδίκους αὐτῶν διῶξαι * πειρωμένους τὴν αἵρεσιν διαλῦσαι. καὶ τοιαύ-
C της ἀνάγκης ἐπιτεθείσης, συσκεψάμενοι οἱ πατέρες, ἔπεμψαν ἐκ τῆς λαύρας Στέφανον καὶ Τιμόθεον καὶ ἄλλους τέσσαρας ἀδελφούς· οἵτινες τὸν ἑκούσιον διωγμὸν ὑπομείναντες, ἀπῆλθον εἰς Ἀντιόχειαν· καὶ τὰ συμβάντα τῷ πατριάρχῃ Ἐφραιμίῳ γνωρίσαντες, τὰς τοῦ μακαρίου Ἀντιπάτρου βίβλους αὐτῷ ἐνεφάνισαν. ὅστις πατριάρχης τὰς Ὠριγένους ἀκούσας βλασφημίας ἐκ τῶν ἐπιδοθέντων βιβλίων· γνοὺς δὲ παρὰ τῶν ἐπιδοσάντων

τὰ ἐν Ἱεροσολύμοις ὑπὸ τῶν Ὠριγενιαστῶν γεγονότα, διανίσταται γενναίως, καὶ δημοσίῳ συνοδικῷ ἀναθέματι καθυποβάλλει τὰ Ὠριγένους δόγματα· καὶ τούτου ἐν Ἱεροσολύμοις γνωσθέντος, ἀγανακτήσαντες οἱ περὶ Νόννον, συνασπιστὰς ἔχοντες Λεόντιόν τε τὸν Βυζάντιον, ἐν Κωνσταντινουπόλει ἀναπλεύσαντα, καὶ Δομετιανὸν τὸν Γαλατίας, καὶ Θεόδωρον τὸν Καππαδοκίας, ἠνάγκαζον τὸν ἀρχιεπίσκοπον Πέτρον, τὴν Ἐφραιμίου προσηγορίαν, τῶν ἱερῶν διπτύχων ἀφελέσθαι. πολλῆς δὲ στάσεως γενομένης, μεταπέμπεται ὁ ἀρχιεπίσκοπος ἐν μυστηρίῳ τοὺς περὶ Σωφρόνιον καὶ Γελάσιον, καὶ ἐπιτρέπει αὐτοῖς ποιῆσαι λίβελλον κατὰ τῶν Ὠριγενιαστῶν, ὁρκίζοντα αὐτὸν μὴ ἀφαιρεθῆναι τῶν ἱερῶν διπτύχων τὴν Ἐφραιμίου τοῦ πατριάρχου προσηγορίαν. καὶ οἱ μὲν πατέρες τὸν λίβελλον ποιήσαντες, ἐπιδεδώκασιν. ὁ δὲ ἀρχιεπίσκοπος τοῦτον δεξάμενος, τῷ βασιλεῖ ἀπέστειλε, γράψας αὐτῷ τὰ ὑπὸ τῶν Ὠριγενιαστῶν νεωτερισθέντα. ὅντινα λίβελλον ὁ εὐσεβέστατος ἡμῶν βασιλεὺς δεξάμενος, ἴδικτον κατὰ τῶν Ὠριγένους πεποίηκε δογμάτων· ᾧ τινι ἰδίκτῳ καθυπέγραψε Μηνᾶς ὁ πατριάρχης Κωνσταντινουπόλεως μετὰ τῆς ὑπ' αὐτὸν συνόδου. ἠναγκάσθησαν δὲ καὶ οἱ περὶ Δομετιανὸν καὶ Θεόδωρον ὑπογράψαι· ὧν τινων ἡ ὑπόκρισις πρόδηλος τοῖς πᾶσι γέγονε.

A quæ Hierosolymæ ab Origenistis perpetrata fuerant, strenuè assurgit, ac publico Synodico Origenis dogmata anathemati subjicit. Quæ res Hierosolymis postquam agnita fuit, indignati sunt Nonni assecla, fultique patrocinio Leontii Byzantini, qui ad Constantinopolim navigaverat, & Domitiani Galatiæ, atque Theodori Cappadociæ, vim Archiepiscopo Petro inferebant, ut Ephræmii nomen è sacris dip-
B tychis tolleret. Cúmque ingens excitata fuisset seditio, clam ad se vocat Archiepiscopus Sophronium & Gelasium, demandatque uti libellum facerent in Origenistas, quo eum adjurarent ne Ephræmii Patriarchæ nomen è sacris diptychis deleretur. Itaque patres libellum fecerunt ac tradiderunt. Quem Archiepiscopus ubi accepit, misit ad Imperatorem, cum litteris suis, quibus innovationes Origenistarum
C referebat. Eo libello accepto, piissimus noster Imperator Edictum adversùs Origenis decreta edidit; Edicto Menas Constantinopolitanus Patriarcha subscripsit, una cum Synodo sua. Coacti quoque sunt subscribere Domitianus & Theodorus; quorum tamen simulatio cunctis patuit.

LXXXVI. Ubi ergo Edictum adversùs Origenem latum, Hierosolymis evulgatum fuit, cunctique Palæstinæ Episcopi, & solitudinis Hegumeni eidem Edicto subscripsere, uno excepto Alexandro Episcopo Abylæ, succensentes Nonnus, Petrus, & reliqui Hæreseos principes, à Catholica communione abscesserunt; & Novâ Laurâ relictâ, in planicie manserunt. Atque hoc Constantinopoli audito, jam post obitum Papæ Eusebii, mortuoque pariter Leontio, Theodorus Cappadociæ, qui in palatio dominatum tenebat, sanctæ Resurrectionis Apocrisiariis, quos advocaverat, multa cum ira dixit; Nisi Patriarcha Petrus satisfecerit patribus, eosque ad propriam reduxerit Lauram, ab Episcopatu eum hisce diebus deturbabo. Tunc Nonni asseclæ, per suggestionem Theodori Ascidæ, scribunt Archiepiscopo hunc in modum; Obsecramus sanctitatem vestram, ut modica satisfactione animabus nostris remedium adhibeat, Catholicè & generaliter affirmando cum omni alacritate ac dicendo; Solutum sit & fuit in nomine Patris & Filii & Spiritûs sancti, omne prolatum anathema, quod Deo non placet. Hujusmodi enim satisfactionem admittimus, tametsi rigorem juris minutatim non obtineat. Hanc Epistolam

πϛʹ. Τοῦ τοίνυν κατὰ Ὠριγένους ἰδίκτου ἐν Ἱεροσολύμοις ἐμφανισθέντος, καὶ πάντων τῶν κατὰ Παλαιστίνην ἐπισκόπων, καὶ τῶν τῆς ἐρήμου ἡγουμένων τῷ αὐτῷ καθυπογραψάντων ἰδίκτῳ, παρεκτὸς Ἀλεξάνδρου τοῦ ἐπισκόπου Ἀβίλης, ἀγανακτήσαντες οἱ περὶ Νόννον καὶ Πέτρον καὶ λοιποὺς τῆς αἱρέσεως ἀρχηγούς, τῆς τε καθολικῆς κοινωνίας ἀπέστησαν· καὶ τῆς νέας λαύρας ὑποχωρήσαντες, ἔμειναν εἰς τὴν πεδιάδα. καὶ τούτου ἐν Κωνσταντινουπόλει ἀκουσθέντος, ἤδη τοῦ Πάπα Εὐσεβίου κοιμηθέντος, καὶ Λεοντίου ἀποθανόντος, Θεόδωρος ὁ Καππαδοκίας τοῦ παλατίου κρατῶν, τοὺς τῆς ἁγίας ἀναστάσεως ἀποκρισιαρίους μεταπεμψάμενος, ἔλεγε μετὰ πολλοῦ τοῦ θυμοῦ, ὅτι εἰ μὴ πληροφορήσει ὁ πατριάρχης Πέτρος τοὺς πατέρας, καὶ εἰς τὴν ἰδίαν αὐτοὺς ἐπανάγει λαύραν, ἀπὸ ἐπισκόπων αὐτὸν ἐν ταύταις ποιῶ. τότε οἱ περὶ Νόννον καθ' ὑπόθεσιν Θεοδώρου τοῦ Ἀσκιδᾶ, γράφουσι τῷ ἀρχιεπισκόπῳ τοιάδε. δυσωποῦμεν τὴν ὑμετέραν ὁσιότητα, διά τινος μετρίας πληροφορίας θεραπεῦσαι τὰς ἡμετέρας ψυχάς, ἐν τῷ ὑμᾶς ἀποφήνασθαι καθολικῶς μετὰ πάσης προθυμίας καὶ λέγειν· λελυμένον ἔστω καὶ λέλυται ἐν ὀνόματι πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος, πᾶν γεγονὸς ἀνάθεμα μὴ ἀρέσκον θεῷ. τὴν γὰρ τοιαύτην πληροφορίαν καταδεχόμεθα, εἰ καὶ μὴ τὴν * κατὰ λεπτὸν ἀκρίβειαν ἔχει. τὴν τοιαύτην ἐπιστολὴν

* Cod. καταλε-[illegible]

δεξάμενος ὁ ἀρχιεπίσκοπος, τὰ μὲν πρῶτα οὐ κατεδέχετο τὴν αἰτηθεῖσαν πληροφορίαν ποιήσασθαι, ὡς δὴ ταραχοποιὸν καὶ οὐκ ἔνθεσμον· πλὴν, τὰς Ἀσκιδᾶ συσκευὰς ὑφορώμενος, καὶ τὸν ἑαυτοῦ καιρὸν ἐξαγοράσαι διανοηθεὶς, μεταπέμπεται ἐκ τῆς πεδιάδος τοὺς περὶ Νόννον· καὶ λαβὼν αὐτοὺς κατ' ἰδίαν, τὴν αἰτηθεῖσαν πρὸς αὐτοὺς ποιεῖται πληροφορίαν. καὶ οὕτως πληροφορηθέντες, ὑπέστρεψαν μὲν εἰς τὴν νέαν λαύραν, ἔμειναν δὲ ἐνέχοντες πικρῶς τοῖς B τῆς μεγίστης λαύρας πατράσι. τότε ὁ Ἀσκιδᾶς ἀνελθόντα ἐν Κωνσταντινουπόλει τὸν ἀρχιεπίσκοπον Πέτρον ἠνάγκασε συγκέλλους ἔχειν, Πέτρον τε τὸν Ἀλεξανδρέα, καὶ Ἰωάννην τὸν στρογγύλον. ἐντεῦθεν πλείονα ἄδειαν λαβόντες οἱ περὶ Νόννον, τὴν μὲν ἑαυτῶν ἀσέβειαν δημοσίᾳ καὶ κατ' οἴκους ἐκήρυττον· διωγμοὺς δὲ διαφόρους ἐπενόουν κατὰ τῶν τῆς μεγίστης λαύρας πατέρων· C καὶ εἴ τινα ἑώρων ἐν τῇ ἁγίᾳ πόλει μοναχὸν ὀρθόδοξον, τοῦτον διὰ κοσμικῶν τινῶν * τύπτεσθαι, καὶ Σαβαΐτην ἀποκαλοῦντες, τῆς ἁγίας ἀπήλαυνον πόλεως. καί τινων τῶν ὀρθοδόξων πατέρων τυπτηθέντων, καὶ πολέμου κατὰ τῶν εὐσεβῶν γεγονότος, οἱ Βέσσοι τοῦ Ἰορδάνου θείῳ ζήλῳ φερόμενοι, ἀνῆλθον ἐν τῇ ἁγίᾳ πόλει, βοηθῆσαι τοῖς πολεμουμένοις ὀρθοδόξοις. καὶ δημοσίου πολέμου συγκροτηθέντος κατά τε τῶν

A postquam accepit Archiepiscopus, initio quidem nolebat quæ petebatur satisfactionem facere, tamquam tumultûs effectricem, nec legitimam; verùm qui Ascidæ insidias reformidaret, cogitaretque redimere tempus suum, arcessit è planicie Nonni asseclas, iisque seorsum assumptis, postulatam satisfactionem ad eos facit: quâ comprobatâ, reversi sunt in Novam Lauram, manserunt tamen acerbè infensi magnæ Lauræ patribus. Tunc Ascidas Constantinopolim profectum Archiepiscopum Petrum coegit habere pro Syncellis Petrum Alexandrinum, & Johannem Strongylum, hoc est rotundum. Hinc majorem licentiam ceperunt qui Nonno adhærebant; & impietatem quidem suam publicè ac per domos prædicabant; diversas verò persecutiones in patres maximæ Lauræ excogitabant; atque si quemdam in sancta civitate conspexissent Monachum Orthodoxum, hunc per nonnullos sæculi homines vapulare procurabant, & Sabaitem vocantes à sacra urbe pellebant. Proinde quibusdam Orthodoxis patribus verberatis, belloque adversùs pios exorto, Bessi Jordanis, divino zelo ducti, ascenderunt in sanctam urbem, ut bello appetitis Orthodoxis suppetias ferrent. Tum publico prælio contra

Eph. v. 16.

* f. τύπτοντες

Bessos, aliosque rectè sentientes commisso, postquam ipsi ad maximæ Lauræ Xenodochium confugissent, adorti sunt subitò cum furore plurimo inimici, ut qui vellent patribus mortem inferre; cúmque hospitale munitum reperissent, fores seu fenestras lapidibus perfregerunt, eosque qui intus erant enixè lapidibus petebant. Igitur dum patres obsidentur, Theodulus quidam Bessus, invento ventilabro seu batillo in manus sumpto, prodiens è Xenodochio, trecentos ferè, quot erant, hostes solus dissipavit, cavit tamen ne quemquam omnino feriret; ipse verò ab illis lapide percussus, cecidit, paucisque pòst diebus mortuus est. Atque inde bellum quod contra pios susceptum fuerat desiit.

LXXXVII. Tunc maximæ Lauræ patres Gelasium Abbatem obsecrant ut Constantinopolim adeat, hæcque piissimo nostro Imperatori nota faciat. Qui Abbas Gelasius iter ingressurus, patribus qui in maximæ Lauræ Ecclesia convenerant salutatis, prædicavit dicens; Ecce patres, juxta petitionem vestram proficiscor Constantinopolim, nec quæ mihi in itinere eventura sunt scio. Vos itaque obtestor, ut neminem eorum qui Theodoro Mopsuesteno adhærent, sinatis vobiscum manere, homine Hæretico. Quandoquidem

A Βεσσῶν καὶ τῶν ἄλλων ὀρθοδόξων, καὶ αὐτῶν προσφυγόντων τῷ τῆς μεγίστης λαύρας ξενοδοχείῳ, ἐπῆλθον ἄφνω οἱ πολέμιοι μετὰ πλείστης μανίας, βουλόμενοι τοὺς πατέρας διαχειρίσασθαι· καὶ τὸ ξενοδοχεῖον ἠσφαλισμένον εὑρόντες, τὰς θυρίδας λίθοις κατέκλασαν, καὶ τοὺς ἔνδον ἀνενδότως ἐλίθαζον. τῶν οὖν πατέρων πολιορκουμένων, Θεόδουλός τις Βεσσός, πτύον εὑρὼν, καὶ τοῦτο μετὰ χεῖρας λαβὼν, καὶ τοῦ ξενοδοχείου ὑπεξελ- B θὼν, τριακοσίους ὄντας σχεδὸν τοὺς πολεμίους μόνος διεσκόρπισε, φυλαξάμενος μέντοι μηδένα παντάπαν πλῆξαι· αὐτὸς δὲ παρ' αὐτῶν λίθῳ πληγεὶς ἔπεσε, καὶ μετ' ὀλίγας ἡμέρας ἐτελεύτησε. καὶ ἐντεῦθεν ὁ κατὰ τῶν εὐσεβῶν πόλεμος διελύθη.

πζʹ. Τότε οἱ τῆς μεγίστης λαύρας πατέρες δυσωποῦσι τὸν Ἀββᾶν Γελάσιον ἀνελθεῖν ἐν Κωνσταντινουπόλει, καὶ ταῦτα γνωρίσαι τῷ εὐσε- C βεστάτῳ ἡμῶν βασιλεῖ. ὅστις Ἀββᾶς Γελάσιος μέλλων ὁδεῦσαι, τοὺς πατέρας ἐν τῇ μεγίστῃ λαύρᾳ ἐν ἐκκλησίᾳ συνηγμένους ἀσπασάμενος, ἐκήρυξε λέγων· ἰδοὺ πατέρες κατὰ τὴν αἴτησιν ὑμῶν ἀνέρχομαι ἐν Κωνσταντινουπόλει, τὰ ἐν τῇ ὁδῷ συμβησόμενά μοι μὴ εἰδώς. δυσωπῶ τοίνυν ὑμᾶς, ὥστε τινὰ τῶν Θεοδώρῳ τῷ Μομψουεστίας προσκειμένων μὴ ἐᾶσαι συμμεῖναι ὑμῖν, αἱρετικῷ αὐτῷ ὄντι. ἐπειδὴ καὶ ὁ ἐν

ἁγίοις

ἁγίοις πατὴρ ἡμῶν Σάβας τοῦτον μετὰ τῶν Ὠριγενείων ἐμυσάττετο. ἐγὼ δὲ σφόδρα μεταμεμέλημαι κατυπογράψαι τῷ γενομένῳ ὑπὸ τῶν ἐρήμου λιβέλλῳ κατ' ἐπιτροπὴν τοῦ πατριάρχου πρὸς τὸ μὴ ἀναθεματισθῆναι αὐτόν. πλὴν ὅτι ὁ θεὸς τῆς ἑαυτοῦ κηδόμενος ἐκκλησίας, τὸν μὲν λίβελλον ἀπρόσδεκτον γενέσθαι ᾠκονόμησεν, αὐτὸν δὲ Θεόδωρον ἀναθεματισθῆναι ηὐδόκησε. ταῦτα ὁ μακαρίτης Γελάσιος εἰπὼν τοῖς πατράσι καὶ συνταξάμενος ἐξῆλθεν. αὐτοῦ δὲ κατὰ τὸ Βυζάντιον γεγονότος, μηνύεται τῷ Ἀσκιδᾷ ἡ αὐτοῦ παρουσία, καὶ παραγγέλλονται οἵ τε τοῦ ὀρφανοτροφείου καὶ τοῦ πατριάρχου καὶ τοῦ παλατίου, μοναχὸν ἀπὸ Ἱεροσολύμων μὴ δέξασθαι. ὁ οὖν ἀββᾶς Γελάσιος μηδαμοῦ δεχθῆναι δυνηθεὶς, καὶ τὰς τοῦ Ἀσκιδᾶ συσκευὰς ὑφορώμενος, ἐξέρχεται τοῦ Βυζαντίου ἐπὶ Παλαιστίνην, πεζῇ τὴν πορείαν ποιούμενος· καὶ δὴ φθάσας τὸ * Ἀμόριον ἐτελεύτησε, μηνὶ Ὀκτωβρίῳ τῆς ἐνάτης ἰνδικτιῶνος. καὶ τοῦτο γνόντες οἱ τῆς μεγίστης λαύρας πατέρες ἀνῆλθον ὁμοθυμαδὸν ἐν τῇ ἁγίᾳ πόλει, αἰτῆσαι ἡγούμενον, καὶ μηνύσαντες τῷ πατριάρχῃ, τοῦ ἐπισκοπείου μεθ' ὕβρεων καὶ ὠθισμῶν ἐξεβλήθησαν, κατ' ἐπιτροπὴν τῶν συγκέλλων· καὶ πολλῶν θλίψεων αὐτοῖς ἐντεῦθεν ἐπιγενομένων, ἄπρακτοι εἰς τὴν λαύραν ὑπέστρεψαν. τότε δὴ πάντες

A sanctus quoque pater noster Sabas hunc cum Origene abominabatur. Me verò maximè pœnitet quòd libello subscripserim qui à Monachis Eremi juxta Patriarchæ mandatum ideo factus est, ut is nequaquam anathematizaretur. Verumtamen Deus qui Ecclesiæ suæ curam gerit, libellum non admitti providit, ipsum verò Theodorum anathemate percuti voluit. His ad patres prolatis, & valedicens, beatus Gelasius discessit.

B Ubi autem Byzantium appulisset, indicatur Ascidæ ipsius adventus; hinc præceptum datum est jam Orphanotrophii seu pupillorum nutricis domûs, quam Patriarchæ & palatii hominibus, ne ullum è Hierosolymis Monachum admitterent. Quocirca Abbas Gelasius, quòd nullatenus introduci valeret, ac Ascidæ insidiosas molitiones vereretur, è Byzantio in Palæstinam egre-

C ditur, pedestri usus itinere. Cúmque ad Amorium pervenisset, obiit, mense Octobri, Indictione nona. Reque cognita, maximæ Lauræ patres uno animo in sanctam civitatem ascenderunt, quò præpositum peterent; & cùm significassent Patriarchæ, ab Episcopio cum contumeliis ac pulsationibus, de mandato Syncellorum, ejecti sunt; multisque ærumnis dehinc in illos ingruentibus, ad Lauram negotio infecto redierunt. Tunc certè

* Metaphr. Codd. etiam Ἀμώριον & Ἀμμέριον

cuncti ad Origenistas adjunxerunt se, aut necessitati servientes, aut adulationibus inescati, aut ignorantia furtim abrepti, aut qui impietatis potentiam metuerent. Atque ita Heterodoxi omnibus occupatis, contra solam maximam Lauram, quæ obluctabatur, aciem instruebant; vehemensque illius obtinendæ adhibebant studium.

LXXXVIII. Multis ergo usi illecebris, Hegumenum seu præpositum Origenistam creaverunt, Georgium nomine, eumque in Lauram cum satellitio inferunt, atque in sede sancti patris nostri Sabæ collocant. Tunc magna persecutio accidit, sanctorumque patrum nostrorum dispersio ad lupi præsentiam. Ac divinus quidem pater noster Johannes Episcopus & solitarius, post multos annos egressus è loco in quo se concluserat, in montem olivarum secessit, unaque cum eo omnes pietatis alumni; ex quibus multi per regiones dispersi sunt. Cæterùm Deus grande signum seu prodigium edidit, quemadmodum in Ario olim. Ipso namque persecutionis die, quo ii ex maxima Laura propellebantur, hostium princeps, impietatis dux Nonnus, de medio hominum sublatus est, repentina morte correptus. Porrò gravissimus lupus Georgius, post obtentum

A προσετίθεντο τοῖς Ὠριγενιασταῖς, ἢ χρείᾳ δουλεύοντες, ἢ κολακείαις δελεαζόμενοι, ἢ ἀγνοίᾳ κλεπτόμενοι, ἢ τὸ τῆς ἀσεβείας κράτος φοβούμενοι. καὶ οὕτως οἱ ἑτερόδοξοι πάντων κρατήσαντες, πρὸς μόνην τὴν μεγίστην λαύραν ἀντιτείνουσαν ἦν αὐτοῖς ἡ παράταξις· καὶ πολλὴν ἔθεντο σπουδὴν ταύτης περικρατεῖς γενέσθαι.

πη'. Πολλοῖς τοίνυν χρησάμενοι δελεάσμασι, προεβάλλοντο ἡγούμενον Ὠριγενιαστὴν, Γεώργιον προσαγορευόμενον, B καὶ καταφέρουσιν αὐτὸν εἰς τὴν λαύραν δορυφορούμενον, καὶ καθίζουσιν αὐτὸν ἐν τῷ θρόνῳ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Σάβα. καὶ γίνεται τότε διωγμὸς μέγας, καὶ τῶν ἁγίων πατέρων ἡμῶν σκορπισμὸς ἐπὶ τῇ τοῦ λύκου παρουσίᾳ. καὶ ὁ μὲν θεσπέσιος πατὴρ ἡμῶν Ἰωάννης ὁ ἐπίσκοπος καὶ ἡσυχαστὴς, διὰ πολλῶν χρόνων ἐξελθὼν τοῦ ἑαυτοῦ ἐγκλειστηρίου, ἀνεχώρησεν εἰς τὸ ὄρος τῶν ἐλαιῶν, καὶ σὺν αὐτῷ ἅπαντες οἱ τῆς εὐσεβείας C τρόφιμοι, ἐξ ὧν πολλοὶ κατὰ τὰς χώρας διεσπάρησαν. ὁ δὲ θεὸς μέγα σημεῖον πεποίηκεν, ὥσπερ ἐπὶ Ἀρείου ποτέ. ἐν αὐτῇ γὰρ τῇ τοῦ διωγμοῦ ἡμέρᾳ, ἐν ᾗ οἱ τῆς μεγίστης λαύρας ἐξηλαύνοντο, ὁ τῶν πολεμίων ἔξαρχος, καὶ τῆς ἀσεβείας στρατηγὸς Νόννος, ἐξ ἀνθρώπων ἀνάρπαστος γέγονεν, αἰφνιδίῳ κατασχεθεὶς θανάτῳ. ὁ μέντοι βαρύτατος λύκος Γεώργιος ἐπὶ ἑπτὰ

A μῆνας τῆς ἱερᾶς τοῦ θείου Σάβα ποίμνης κρατήσας, ταύτης ἐκβάλλεται ὑπὸ τῶν ἑαυτοῦ συνασπιστῶν, ἐπὶ ἀσωτίᾳ καὶ αἰσχρότητι κατηγορηθείς. τὰς δὲ κατηγορίας αὐτὰς ἑκὼν παρασιωπήσω, ἵνα μὴ δημοσιεύσω τῷ λόγῳ τὰ λήθης ἄξια καὶ βαθείας σιγῆς. τότε οἱ ἐν τῇ μεγίστῃ λαύρᾳ περιλειφθέντες πατέρες, κατὰ γνώμην τοῦ πατριάρχου ἔλαβον ἡγούμενον τὸν Ἀββᾶν Κασσιανὸν τὸν Σκυθοπολίτην, τὴν τῆς Σουκᾶ συνοδίαν τὸ τηνικαῦτα καλῶς καὶ ὀρθοδόξως κυβερ- B νοῦντα, ἄνδρα ἐξ ἁπαλῶν ὀνύχων ἀποταξάμενον, καὶ ὑπὸ τοῦ θείου Σάβα παιδευθέντα, καὶ πρεσβύτερον τῆς μεγίστης λαύρας γεγονότα, καὶ ἐπὶ ὀκτὼ χρόνους τὴν τοῦ Σουκᾶ λαύραν κυβερνήσαντα. ὅστις Κασσιανὸς τὴν τοῦ θείου πρεσβύτου ἱερὰν ποίμνην ἐπὶ δέκα μῆνας ποιμάνας, ἐν εἰρήνῃ ἐπὶ τὸ αὐτὸ ἐκοιμήθη καὶ ὕπνωσε, τῷ ἑξ καὶ δεκάτῳ τῆς τοῦ μεγάλου κοιμήσεως χρόνῳ.

πθʹ. Τότε τοίνυν οἱ τῆς μεγίστης λαύ- C ρας πατέρες ἐκ θεοῦ κινηθέντες, προβάλλονται ἡγούμενον τὸν Ἀββᾶν Κόνωνα, ἄνδρα ἐν μοναχικοῖς κατορθώμασι καὶ ὀρθοδόξοις δόγμασι περιβόητον, Λύκιον μὲν τῷ γένει, καὶ ἐν τῇ πατρίδι ἐκ βρέφους τὴν μοναχικὴν ἀσκήσαντα πολιτείαν, καὶ ἐν πολλοῖς κατὰ θεὸν ἀγωνίσμασιν ἀριστεύσαντα, ἐλθόντα δὲ εἰς προσκύνησιν τῶν ἁγίων τόπων μετὰ τὴν τοῦ μακαρίου Σάβα κοίμησιν, καὶ εἰς τὴν μεγίστην λαύραν ὑπὸ τοῦ

septem mensibus sacrum divini Sabæ gregem, ab eo per suos commilitones ejicitur, insimulatus luxuriæ ac turpitudinis. Ipsa verò crimina ultro reticebo, ne res quæ oblivione profundoque silentio dignæ sunt in publicum proferam. Tunc patres qui in maxima Laura relicti fuerant, de sententia Patriarchæ, in præpositum sumpserunt Abbatem Cassianum Scythopolitam, qui eo tempore Sucæ congregationem præclare & orthodoxè gubernabat, virum à teneris unguiculis Monachum dimisso sæculo factum, & à divino Saba eruditum, quique Presbyter fuerat maximæ Lauræ, ac per annos octo Sucæ Lauram rexerat. Is Cassianus postquam sacri divini senis gregis pastor decem mensibus exstitisset, in pace in idipsum dormiit & re- *Ps.* IV. 9.
quievit, decimosexto post magni obitum anno.

LXXXIX. Igitur tunc temporis patres maximæ Lauræ ex divina inspiratione, præpositum designant Abbatem Co- *Evagr.* IV. 38.
nonem, virum Monachicis *Ioh. Mosch.* 42.
virtutibus rectisque dogmatibus percelebrem, genere Lycium, in patria à puero Monachalis vitæ excultorem, qui multis in divinis certaminibus strenuus apparuerat, quique post mortem beati Sabæ venit ad sacra loca adoranda, & in maximam Lauram à

Deo deductus est, ubi cun- A ctos patres temperamento spiritualis intelligentiæ ac discretionis ædificavit seu animæ emolumento affecit. Qui Abbas Conon cùm beati Sabæ gregem imminutum & ad paucos redactum accepisset, multiplicavit, & illustriorem effecit, necnon patres per regiones dispersos undique congregavit. Tunc Deus, qui semper Ecclesiæ suæ providet, Origenistarum concordiam
Gen. XI. dispescuit, ut olim tempore B Eberis fecerat, quando linguarum divisione consensum cum Deo pugnantem diremit. Nam post Nonni excessum, Firmini Lauræ Monachi cum Neolauritis dissidendo de suis scitis dogmatibus, in mutua impugnatione occupati sunt. Atque utrorumque quidem multiplex impietas, hocce tempore per quosdam è grege nostro viros Deo caros, accuratiori fusiorique sermone confutatur, & convenienter C evertitur. Facile verò est cuilibet volenti, eorum impietatem animadvertere, ex ipsis appellationibus, quibus ipsi se mutuò nuncupant, Scilicet Neolauritæ eos qui Firmini sunt, Protoctistas sive Tetraditas vocant; rursusque Firminiotæ Neolauritas nominant Isochristos. Utrique enim ex propriis impietatis suæ decretis nomina sortiti sunt. Cùm ergo Theodorus Cappadociæ,

A θεοῦ ὁδηγηθέντα, καὶ πάντας τοὺς πατέρας οἰκοδομήσαντα τῇ τῆς πνευματικῆς συνέσεως καὶ διακρίσεως συγκράσει. ὅστις Ἀββᾶς Κόνων τὴν τοῦ μακαρίου Σάβα ποίμνην ἐλαττωθεῖσαν καὶ ὀλιγωθεῖσαν παραλαβὼν, ἐπλήθυνέ τε αὐτὴν, καὶ περιφανεστέραν εἰργάσατο, καὶ τοὺς κατὰ τὰς χώρας διασπαρέντας πατέρας πάντοθεν ἐπισυνήγαγε. τότε ὁ ἀεὶ τῆς ἐκκλησίας ἑαυτοῦ προνοῶν θεὸς, διεσκέδασε τὴν τῶν Ὠριγενιαστῶν ὁμόνοιαν, ὥσπερ πάλαι ἐπὶ B τοῦ Ἔβερ πεποίηκε, τῇ τῶν γλωσσῶν διαιρέσει τὴν θεόμαχον διαλύσας συμφωνίαν. τοῦ γὰρ Νόννου ἐκποδὼν γεγονότος, οἱ τῆς Φιρμίνου λαύρας πρὸς τοὺς Νεολαυρίτας διενεχθέντες περὶ τῶν σοφῶν αὐτῶν δογμάτων, εἰς τὸν κατ᾽ ἀλλήλων ἀπησχολήθησαν πόλεμον. καὶ ἡ μὲν τῶν ἀμφοτέρων πολυσχεδὴς ἀσέβεια, κατὰ τὸν παρόντα χρόνον ὑπό τινων θεοφιλῶν ἀνδρῶν τῆς ἡμετέρας ἀγέλης, ἀκριβεστέρῳ τε καὶ πλατυτέρῳ λόγῳ στηλιτεύεται, καὶ τῆς C προσηκούσης τυγχάνει ἀνατροπῆς. ῥᾴδιον δέ ἐστι παντὶ βουλομένῳ, καταμαθεῖν τὴν τούτων ἀσέβειαν, ἐξ αὐτῶν τῶν προσηγοριῶν, ὧνπερ αὐτοὶ ἀλλήλοις ὀνομάζουσι. τῶν μὲν Νεολαυριτῶν τοὺς ἀπὸ τοῦ Φιρμίνου, Πρωτοκτίστας ἤγουν Τετραδίτας καλούντων· τῶν δὲ αὖ πάλιν Φιρμινιωτῶν, τοὺς Νεολαυρίτας, Ἰσοχρίστους ὀνομαζόντων. ἐκ τῶν γὰρ οἰκείων τῆς ἀσεβείας δογμάτων τὰς ὀνομασίας ἐκληρώσαντο ἕκαστοι. Θεοδώρου τοίνυν Καππαδοκίας

περὶ τὰ τῆς πολιτείας πράγματα κρατοῦντος, καὶ τὰ μέρη τῶν Ἰσοχρίστων καὶ ὄντος καὶ ἀντιλαμβανομένου, καὶ πολλοὺς αὐτῶν χειροτονηθῆναι ἐπισκόπους Παλαιστίνης καὶ ἡγουμένους παρασκευάσαντος, γενέσθαι δὲ καὶ Θεόδωρον τὸν τῆς νέας λαύρας ἡγούμενον σταυροφύλακα, καὶ τῶν Σκυθοπολιτῶν μητροπολίτην, ζάλαι τινὲς καὶ κλύδωνες κατελάμβανον, οὐ μόνον τὴν ἡμετέραν ἀγέλην, ἀλλὰ καὶ τὴν τῷ ἀσεβεστάτῳ Πρωτοκτίστῳ δόγματι προσκειμένην, ἧς ἡγούμενος ὑπῆρχεν Ἰσίδωρος. ὅστις Ἰσίδωρος μὴ ἰσχύων ἀντιστῆναι τῷ τε Ἀσκιδᾶ καὶ τοῖς Νεολαυρίταις, προσερρύη τῷ τῆς ἡμετέρας ἀγέλης ποιμένι Ἀββᾶ Κόνωνι, καὶ δοὺς αὐτῷ λόγον εἰς τὴν ἁγίαν Σιὼν, ὡς οὐκ ἀντιλαμβάνεται τοῦ τῆς προϋπάρξεως δόγματος, ἀλλὰ καὶ πάσῃ δυνάμει συναγωνίσηται κατὰ τῆς ἀσεβείας, ἀνέβη σὺν αὐτῷ ἐν Κωνσταντινουπόλει.

ϟʹ. Οἱ μὲν οὖν περὶ τὸν Ἀββᾶν Κόνωνα ἐν Κωνσταντινουπόλει γεγονότες, καὶ διαφόροις θλίψεσιν ὑπὸ τοῦ Ἀσκιδᾶ καθυποβληθέντες, διὰ τῆς ὑπομονῆς νικηφόροι ἀνεδείχθησαν. ὀλίγων γὰρ διελθουσῶν ἡμερῶν, Πέτρου τοῦ ἀρχιεπισκόπου τελευτήσαντος, καὶ Μακαρίου ὑπὸ τῆς αὐθαδείας τῶν Νεολαυριτῶν χειροτονηθέντος, καὶ πολέμου ἐν τῇ ἁγίᾳ πόλει γεγονότος, ὁ μὲν εὐσεβέστατος βασιλεὺς σφοδρῶς ἀγανακτήσας κατά τε τοῦ Ἀσκιδᾶ καὶ τῶν Ὠριγενιαστῶν, Μακάριον τῆς ἐπισκοπῆς ἐξωρ-

A Reipublicæ negotia administraret, ac staret à partibus Isochristorum, eosque tueretur, multosque ipsorum Episcopos Palæstinæ ac Hegumenos constitui fecisset, necnon Theodorum Novæ Lauræ præpositum procurasset fieri Crucis custodem, & Scythopolitanorum Metropolitam, procellæ atque tempestates comprehenderunt non solùm nostrum gregem, sed etiam eum qui impiissimo Protoctisto dogmati B adhærebat, quique præfectum habebat Isidorum. Hic Isidorus, quia non valebat Ascidæ & Neolauritis resistere, ad Abbatem Cononem nostri gregis pastorem transiit & confluxit, atque pollicitus ei in sancta Sione, se numquam defensurum præexistentiæ sententiam, sed omnibus viribus unà certaturum adversùs impietatem, cum ipso Constantinopolim profectus est.

x c. Abbas ergo Conon ejusque comites, Constantinopoli diversis ærumnis per Ascidam subjecti, patientiâ victoriam reportarunt. Aliquot enim interjectis diebus, cùm è vita discessisset Petrus Archiepiscopus, & Macarius temeritate Neolauritarum esset ordinatus, bellumque sanctam civitatem teneret, piissimus quidem Imperator valdè indignatus contra Ascidam & Origenistas, Macarium jussit ab Episcopatu ex-

C

pelli; Conon verò Abbas & socii, opportunitate temporis arreptâ, quæ ad ipsos pertinebant Imperatori nota fecerunt, libellum ei tradiderunt, universam Origenistarum impietatem manifestarunt, Isidoro jam mortuo. Atque inde cum multa fiducia, Eustochium Alexandriæ Oeconomum, qui Constantinopoli tunc degebat, Episcopum Hierosolymorum promovent. Piissimus autem noster Imperator, tum Eustochium Patriarcham fieri sanxit, tum Oecumenicam Synodum agi mandavit. Atque Abbas Conon Eustochium Hierosolymam dimittendo, hortatus est ut Eulogium Monasterii beati Theodosii præpositum mitteret, quò is etiam in Synodo quæ congregabatur adesset. Is Eustochius in Patriarchatu constitutus, tres Episcopos misit, qui locum ipsius in Concilio tenerent, prætereaque Abbatem Eulogium cum aliis duobus Monasteriorum præpositis. Itaque cùm sancta & universalis quinta Synodus Constantinopoli esset coacta, communi generalique anathemati submissi sunt Origenes, & Theodorus Mopsuestenus, cum iis quæ de præexsistentia & restitutione dicta sunt ab Evagrio & Didymo: præsentibus quatuor Patriarchis, atque decreta comprobantibus. Porrò postquam noster à Deo protectus

* Al. inser. τῇ

* Al. Μοψουεστίας

A θῆναι ἐκέλευσεν· οἱ δὲ περὶ τὸν Ἀββᾶν Κόνωνα, καιροῦ ἐπιτηδείου δραξάμενοι, τὰ καθ' ἑαυτοὺς τῷ βασιλεῖ γνωρίσαντες, λίβελλον αὐτῷ ἐπιδεδώκασι, πᾶσαν τὴν τῶν Ὠριγενιαστῶν ἀσέβειαν ἐμφανῆ ποιήσαντες, Ἰσιδώρου τελευτήσαντος. Καὶ ἐντεῦθεν πλείστης παῤῥησίας μεταχόντες, Εὐστόχιον οἰκονόμον ὄντα Ἀλεξανδρείας, καὶ ἐν Κωνσταντινουπόλει γεγονότα, ἐπίσκοπον Ἱεροσολύμων B προβάλλονται. ὁ δὲ εὐσεβέστατος ἡμῶν βασιλεὺς, Εὐστόχιον μὲν πατριάρχην γενέσθαι ἐθέσπισε, σύνοδον δὲ οἰκουμενικὴν γενέσθαι ἐκέλευσε. καὶ ὁ Ἀββᾶς Κόνων ἀπολύων ἐπὶ Ἱεροσόλυμα τὸν Εὐστόχιον, παρεκάλεσεν ἀποστεῖλαι τὸν τῆς μονῆς τοῦ μακαρίου Θεοδοσίου ἡγούμενον Εὐλόγιον, πρὸς τὸ εὑρεθῆναι καὶ αὐτὸν ἐν τῇ ἀθροιζομένῃ συνόδῳ. ὅστις Εὐστόχιος τῆς πατριαρχίας ἐντὸς γεγονὼς, τρεῖς μὲν ἐπισκόπους ἀπέστειλε τὸν ἑαυτοῦ C τόπον ἐν τῇ συνόδῳ ἀναπληρώσοντας· ἀπέστειλε δὲ καὶ τὸν Ἀββᾶν Εὐλόγιον, μετὰ ἄλλων δύο ἡγουμένων. τῆς τοίνυν ἁγίας καὶ οἰκουμενικῆς πέμπτης συνόδου * ἐν Κωνσταντινουπόλει συναθροισθείσης, κοινῷ καὶ καθολικῷ καθυπεβλήθησαν ἀναθέματι Ὠριγένης τε καὶ Θεόδωρος ὁ * Μομψουεστίας, καὶ τὰ περὶ προϋπάρξεως καὶ ἀποκαταστάσεως Εὐαγρίῳ καὶ Διδύμῳ εἰρημένα· παρόντων τῶν τεσσάρων πατριαρχῶν, καὶ τούτοις συναινούντων. τοῦ μέντοι θεοφυλάκτου ἡμῶν

βασιλέως ἀποστείλαντος ἐν Ἱεροσολύμοις τὰ ἐν τῇ συνόδῳ πραχθέντα, καὶ πάντων τῶν κατὰ Παλαιστίνην ἐπισκόπων χειρὶ καὶ στόματι ταῦτα βεβαιωσάντων καὶ κυρωσάντων, [πλὴν Ἀλεξάνδρου τοῦ Ἀβίλλης, καὶ διὰ τοῦτο τῆς ἐπισκοπῆς ἐκβληθέντος, καὶ ἐν τῷ Βυζαντίῳ ὑπὸ σεισμοῦ καταχωσθέντος] οἱ * Νεολαυρῖται τῆς καθολικῆς ἑαυτοὺς ἐχώρισαν κοινωνίας. ὁ δὲ πατριάρχης Εὐστόχιος διαφόρως αὐτοὺς μεταχειρισάμενος, καὶ ἐπὶ ὀκτὼ μῆνας τῇ πρὸς αὐτοὺς νουθεσίᾳ καὶ παρακλήσει χρησάμενος, (B) καὶ μὴ πείσας αὐτοὺς τῇ καθολικῇ κοινωνῆσαι ἐκκλησίᾳ, βασιλικαῖς κελεύσεσι χρησάμενος, δι' Ἀναστασίου τοῦ δουκὸς, τῆς νέας λαύρας αὐτοὺς ἐξέωσε, καὶ τὴν ἐπαρχίαν πᾶσαν τῆς αὐτῶν ἠλευθέρωσε λύμης. μὴ βουλόμενος δὲ ἀοίκητον ἐᾶσαι τὸν τόπον, ἑκατὸν εἴκοσι μοναχοὺς ἐπιλεξάμενος, ἐκεῖσε κατεφύτευσε, ἑξήκοντά τε ἐκ τῆς μεγίστης λαύρας, ἐξ ὧν ἐχειροτόνησε Ἰωάννην τινὰ ἀπὸ σχολαρίων ἡγούμενον, (C) καὶ ἄλλους ἑξήκοντα ἀπὸ τῶν λοιπῶν τῆς ἐρήμου ὀρθοδόξων μοναστηρίων, ὧν εἷς εἰμὶ ἐγὼ μεταπεμφθεὶς ἐκ τῆς μονῆς τοῦ ἐν ἁγίοις Εὐθυμίου ὑπὸ τῶν τῆς μεγίστης λαύρας πατέρων, γνώμῃ καὶ ἐπιτροπῇ τοῦ θεσπεσίου Ἰωάννου τοῦ ἐπισκόπου καὶ ἡσυχαστοῦ. τοιγαροῦν συναθροισθέντες εἰς τὴν ἁγίαν πόλιν, ἐξήλθομεν μετὰ τοῦ πατριάρχου καὶ τοῦ νέου ἡγουμένου ἐπὶ Θεκῶαν τὴν κώμην· καὶ τῶν Ὠριγενιαστῶν ὑπὸ Ἀναστασίου τοῦ δουκὸς

A Imperator acta Synodi Hierosolymam misisset, omnesque per Palæstinam Episcopi manu & ore ea confirmassent atque roborassent, præter Alexandrum Abylæ, qui ideò ab Episcopatu dejectus est, ac Byzantii à terræ motu obrutus fuit, Neolauritæ à Catholica communione separaverunt se. At Patriarcha Eustochius, diversis modis eos aggressus, & per octo menses admonitione & adhortatione erga illos usus, B ubi non persuasit ut cum Catholica communicarent Ecclesia, Imperatoriis adhibitis jussionibus, per Anastasium ducem eosdem à Nova Laura expulit, totamque provinciam ab ipsorum peste liberavit. Quòd verò nollet locum absque habitatoribus relinquere, centum viginti Monachos collectos, illic transplantavit; sexaginta nimirum è maxima Laura, ex quibus Johannem quemdam qui Scholarius fuerat, C præpositum ordinavit & constituit; alios verò sexaginta è reliquis Eremi Orthodoxis Monasteriis; quorum unus ipse sum, per maximæ Lauræ patres è Monasterio sancti Euthymii, de sententia & permissione divini Johannis Episcopi ac solitarii evocatus. Itaque in sancta civitate congregati, egressi sumus cum Patriarcha novoque præposito in Thecoam vicum; atque post Origenistas ab Anastasio duce

* Al. infer.

pulſos, Novam Lauram rece- A
pimus, vigeſimo tertio à mor-
te beati Sabæ anno. Et in his
quidem finem habuit bellum
quod contra pietatem excita-
tum fuerat. Ego verò hìc ſer-
monem quem de divino ſene
inſtitui concluſurus, Prophe-
ticam illam vocem congruen-
Iſ. ter emittam; *Exſultet ſolitu-*
xxxv. *do, & floreat quaſi lilium*;
1. quia miſertus eſt Deus filio-
rum ejus, iſta ad ſemetipſum
Ex. iii. dicens; *Videns vidi afflictio-*
7. 8 ii. *nem populi mei* Hieroſolymi- B
24. tani, gemitum illorum au-
divi, & volo liberare eos. At-
que volens viſitavit, ac viſi-
tando ſervavit, noſque rede-
mit ab Origeniſtarum tyran-
Pſ. nide, eoſque ejecit à facie no-
lxxvii ſtra, nos habitare fecit in ta-
54 55. bernaculis eorum, necnon la-
Pſ. civ. bores ipſorum in poſſeſſionem
44 45. dedit nobis, ut cuſtodiamus
juſtificationes ejus, ac legem
ejuſdem requiramus. Ipſi gloria,
in ſæcula. Amen.

διωχθέντων, παρελάβομεν τὴν νέαν λαύραν, τῷ εἰκοστῷ τρίτῳ ἔτει τῆς τοῦ μακαρίου Σάβα κοιμήσεως. καὶ ἐν τούτοις μὲν τέλος ἐδέξατο ὁ κατὰ τῆς εὐσεβείας πόλεμος. ἐγὼ δὲ ἐνταῦθα στῆσαι μέλλων τὸν περὶ τοῦ θείου πρεσβύτου λόγον, τὴν προφητικὴν ἐκείνην φωνὴν προσφόρως ἐρῶ· ἀγαλλιάσθω ἡ ἔρημος, καὶ ἀνθείτω ὡς κρίνον, ὅτι ἠλέησεν ὁ θεὸς τὰ τέκνα αὐτῆς, ἐκεῖνα πρὸς ἑαυτὸν εἰπών· ἰδὼν ἴδον τὴν κάκωσιν τοῦ λαοῦ μου τοῦ ἐν Ἱεροσολύμοις, καὶ τοῦ στεναγμοῦ αὐτῶν ἤκουσα, καὶ βούλομαι ἐξελέσθαι αὐτούς. καὶ βουληθεὶς ἐπεσκέψατο, καὶ ἐπισκεψάμενος ἔσωσε, καὶ ἐλυτρώσατο ἡμᾶς ἐκ τῆς καταδυναστείας τῶν Ὠριγενιαστῶν, καὶ ἐξέβαλεν αὐτοὺς ἀπὸ προσώπου ἡμῶν, καὶ κατεσκήνωσεν ἡμᾶς ἐν τοῖς σκηνώμασιν αὐτῶν, καὶ τοὺς πόνους αὐτῶν κατεκληρονόμησεν ἡμᾶς, ὅπως ἂν φυλάξωμεν τὰ δικαιώματα αὐτοῦ, καὶ τὸν νόμον αὐτοῦ ἐκζητήσωμεν. αὐτῷ ἡ δόξα, εἰς τοὺς αἰῶνας. ἀμήν.



ΤΙΜΟΘΕΟΥ

ΤΙΜΟΘΕΟΥ ΠΡΕΣΒΥΤΕΡΟΥ τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας Κωνσταντινουπόλεως, πρὸς Ἰωάννην πρεσβύτερον τῆς ἁγιωτάτης τοῦ θεοῦ καθολικῆς ἐκκλησίας, καὶ σκευοφύλακα τῆς ἁγίας θεοτόκου ἐν τοῖς Χαλκοπρατείοις, περὶ διαφορᾶς τῶν προσερχομένων τῇ ἁγιωτάτῃ ἡμῶν πίστει.

A

TIMOTHEI Presbyteri sanctissimæ magnæ Ecclesiæ Constantinopolis, & vasorum custodis sanctæ Deiparæ in Chalcopratiis, ad Iohannem Presbyterum sanctissimæ Dei Catholicæ Ecclesiæ, de differentia eorum qui accedunt ad purissimam nostram fidem.

Τρεῖς τάξεις εὑρίσκομεν τῶν προσερχομένων τῇ ἁγίᾳ τοῦ θεοῦ καθολικῇ καὶ ἀποστολικῇ ἐκκλησίᾳ, θεοφιλέστατε συλλειτουργὲ Ἰωάννη, καὶ πάντων ἐμοὶ προσφιλέστατε.

B

Tres invenimus ordines hominum qui ad sanctam Dei Catholicam Apostolicamque Ecclesiam accedunt, religiosissime comminister Johannes, omniumque mihi dilectissime.

Καὶ πρώτη μὲν τάξις ἐστὶ τῶν δεομένων τοῦ ἁγίου βαπτίσματος.

Et primus quidem ordo eorum est, qui sacro baptismate indigent.

Δευτέρα δὲ, τῶν μὴ βαπτιζομένων, χριομένων δὲ τῷ μύρῳ τῷ ἁγίῳ.

Secundus verò, eorum qui non baptizantur, sed unguntur unguento sancto.

Καὶ τρίτη τῶν μήτε βαπτιζομένων, μήτε χριομένων· ἀλλὰ μόνον ἀναθεματιζόντων τὴν ἰδίαν καὶ πᾶσαν ἄλλην αἵρεσιν.

C

Et tertius, eorum qui neque baptizantur, neque unguntur; at solummodo anathematizant propriam omnemque aliam Hæresim.

Καὶ οἱ μὲν βαπτιζόμενοι, εἰσὶν οἵδε.

Qui porrò baptizantur, hi sunt.

Τασκοδρουγοί.

Tascodrugi.

Οὗτοι τὴν Γαλατίαν οἰκοῦσι, Μάρκον τινὰ γόητα ἐσχηκότες διδάσκαλον· τὴν θείαν ἐπίγνωσιν ἀθετοῦσι, τὸ βάπτισμα διασύρουσι, τὰ τούτου

Isti Galatiam incolunt: Marcum quemdam præstigiatorem pro magistro habuere: divinam agnitionem repudiant; baptisma derident, ejusque

symbola declinant, dicentes non oportere rerum cœlestium & ineffabilium, *seu potiùs* invisibilium, figuras in terra visibiliter efformari, neque corporeis assimilari incorporea. Domini pro nobis Oeconomiam & Incarnationem inficiantur; & circa rerum creationem, Simonis tenentur errore. Dicuntur Tascodrugi Galatarum linguâ; apud quos Tascus appellatur paxillus, Drugus nasus. Hæc autem est illorum consuetudo: in precibus suis digitum manûs dextræ naso fulciunt, atque ita orant. Ad hunc ergo modum Galaticè vocantur Tascodrugi, quod transfertur, Passalorynchitæ, Paxillorostrones.

* Ed. ἀῤῥήτων

Marcionistæ seu Artotyritæ.

Marcio Ponticus discipulus fuit Cerdonis. Quatuor ingenitas rerum substantias posuit; iterumque quaternitatem coegit in dualitatem: dixit nempe bonum Deum, ignotumque; & alium creatorem, justum, malumque appellavit. Dominum verò solâ affirmat opinione hominem factum esse, non juxta veritatem. Materiam vocat pessimam, mundumque mali opificium. Animam existimavit divinæ substantiæ portionem: ac bellum perpetuum inter animam corpusque collocavit. Serpentem asseruit opifice mundi esse meliorem; quòd hic movente

A σύμβολα ἐκκλίνουσι, μὴ χρῆναι λέγοντες οὐρανίων καὶ * ἀφάτων τύπους ἐπὶ γῆς ὁρατῶς εἰκονίζεσθαι, μηδὲ σωματικοῖς εἰκάζεσθαι τὰ ἀσώματα. τὴν ὑπὲρ ἡμῶν τοῦ κυρίου οἰκονομίαν ἀρνοῦνται· καὶ περὶ τὴν κτίσιν τῶν ὄντων, ὡς ὁ Σίμων πλανῶνται. Τασκοδρουγοὶ λέγονται τῇ γλώσσῃ τῶν Γαλατῶν, ἐπειδὴ τασκὸς παρ' αὐτοῖς ὁ πάσσαλος ἑρμηνεύεται, δροῦγγος δὲ ὁ ῥώθων. ἔστι δὲ αὐτοῖς συνήθεια τοιαύτη· ἐν ταῖς λε-
B γομέναις παρ' αὐτῶν εὐχαῖς, ἐπαναπαύουσι τὸν δάκτυλον τῆς δεξιᾶς χειρὸς τῷ ῥώθωνι, καὶ οὕτως προσεύχονται. κατὰ τοῦτον οὖν τὸν τρόπον λέγονται Γαλατιστὶ Τασκοδρουγοὶ, ὅπερ ἑρμηνεύεται Πασσαλορυγχῖται.

Μαρκιωνισταὶ ἤγουν Ἀρτοτυρῖται.

Μαρκίων ὁ Ποντικὸς μαθητὴς γέγονεν Κέρδωνος. τέσσαρας ἀγεννήτους οὐσίας τῶν ὄντων ὑπέθετο· καὶ πάλιν τὴν τετράδα εἰς δυάδα συνέ-
C στελεν. ὧν τὸν μὲν ἀγαθὸν εἶπεν καὶ ἄγνωστον· τὸν δὲ δημιουργόν τε καὶ δίκαιον καὶ πονηρὸν προσηγόρευσεν. καὶ τὸν κύριον δοκήσει λέγει γεγονέναι, καὶ οὐ κατ' ἀλήθειαν ἄνθρωπον. καὶ τὴν ὕλην δὲ κακίστην καλεῖ, καὶ τὸν κόσμον τοῦ πονηροῦ τεκτόνημα. τὴν δὲ ψυχὴν μοῖραν τῆς τοῦ θεοῦ οὐσίας ἐνόμισεν· καὶ μάχην ἄσπονδον ψυχῇ καὶ σώματι τέθεικεν. καὶ τὸν ὄφιν εἶπεν τοῦ δημιουργοῦ ἀγαθώτερον· οἷα τοῦ μὲν

φθόνῳ τὴν γεῦσιν τοῦ ξύλου κωλύσαντος, τὸν δὲ ἀφθόνως ταύτης μεταλαβεῖν συμβουλεύσαντος· ὃν καὶ σέβουσι πλάττοντες χαλκῷ· τὸν ὡς λέγουσι φθόνῳ σεβόμενοι. οἱ οὖν Ἀρτοτυρῖται, ἐκ τῆς αἱρέσεως τούτου τοῦ Μαρκίωνος κατάγονται· παραμείβουσι δὲ τὴν κλῆσιν προσθήκαις ἐπινοιῶν. γάλακτι γὰρ φυρῶντες ζύμην, τοῖς οἰκείοις μύσταις ὀρέγουσιν. οὗτοι νόμον καὶ προφήτας καὶ πατριάρχας ἀποβάλλονται· δοκήσει μᾶλλον τὸ κατὰ Λουκᾶν εὐαγγέλιον προσιέμενοι. τὴν δὲ ἀνάστασιν τῶν σωμάτων γελῶσιν ὡς ἄτοπον. καὶ αὐτὸς ὁ Μαρκίων, ὕδωρ ἐν τοῖς μυστηρίοις προσφέρει. ἐξ αὐτοῦ λοιπὸν παρέλαβον καὶ οἱ μαθηταὶ αὐτοῦ. φασὶ τὸν Μαρκίωνα εἰπεῖν τῷ ἁγίῳ Πολυκάρπῳ· Ἐπιγίνωσκε ἡμᾶς Πολύκαρπε· καὶ Πολύκαρπον εἰπεῖν· Ἐπιγινώσκω σε τὸν πρωτότοκον τοῦ Σατανᾶ.

A invidiâ gustatum ligni prohibuerit, ille verò affatim sumendi dederit consilium: quem etiam colunt, effingentes ære; alium, ut dicunt, ob invidiam adorantes. Igitur Artotyritæ, ex hujus Marcionis Hæresi descendunt: sed ob additamenta excogitationum, mutant nomen. Nam cum lacte permistum fermentum tradunt mysteriorum suorum consciis. Iidem Legem, Prophetas, Patriarchas rejiciunt; specie tenus B admittunt Evangelium secundùm Lucam. Corporum autem resurrectionem ut absurdam irrident. Et ipse Marcio aquam in mysteriis offert. A quo deinceps sumpserunt discipuli ejus. Aiunt Marcionem dixisse sancto Polycarpo; Agnosce nos, Polycarpe: ac excepisse Polycarpum; Agnosco te primogenitum Satanæ.

Σακκοφόροι καὶ * Ἀποτακτῖται καὶ Ἐγκρατῖται ἤγουν Ὑδροπαραστάται.

C

Οὗτοι ἀντὶ οἴνου ὕδωρ τῷ θεῷ προσφέρουσι· διὰ τοῦτο καὶ Ὑδροπαραστάται καλοῦνται. τὸν γάμον πορνείαν προσαγορεύουσι. τὰ παρὰ θεοῦ παραχθέντα, ὡς πονηρὰ μυσαττόμενοι. οὗτοι ἀρχηγὸν τῆς αἱρέσεως ἔχουσιν ἕνα τῶν μαθητῶν Ἰουστίνου τοῦ φιλοσόφου καὶ μάρτυρος. φασὶ δὲ ὅτι μετὰ τὸ μαρτύριον τοῦ ἁγίου Ἰουστίνου ἀποστὰς τῆς ἐκκλησίας, ἐφεῦρε ταύτην τὴν αἵρεσιν.

Saccophori & Apotactitæ & Encratitæ seu Hydroparastatæ.

* Al. Ἀποτακτῖται

Isti loco vini aquam Deo offerunt: ob quod Hydroparastatæ nuncupantur. Nuptias nomine fornicationis donant. à Deo traditos cibos abominantur tamquam malos. Auctorem Hæresis suæ habuerunt unum è discipulis Justini Philosophi & Martyris. Aiuntque illum post sancti Justini martyrium abscessisse ab Ecclesia, atque excogitâsse hanc Hæresim.

Valentinus & Basilides, & Hermai appellati.

Basilides Ægyptius, incorporeum in terra apparuisse Christum fabulatus est, nec quidquam passum esse; sed Simonem Cyrenæum pro ipso habitum affixum fuisse cruci; Christum verò eminus cùm cerneret, risisse Judæorum dementiam. Addit oportere non in crucifixum credere, ac in eum qui crucis supplicium pertulisse putatus est. Ad hæc negavit carnis resurrectionem: repudiavit Legem & Prophetas: percipere audacter Idolothyta permisit, omniaque turpissima patrare promiscuè, necnon peragere præstigias, incantationes, veneficia. Valentinus verò Bythum & Sigen cunctis præexsistere censuit. Christum ipse etiam incorporeum prodigiosè comminiscitur, quique corpus animale à Demiurgo acceperit, quod cùm priùs nec tangi nec videri posset, postea factum sit obnoxium tactui & visui. Ex his Hæmæi nuncupantur, nomen sortiti à quodam sic appellato. Omnem actionem vetitam operantur: festa insolentia vocant, comedunt Idolis immolata. Idem docet corpus Domini supernè delatum fuisse, ac per Mariam virginem pertransiisse, instar aquæ per tubum. Id etiam portenti simile fingit, aliud corpus

A Βαλεντῖνος καὶ Βασιλείδης, οἱ καὶ Ἑρμαῖοι καλούμενοι.

Ὁ μὲν Βασιλείδης ὁ Αἰγύπτιος ἀσώματον ἐν γῇ φανῆναι τὸν Χριστὸν ἐμυθεύσατο, πάθος οὐδὲν ὑπομείναντα· Σίμωνα δὲ τὸν Κυρηναῖον ὡς αὐτὸν νομισθέντα τῷ σταυρῷ προσπαγῆναι· τὸν Χριστὸν δὲ θεώμενον πόῤῥωθεν, γελᾶν τῶν Ἰουδαίων τὴν ἄνοιαν· χρῆναι φάσκων οὐκ εἰς τὸν σταυρωθέντα πι-
B στεύειν, ἀλλ' εἰς τὸν ἐσταυρῶσθαι δόξαντα. ἠρνεῖτο δὲ τῆς σαρκὸς τὴν ἀνάστασιν· ἀθετῶν τὸν νόμον καὶ τοὺς προφήτας. μετέχειν δὲ ἀδεῶς εἰδωλοθύτων ἐπέτρεψε, καὶ πάντα πράττειν ἀδιακρίτως τὰ αἴσχιστα, γοητείας καὶ ἐπῳδὰς καὶ μαγγανείας τελεῖν. ὁ Βαλεντῖνος δὲ βυθὸν καὶ σιγὴν προϋπάρχειν πάντων ὑπέθετο· ἀσώματον δὲ καὶ αὐτὸς τὸν Χριστὸν τερατεύεται, σῶμα ψυχικὸν παρὰ τοῦ δημιουργοῦ κομισά-
C μενον, ὅπερ ἁπτὸν καὶ ὁρατὸν μὴ ὂν πρότερον, γέγονεν ὕστερον. ἐκ τούτων Ἑρμαῖοι προσαγορεύονται, ἀπό τινος οὕτω κληθέντος λαχόντες τὸ ὄνομα. πᾶσαν πρᾶξιν ἀπειρημένην ἐργάζονται, ἑορτὰς ἐκτόπους καλοῦντες, καὶ ἐσθίοντες εἰδωλόθυτα. ἔτι δὲ λέγει τὸ σῶμα τοῦ κυρίου ἄνωθεν κατενηνέχθαι, καὶ ὡς διὰ σωλῆνος ὕδωρ διὰ Μαρίας τῆς παρθένου διεληλυθέναι. καὶ τοῦτο δὲ τερατεύεται, ἄλλο σῶμα

ἐγείρεσθαι, ὃ τὸ προσαγορεύουσι A πνευματικὸν, καὶ οὐχὶ τοῦτο· καὶ τῶν γνωστικῶν δὲ λέγει ἑαυτὸν εἶναι. καὶ ὁ Βαρδησάνης τὰ αὐτὰ λέγει Βαλεντίνῳ. οὗτος δὲ ὁ Βαλεντῖνος, ἐπίσκοπος γέγονεν Αἰγύπτου.

suscitari, quod spirituale nominant, non autem hoc. Se etiam de Gnosticorum seu scientia præditorum numero esse gloriatur. Cum Valentino eadem loquitur Bardesanes. Porrò Valentinus exstitit Ægypti Episcopus.

Νικολαῖται.

Nicolaitæ.

xi. Dicunt, animam hominis apud ipsos spiritualis, post dictam iisdem tranquillitatem, C mutari in divinam immortalemque naturam.

xii. Item; sacri corporis & sanguinis Christi veri Dei nostri sanctam perceptionem, nihil adjuvare aut lædere eos qui dignè vel indignè communicant; quódque ob id solum nemo umquam separari debeat ab Ecclesiastica communione, cùm res sit indifferens. Proinde isti ea non sumunt cum timore ac fide, velut vivifica, & tamquam quæ

* Abest à Turr.

sint ac esse credantur incarnati A Dei.

XIII. Eorumdem sermo est, manuum operationem, ut fœdam se aversari. Atque hinc se vocant spirituales, nec judicant fieri posse aut æquum esse, ut deinceps sensibile opus attingant qui tales sunt, & in hoc etiam repudiant Apostolorum traditionem.

XIV. De iis referunt; quòd post vocatam inter ipsos affectuum vacuitatem, multo somno dedentes se, somnia sibi B immissa per malum dæmonem qui in iis operatur, prædicant sicut prophetias; quas docent credi debere tamquam à Spiritu sancto inspiratas: hasque afflationes, sanctas putant & nominant, ipsi decipientes ac decepti.

XV. Præcipiunt, non dare Eleemosynam mendicis, nec viduis aut pupillis, nec iis qui in variis ærumnis aut corporum labe constituti sunt, vel in latronum aut Barbarorum C incursiones, vel hujusmodi alias calamitates inciderunt: sed potiùs ipsis sibi cuncta præbere; quoniam ipsi verè sint pauperes spiritu.

XVI. Arbitrantur, quòd cùm aliquis post dictam imperpessionem se tradit deliciis ac libidini, id caret culpa & periculo; quòd is non ampliùs subjectus sit ulli perturbationi, sed licentiam habeat vetitis affectibus lascivire.

ὡς θεοῦ σεσαρκωμένου ὄντων τε καὶ πιστευομένων.

ιγ'. Λέγουσι τὴν τῶν χειρῶν ἐργασίαν, ὡς βδελυρὰν ἀποστρέφεσθαι· καὶ πνευματικοὺς ἐντεῦθεν ἑαυτοὺς ὀνομάζουσιν, οὐ κρίνοντες δυνατὸν οὐδὲ δίκαιον, ἔργου λοιπὸν αἰσθητοῦ τοὺς τοιούτους ἐφάπτεσθαι· ἀθετοῦντες καὶ ἐν τούτῳ τὴν τῶν ἀποστόλων παράδοσιν.

ιδ'. Λέγουσιν ὅτι μετὰ τὴν λεγομένην παρ' ἐκείνων ἀπάθειαν, ὕπνῳ πολλῷ ἐκδιδόντες ἑαυτούς, τοὺς κατ' ἐπίπνοιαν τοῦ ἐνεργοῦντος αὐτοῖς πονηροῦ δαίμονος γινομένους ὀνείρους, ὡς προφητείας κηρύττουσιν· καὶ ταύτας ὡς ἀπὸ τοῦ ἁγίου πνεύματος ἐμπνευσθείσας διδάσκουσι πιστεύεσθαι· ἐνθουσιασμοὺς τούτους ἁγίους νομίζοντες, καὶ ὀνομάζοντες· ἀπατῶντες καὶ ἀπατώμενοι.

ιε'. Λέγουσι μὴ διδόναι ἐλεημοσύνην τοῖς προσαιτοῦσι, μήτε μὴν χήραις ἢ ὀρφανοῖς, μήτε τοῖς ἐν διαφόροις περιστάσεσιν ἢ λώβῃ σωμάτων καθεστῶσιν, ἢ λῃστῶν ἢ βαρβάρων ἐπιδρομαῖς ἤ τισι τοιαύταις συμφοραῖς περιπεπτωκόσιν· ἀλλ' αὐτοῖς ἅπαντα μᾶλλον παρέχειν· διότι αὐτοί εἰσιν ὡς ἀληθῶς, οἱ πτωχοὶ τῷ πνεύματι.

ις'. Λέγουσιν ὅτι τὸ ἐκδιδόναι τινὰ ἑαυτὸν μετὰ τὴν λεγομένην ἀπάθειαν εἰς τρυφὴν καὶ ἀκολασίαν, ἀνεύθυνόν ἐστι καὶ ἀκίνδυνον· ὡς μηκέτι ὑποκειμένου αὐτοῦ πάθει τινί· ἀλλ' ἄδειαν αὐτοῦ ἔχοντος τοῖς ἀπηγορευμένοις πάθεσιν ἀκολασταίνειν.

ιζ'. Λέγουσιν εἰδέναι ἐν ποίᾳ καταστάσει αἱ τῶν τελευτησάντων ψυχαὶ καθεστήκασι· καὶ ἑαυτοὺς καρδιογνώστας φαντάζονται· ὥστε εἰδέναι ἀκριβῶς διὰ στοχασμῶν καὶ ἠθῶν τὰς τῶν ἀνθρώπων διαθέσεις. A

ιη'. Οὗτοι γυναῖκας διδασκάλους τῶν δογμάτων τῆς ἰδίας αἱρέσεως προβάλλονται· οὐ μόνον ἀνδρῶν ἁπλῶς, ἀλλὰ καὶ ἱερέων ταύτας ἐξάρχειν ἐπιτρέποντες· κεφαλὴν ἑαυτῶν τὰς γυναῖκας ποιούμενοι, καὶ τὸν ὄντως κεφαλὴν Χριστὸν τὸν θεὸν ἡμῶν ἀτιμάζοντες. B

ιθ'. Οὗτοι ἐρωτώμενοι περὶ τῶν ἰδίων αὐτῶν δογμάτων, ἔξαρνοι γίνονται· καὶ ἀδεῶς καὶ προθύμως ἀναθεματίζουσι πάντας τοὺς οὕτω φρονοῦντας ἢ καὶ φρονήσαντας· καὶ ὀμνύουσιν ἀφόβως, ὡς τὰ τοιαῦτα δόγματα μισοῦσι καὶ ἀποστρέφονται· ὡς μήτε τῆς ἐπιορκίας μήτε τοῦ ἀναθεματισμοῦ βλάπτειν λοιπὸν δυναμένων τοὺς μετὰ τὴν ἀπάθειαν ὡς αὐτοὶ λέγουσι πνευματικοὺς γινομένους· ἐπιορκεῖν C τε καὶ ἀναθεματίζειν ἑαυτοὺς ἐπ' ἀδείας ἐχόντων αὐτῶν ἐκ τῆς τῶν διδασκάλων αὐτῶν παραδόσεως.

Περὶ τῶν σχισμάτων τῶν καλουμένων Διακρινομένων.

Ἤτησας ἡμᾶς ἀδελφὲ ἀγαπητὲ, γνωρίσαι σοι διὰ βραχέων τὰ σχίσματα τῶν ἑαυτοὺς Διακρινομένους καλούντων, πόσα τε ταῦτα τυγχάνει, καὶ τίνες τούτων αἱ ὀνομασίαι, καὶ

XVII. Gloriantur scire se in quonam statu mortuorum animæ constitutæ sint; & sibi ipsis cordis cognitores videntur; adeò ut per conjecturas ingeniumque certò norint hominum affectus.

XVIII. Isti mulieres promovent in suæ Hæresis magistras; nec solùm viris simpliciter, sed etiam sacerdotibus eas præesse permittunt; cúmque caput suum mulieres faciunt; vero capiti Christo Deo nostro inferunt dedecus.

XIX. Iidem interrogati de propriis suis dogmatibus, ea abnegant; & intrepidè alacriterque anathematizant cunctos qui ita vel sentiunt vel senserunt; jurantque absque timore, quòd ejusmodi dogmata oderint atque aversentur: quasi nempe neque perjurium neque anathematismus jam lædere valeant eos qui post immunitatem ab affectibus, uti affirmant, spirituales facti sunt; cúmque ex doctorum suorum traditione liceat ipsis pejerare, atque anathematizare se.

De Sectis eorum qui vocantur Hæsitantes.

Petiisti à nobis, dilecte frater, ut tibi paucis indicarem Schismata eorum qui se Hæsitantes nuncupaverunt, quot illa sint, quæque habeant nomina, &

quodnam sectæ & Schismatis cujusque sit dogma. Operæ precium igitur duxi, petitionem tuæ discendi cupidæ caritatis studiosè implere. Atque hinc inchoo sermonem.

Postquam sancta Calchedonensis Synodus congregata fuit, & Dioscorus Alexandriæ Episcopus justâ sententiâ per dictam Synodum depositus est, qui ei patrocinabantur, recesserunt à sancta Catholica & Apostolica Ecclesia, ipsosque se nominaverunt Hæsitantes, eò quòd hæsitarent communicare Catholicæ Ecclesiæ, propter memoratam Synodum. Hanc quippe velut Orthodoxam amplectitur sanctissima Ecclesia, non secus ac tres alias sanctas quæ eam præcesserunt: Nicænam, inquam, patrum CCCXVIII. Constantinopolitanam Episcoporum CL. & Ephesinam CC. antistitum, cui præfuerunt sanctissimi pastores Celestinus Romanus & Cyrillus Alexandrinus. Qui ergo vocantur Diacrinomeni seu Hæsitantes, postquam secesserunt à sancta Dei Catholica Ecclesia, divisi sunt in sectas duodecim; quarum ecce nomina. Primi, Eutychianistæ: secundi, Acephali: tertii, Julianistæ, qui & Gaianitæ: quarti, Julianistæ alii, qui etiam Gaianitæ: quinti, Severitæ, iidem Agnoitæ: sexti, alii Severitæ, qui Condobauditæ: septimi, Severitæ alii, seu Theodosiani,

A καὶ τὸ ἑκάστου σχίσματος δόγμα ἐστίν. ἀναγκαῖον οὖν ἡγησάμην σπουδαίως τὴν αἴτησιν τῆς σῆς φιλομαθοῦς ἀγάπης πληρῶσαι, ἀρχόμενος τοῦ λόγου ἐντεῦθεν.

Τῆς ἁγίας ἐν Καλχηδόνι συνόδου συγκροτηθείσης, καὶ Διοσκόρου τοῦ Ἀλεξανδρείας γενομένου ἐπισκόπου, ψήφῳ δικαίᾳ ὑπὸ τῆς ῥηθείσης συνόδου καθαιρεθέντος, οἱ τούτου ἀντιλαμβανόμενοι, ἀπέστησαν τῆς ἁγίας καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας, B καὶ ὠνόμασαν ἑαυτοὺς Διακρινομένους, διὰ τὸ διακρίνεσθαι αὐτοὺς κοινωνεῖν τῇ καθολικῇ ἐκκλησίᾳ, χάριν τῆς μνημονευθείσης συνόδου· ταύτην γὰρ ὡς ὀρθόδοξον δέχεται ἡ ἁγιωτάτη ἐκκλησία· ὥσπερ οὖν καὶ τὰς πρὸ αὐτῆς ἁγίας τρεῖς συνόδους· τὴν ἐν Νικαίᾳ φημὶ, τῶν τιη΄ πατέρων, καὶ τὴν ἐν Κωνσταντινουπόλει τῶν ρν΄. καὶ τὴν ἐν Ἐφέσῳ τῶν σ΄. ἧς ἡγεμόνες ὑπῆρχον οἱ ὁσιώτατοι ποιμένες Κελεστῖνος ὁ τῆς Ῥωμαίων, καὶ Κύριλλος C ὁ τῆς Ἀλεξανδρείας. οἱ οὖν λεγόμενοι Διακρινόμενοι ἀποστάντες τῆς ἁγίας τοῦ θεοῦ καθολικῆς ἐκκλησίας, διηρέθησαν εἰς τμήματα ιβ΄. ὧν αἱ ὀνομασίαι εἰσὶν αὗται. πρῶτοι Εὐτυχιανισταί. δεύτεροι Ἀκέφαλοι. τρίτοι Ἰουλιανισταὶ, οἱ καὶ Γαϊανῖται. τέταρτοι Ἰουλιανισταὶ ἕτεροι, ἤγουν Γαϊανῖται. πέμπτοι Σεβηρῖται, οἱ καὶ Ἀγνοῖται. ἕκτοι ἕτεροι Σεβηρῖται, οἱ δὲ Κονδοβαυδῖται. ἕβδομοι ἄλλοι Σεβηρῖται, ἤγουν Θεοδοσιανοὶ,

οἱ καὶ Παυλιανισταί. ὄγδοοι ἄλλοι Σεβηρεῖται, ἤγουν Θεοδοσιανοί, οἱ καὶ Ἀγγελῖται καὶ Δαμιανῖται. ἔνατοι ἄλλοι Σεβηρεῖται, ἤγουν Θεοδοσιανοί, οἱ καὶ Πετρῖται. δέκατοι ἄλλοι Σεβηρεῖται, ἤγουν Θεοδοσιανοί, οἱ καὶ Κονωνῖται. ἑνδέκατοι ἄλλοι Σεβηρεῖται, ἤγουν Θεοδοσιανοί, οἱ καὶ Φιλοπονιακοί. δωδέκατοι ἄλλοι Σεβηρεῖται, ἤγουν Θεοδοσιανοί, οἱ καὶ Νιοβῖται. οὗτοι πάντες κοινῶς ἀποστρέφονται τὴν ἁγίαν ἐν Καλχηδόνι σύνοδον, καὶ δέχονται εἰς ἐπίσκοπον Διόσκορον τὸν ὑπ' αὐτῆς δικαίως ἀναθεματισθέντα ὡς ὁμόφρονα Εὐτυχοῦς τοῦ αἱρετικοῦ. ἀλλ' οἱ μὲν Εὐτυχιανισταί, Διόσκορον ἅμα καὶ Εὐτυχέα δέχονται, ὡς τὰ πεπραγμένα ἐν τῇ ἁγίᾳ συνόδῳ τῇ ἐν Καλχηδόνι δηλοῦσιν· οἱ δὲ λοιποὶ πάντες Διόσκορον μὲν δέχονται, Εὐτυχέα δὲ οὐ δέχονται. τῶν δὲ δεχομένων Διόσκορον μόνον, οἱ μὲν Ἀκέφαλοι οὐ δέχονται Πέτρον τὸν Μογγὸν τὸν γενόμενον τῆς αὐτῆς πόλεως Ἀλεξανδρείας ἐπίσκοπον ἐπὶ Ζήνωνος τοῦ βασιλέως· οἱ δὲ λοιποὶ Διόσκορον δεχόμενοι, σὺν αὐτῷ δέχονται καὶ τὸν μνημονευθέντα Πέτρον. πάλιν τῶν δεχομένων Πέτρον καὶ Διόσκορον, οἱ μὲν Ἰουλιανισταί, ἤγουν Γαϊανῖται, ἅμα Διοσκόρῳ καὶ Πέτρῳ δέχονται Ἰουλιανὸν τὸν Ἁλικαρνασσοῦ γενόμενον ἐπίσκοπον, καὶ Γαϊανὸν τὸν Ἀλεξανδρείας· οἱ δὲ λοιποὶ τούτους μὲν, Ἰουλιανόν φημι καὶ Γαϊανὸν οὐ δέχονται·

A ipsique Paulianistæ: octavi, alii iterum Severitæ, vel Theodosiani, qui pariter Angelitæ ac Damianitæ: noni, adhuc Severitæ ac Theodosiani, necnon Petritæ: decimi, Severiani quoque, aut Theodosiani, atque Cononitæ: undecimi, similiter Severitæ, seu Theodosiani, itemque Philoponiaci: duodecimi denique, alii Severitæ, sive Theodosiani, qui etiam Niobitæ. Hi omnes uno consensu rejiciunt sanctam Sy- B nodum Calchedonensem, ac in Episcopum recipiunt Dioscorum, qui ab ea justè anathemati subjectus est ob parem cum Eutyche Hæretico sententiam. Et verò Eutychianistæ, Dioscorum cum Eutyche suscipiunt, ut liquet ex Actis sancti Concilii Calchedonensis: reliqui autem omnes Dioscorum admittunt, Eutychem non admittunt. Porrò ex iis qui solum Dioscorum recipiunt, Acephali quidem non C recipiunt Petrum Mongum, qui ejusdem urbis Alexandriæ Episcopus fuit sub Zenone Imperatore: at reliqui Dioscori susceptores, cum ipso suscipiunt memoratum Petrum. Rursus inter eos qui Petrum & Dioscorum venerantur, Julianistæ seu Gaianitæ, una cum Dioscoro & Petro acceptum habent Julianum Halicarnassi Episcopum, & Gaianum Alexandriæ: cæteri hosce Julianum Gaianumque rejiciunt,

sed cum Dioscoro & Petro admittunt Severum, qui Antiochiæ Episcopus exstitit. Iterum eorum qui Severum cum Dioscoro ac Petro retinent, Agnoitæ jungunt iis Themistium Alexandriæ Diaconum, Theodosium autem Alexandriæ Papam repudiant: Condobauditæ verò neque Themistium, neque dictum Theodosium agnoscunt: at cæteri omnes Themistio non adhærent, adhærent commemorato Theodosio. Ad hæc ex iis qui complectuntur cum Theodosio Severum, Petrum Mongum & Dioscorum, Paulianistæ quidem adjiciunt Paulum cognomento Melani seu nigrum; abjiciunt Damianum: Angelitæ verò Pauli mentionem haberi nolunt, dictum Damianum prædicant; Petritæ autem nec Petro accedunt, nec Damiano, sed Petro cuidam Episcopo diverso à memorato Petro Mongo: at Cononitæ neque Petrum, nec Damianum, neque Paulum sectantur, sed Cononem. Præterea Philoponiaci Cononi, Petro, Paulo, & Damiano renunciant; habentque pro præceptore Philoponum, pro Episcopo Georgium quemdam. Demum Niobitæ nec Philoponi, nec Georgii, nec Cononis, nec aliorum de quibus diximus sectatores sunt, sed Stephani Sophistæ cognomento Niobi. Atque hæc sunt nomina duodecim

* Ed. τὸ Μελανὸν

A δέχονται δὲ ἅμα Διοσκόρῳ καὶ Πέτρῳ Σεβῆρον τὸν γενόμενον Ἀντιοχείας ἐπίσκοπον. πάλιν τῶν δεχομένων Σεβῆρον μετὰ Διοσκόρου καὶ Πέτρου, οἱ μὲν Ἀγνοῖται δέχονται ἅμα αὐτοῖς Θεμίστιον τὸν γενόμενον Ἀλεξανδρείας διάκονον, Θεοδόσιον δὲ τὸν γενόμενον πάπαν Ἀλεξανδρείας οὐ δέχονται· οἱ δὲ Κονδοβαυδῖται οὔτε Θεμίστιον, οὔτε τὸν εἰρημένον Θεοδόσιον δέχονται· οἱ δὲ λοιποὶ πάντες Θεμίστιον μὲν οὐ δέχονται, τὸν δὲ μνημονευθέντα Θεοδόσιον B δέχονται. πάλιν τῶν δεχομένων ἅμα Θεοδοσίῳ Σεβῆρον καὶ Πέτρον τὸν Μογγὸν, καὶ Διόσκορον, οἱ μὲν Παυλιανισταὶ Παῦλον δέχονται τὸν ἐπιλεγόμενον * τοῦ Μελανοῦ, Δαμιανὸν δὲ οὐ δέχονται· οἱ δὲ Ἀγγελῖται Παῦλον μὲν οὐ δέχονται, τὸν εἰρημένον δὲ Δαμιανὸν δέχονται· οἱ δὲ Πετρῖται οὔτε Παῦλον οὔτε Δαμιανὸν δέχονται, Πέτρον δέ τινα ἐπίσκοπον δέχονται, ἕτερον παρὰ τὸν μνημονευθέντα Πέτρον τὸν Μογγόν· C οἱ δὲ Κονωνῖται οὔτε Πέτρον, οὔτε Δαμιανὸν, οὔτε Παῦλον δέχονται, Κόνωνα δὲ δέχονται. πάλιν οἱ Φιλοπονιακοὶ οὔτε Κόνωνα, οὔτε Πέτρον, οὔτε Παῦλον, οὔτε Δαμιανὸν δέχονται, ἀλλὰ τὸν μὲν Φιλόπονον εἰς διδάσκαλον δέχονται, Γεώργιον δέ τινα δέχονται εἰς ἐπίσκοπον. οἱ δὲ Νιοβῖται οὔτε τὸν Φιλόπονον, οὔτε Γεώργιον, οὔτε Κόνωνα, οὔτε τοὺς ἄλλους τοὺς εἰρημένους δέχονται, ἀλλὰ Στέφανον τὸν σοφιστὴν τὸν ἐπίκλην Νιόβον. αἱ μὲν οὖν ὀνομασίαι τῶν ιβʹ. τμημάτων

τμημάτων αὗται εἰσιν. ἑξῆς λοιπὸν δηλώσομεν καὶ τὸ δόγμα ἑκάστου τμήματος.

α'. Εὐτυχιανισταί· οἱ λέγοντες τὸν δεσπότην Χριστὸν ὁμοούσιον μὲν τῷ πατρί, οὐκέτι δὲ καὶ ἡμῖν ὁμοούσιον· διὰ τὸ μὴ ὁμολογεῖν αὐτοὺς, τὴν ἀλήθειαν τῆς ἀνθρωπίνης φύσεως σώζεσθαι ἐν αὐτῷ. Εὐτυχιανισταὶ δὲ ἐκλήθησαν ἀπὸ τοῦ ὀνόματος τοῦ τὸ δόγμα αὐτοῖς παραδεδωκότος, Εὐτυχοῦς καλουμένου.

β'. Ἀκέφαλοι· οἱ μὴ δεξάμενοι τὸ ἑνωτικὸν Ζήνωνος, διὰ τὸ μὴ ἀναθεματισθῆναι ἐν αὐτῷ τὴν ἐν Καλχηδόνι ἁγίαν σύνοδον. Ἀκέφαλοι δὲ ἐκλήθησαν διὰ τὸ μὴ ἔχειν αὐτοὺς ἐπισκόπους. οὗτοι ἐκλειπόντων τῶν παρ' αὐτοῖς ἱερέων, βάπτισμα οὐ ποιοῦσι κατὰ τὸν ἐκκλησιαστικὸν κανόνα· ἀλλ' ἐν τῇ ἑορτῇ τῶν ἁγίων Θεοφανίων, ἤγουν φώτων, ἀρύονται ὕδατα, καὶ ταῦτα φυλάττοντες, ἐν αὐτοῖς βαπτίζουσιν. οὔτε δὲ προσκομιδὴν οὗτοι ποιοῦσιν· ἀλλ' ἔχοντες κοινωνίαν πεφυλαγμένην ἐκ τῶν παλαιοτέρων χρόνων, κατὰ ἑορτὴν τοῦ πάσχα μοῖραν μικροτάτην ἐξ αὐτῆς λαμβάνουσιν.

γ'. Ἰουλιανισταί, ἤγουν Γαϊανῖται· οἵτινες τὸ σῶμα τοῦ δεσπότου Χριστοῦ λέγουσι κτιστὸν μὲν, ἄφθαρτον δὲ ἐξ αὐτῆς τῆς ἀχράντου συλλήψεως.

δ'. Ἕτεροι Ἰουλιανισταί, ἤγουν Γαϊανῖται· οἱ λέγοντες τὸ σῶμα τοῦ

A sectarum. Jam verò quodnam fuerit uniuscujusque sectæ dogma per sequentia declarabimus.

I. Eutychianistæ. Dicunt Christum Dominum consubstantialem esse Patri, at nobis nequaquam: quia non confitentur veritatem humanæ naturæ in ipso servari. Vocati autem sunt Eutychianistæ ex nomine illius qui ipsis dogma tradidit. Eutyches enim appellabatur.

B II. Acephali; qui Zenonis Henoticum seu unionis edictum non receperunt, propterea quòd in eo non anathematizaretur sancta Calchedonensis Synodus. Dicti sunt Acephali, quia non habebant Episcopos. Isti deficientibus apud eos sacerdotibus, baptismum juxta Ecclesiasticam regulam non celebrant; sed in festo sanctorum Theophaniorum, seu luminum, aquam hauriunt, quam servant, ut in C ipsa baptizent. Non etiam faciunt oblationem; verùm reservatam ab antiquioribus temporibus habent Communionem, ac in festo Paschæ minimam particulam ex ea sumunt.

III. Julianistæ, seu Gaianitæ; quorum doctrina est; corpus Christi Domini esse quidem creatum, at incorruptibile ex ipsa immaculata conceptione.

IV. Alii Julianistæ, aut Gaianitæ; qui profitentur, corpus

Christi à momento impolluti conceptûs non solùm incorruptibile esse, verùm etiam increatum. Utrique autem nuncupati sunt Julianistæ, à Juliano Halicarnassensi, qui dogma eorum excogitavit; Gaianitæ verò, à Gaiano, qui eorumdem Papa Alexandriæ exstitit, quique Julianum ejusque doctrinam amplexus est. Hos adversarii eorum Phantasiastas vocant & Manichæos. Ipsi verò sibi adversantes nominant Phthartolatras & Cristolatras, seu Corrupticolas & Creaticolas.

v. Severitæ, qui & Agnoitæ. Affirmant à Verbo quidem Deo cuncta cognosci; verùm ab unitâ ipsi secundùm hypostasim humanitate ignorari multa. Idque ob dogma adversarii eorum nomen Agnoitarum ipsis imposuerunt.

vi. Alii Severitæ, Condobauditæ dicti; asserentes Deum unum esse numero, non autem omnimodâ æqualitate; eumdem Patrem, Filium, & Spiritum sanctum dicentes. Ab adversariis nomen Condobauditarum accepêre, quia Constantinopoli in loco Condobaudi appellato habent collectæ ædem, illicque congregantur qui primas inter eos ferunt. Porrò isti Condobauditæ vocati, & qui nuncupantur Agnoitæ, primo indigitabantur Theodosiani, ut qui sequerentur Theodosium

A Χριστοῦ, οὐ μόνον ἄφθαρτον ἐξ αὐτῆς τῆς ἀχράντου συλλήψεως, ἀλλὰ καὶ ἄκτιστον. ἑκάτεροι δὲ Ἰουλιανισταὶ ἐκλήθησαν ἀπὸ Ἰουλιανοῦ τοῦ Ἀλικαρνασσέως κατάρξαμένου τοῦ δόγματος αὐτῶν· Γαϊανῖται δὲ ἀπὸ Γαϊανοῦ τοῦ γενομένου αὐτῶν πάπα ἐν Ἀλεξανδρείᾳ, δεξαμένου Ἰουλιανὸν καὶ τὸ δόγμα αὐτοῦ· οὓς οἱ ἐναντίοι αὐτῶν, Φαντασιαστὰς καὶ Μανιχαίους καλοῦσιν. καὶ οὗτοι δὲ τοὺς ἐναντίους αὐτῶν, Φθαρτολάτρας καὶ Κτι-
B στολάτρας ὀνομάζουσι.

ε´. Σεβηρεῖται, οἱ καὶ Ἀγνοῖται· οἱ λέγοντες τὸν μὲν θεὸν λόγον πάντα γινώσκειν· τὴν δὲ ἡνωμένην αὐτῷ καθ' ὑπόστασιν ἀνθρωπότητα πολλὰ ἀγνοεῖν· οἵτινες ἀπὸ τοῦ δόγματος Ἀγνοῖται ὠνομάσθησαν ὑπὸ τῶν ἐναντίων αὐτῶν.

ϛ´. Ἕτεροι Σεβηρεῖται, οἱ καὶ Κονδο-
C βαυδῖται· οἱ λέγοντες ἕνα θεὸν εἶναι τῷ ἀριθμῷ, καὶ οὐχὶ τῇ ἀπαραλλάκτῳ ἰσότητι· τὸν αὐτὸν πατέρα καὶ υἱὸν καὶ πνεῦμα ἅγιον λέγοντες. οἵτινες Κονδοβαυδῖται ὠνομάσθησαν ὑπὸ τῶν ἐναντίων αὐτῶν, διὰ τὸ ἐν τοῖς λεγομένοις Κονδοβαύδου ἐν Κωνσταντινουπόλει ἔχειν αὐτοὺς συνακτήριον, κἀκεῖ συνάγεσθαι τοὺς τὰ πρῶτα ἐν αὐτοῖς φέροντας· οὗτοι δὲ οἱ λεγόμενοι Κονδοβαυδῖται, καὶ οἱ καλούμενοι Ἀγνοῖται, πρῶτον μὲν ἐκαλοῦντο Θεοδοσιανοί, δεχόμενοι Θεοδόσιον τὸν

γενόμενον αὐτῶν πάπαν Ἀλεξανδρείας· ἀναθεματισθῆναι δὲ παρ' αὐτοῦ· οἱ μὲν Ἀγνοῖται διὰ τὸ δόγμα τῆς ἀγνοίας· οἱ δὲ Κονδοβαυδῖται, διὰ τὸ μὴ δέξασθαι αὐτοὺς τὸν περὶ τῆς ἁγίας τριάδος λόγον τὸν ὑπ' αὐτοῦ ἐκδοθέντα. ὅθεν οὐκέτι Θεοδοσιανοὶ καλοῦνται ὑπὸ τῶν ἐναντίων αὐτῶν· ἐπειδὴ οὐ δέχονται, ὡς εἴρηται, Θεοδόσιον· ἀλλ' οἱ μὲν ἐκ τοῦ δόγματος Ἀγνοῖται· οἱ δὲ ἐκ τοῦ τόπου Κονδοβαυδῖται. συμφωνοῦσι δὲ ἀλλήλοις ἑκάτεροι εἰς τὸν περὶ πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος λόγον, ἓν δόγμα ἔχοντες· διαφωνοῦσι δὲ εἰς τὸ περὶ τῆς ἀγνοίας δόγμα. δέχονται δὲ Σεβῆρον ἑκάτεροι τὸν γενόμενον Ἀντιοχείας ἐπίσκοπον· διὸ καὶ Σεβηρεῖται ὠνομάσθησαν.

ζ'. Ἄλλοι Σεβηρεῖται, οἱ καὶ Θεοδοσιανοὶ, καὶ Παυλιανισταί· οἱ δεχόμενοι Σεβῆρον καὶ Θεοδόσιον τοὺς εἰρημένους, καὶ σὺν αὐτοῖς Παῦλον τὸν ἐπίκλην * τοῦ Μελανοῦ· οἵτινες ἐν μὲν τῷ περὶ πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος δόγματι συμφωνοῦσι τοῖς Κονδοβαυδίταις· διαφωνοῦσι δὲ πρὸς ἐκείνους ἐν τῷ αὐτοὺς μὲν δέχεσθαι Θεοδόσιον καὶ Παῦλον εἰς ἐπισκόπους· τοὺς δὲ Κονδοβαυδίτας, ἀμφοτέρους ἀποβάλλεσθαι.

η'. Ἄλλοι Σεβηρεῖται, οἱ καὶ Θεοδοσιανοὶ, καὶ Ἀγγελῖται, καὶ Δαμιανῖται· οἱ δεχόμενοι Σεβῆρον καὶ Θεοδόσιον τοὺς μνημονευθέντας, καὶ Δαμιανὸν σὺν αὐτοῖς· οἵτινες λέγουσιν ἄλλον μὲν εἶναι

A Alexandriæ Papam ipsorum: sed postea ab eo anathemate percussi sunt; Agnoitæ quidem, propter dogma de ignorantia; Condobauditæ verò, quòd non admitterent doctrinam ab ipso editam de sancta Trinitate. Hinc non amplius Theodosiani vocantur ab adversariis suis; quandoquidem, ut dictum est, non recipiunt Theodosium; sed primi, ex dogmate, Agnoitæ; posteriores, ex loco, dicuntur Condobauditæ. B Utrique autem concordant in sermone de Patre, Filio, & Spiritu sancto, eamdem doctrinam tenentes; dissentiunt verò circa dogma de ignorantia. At Severum Antiochiæ Episcopum utrique suscipiunt: unde etiam Severitæ nominati fuerunt.

VII. Alii Severitæ, iidem Theodosiani, & Paulianistæ; hi suprà dictos Severum & Theodosium admittunt, atque cum iis Paulum qui à nigredine cognominatus est. C In doctrina de Patre, Filio, & Spiritu sancto consentiunt cum Condobauditis; ab ipsis verò dissentiunt, in eo quòd recipiant ut Episcopos Theodosium & Paulum, cùm utrumque rejiciant Condobauditæ.

* Ed. τὸν Μελαινὸν

VIII. Alii Severitæ, necnon Theodosiani, Angelitæ, Damianitæ; qui recipiunt memoratos Severum ac Theodosium, unáque Damianum; quique aiunt alium quidem

esse Patrem, alium Filium, alium A Paracletum Spiritum sanctum; non esse autem horum quemque per se Deum naturâ, sed communem habere Deum, sive divinitatem inexsistentem, per cujus participationem indivisam unusquisque sit Deus. Appellant verò Patrem, Filium, sanctum Spiritum, hypostases; commune eorum Deum, substantiam & naturam. Porrò Angelitæ ab adversariis vocati sunt, ex loco Alexandriæ dicto Angelio, in quo collectæ B ædem habentes qui primi inter eos sunt congregantur. Nuncupant autem eos adversarii Sabellianistas simul & Tetraditas. Iidem Damianitarum nomine insigniti sunt, ex Damiano Episcopo illorum. Initio Paulum, cujus mentionem fecimus, pro Episcopo ducebant; deinde illum rejecerunt, eò quòd communicâsset sanctæ Catholicæ & Apostolicæ Ecclesiæ, sanctamque Calchedonensem Synodum approbâsset; C tametsi quammaximè postea recesserit à sancta Catholica Apostolicaque Ecclesia, atque abnegaverit sanctum Calchedonense Concilium.

IX. Alii Severitæ, seu Theodosiani, item Petritæ. In Episcopum suscipiunt postremum Petrum. Suscipiunt quoque Theodosium, Severum, Petrum; nequaquam Damianum, nec Paulum: quorum doctrinæ repugnant. Confitentur

τὸν πατέρα, καὶ ἄλλον τὸν υἱὸν, καὶ ἄλλον τὸν παράκλητον τὸ πνεῦμα τὸ ἅγιον· μὴ εἶναι δὲ τούτων ἕκαστον καθ' ἑαυτὸν θεὸν φύσει, ἀλλ' ἔχειν κοινὸν θεὸν, ἤγουν θεότητα ἐνύπαρκτον, καὶ ταύτης μετέχοντα ἀδιαιρέτως, εἶναι θεὸν ἕκαστον. καλοῦσι δὲ τὸν μὲν πατέρα καὶ τὸν υἱὸν καὶ τὸ ἅγιον πνεῦμα, ὑποστάσεις· τὸ δὲ κοινὸν αὐτῶν θεὸν, οὐσίαν καὶ φύσιν. Ἀγγελῖται δὲ ἐκλήθησαν ὑπὸ τῶν ἐναντίων αὐτῶν, ἐκ τοῦ τόπου οὕτω καλουμένου Ἀγγελίου ἐν Ἀλεξανδρείᾳ, ἐν ᾧ συνακτήριον ἔχοντες οἱ τὰ πρῶτα ἐν αὐτοῖς φέροντες συνάγονται. καλοῦσι δὲ αὐτοὺς οἱ ἐναντίοι αὐτῶν Σαβελλιανιστὰς ἅμα καὶ Τετραδίτας. οἱ αὐτοὶ δὲ Δαμιανῖται ὠνομάσθησαν ἀπὸ Δαμιανοῦ τοῦ ἐπισκόπου αὐτῶν. οὗτοι πρῶτον ἐδέχοντο τὸν μνημονευθέντα Παῦλον εἰς ἐπίσκοπον. ὕστερον δὲ τοῦτον ἀπεβάλοντο, διὰ τὸ κοινωνῆσαι αὐτὸν τῇ ἁγίᾳ καθολικῇ καὶ ἀποστολικῇ ἐκκλησίᾳ, καὶ δέξασθαι τὴν ἁγίαν ἐν Καλχηδόνι σύνοδον· κἂν εἰ τὰ μάλιστα πάλιν ἀπέστη τῆς ἁγίας καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας, καὶ ἀπηρνήσατο τὴν ἁγίαν ἐν Καλχηδόνι σύνοδον.

θ'. Ἄλλοι Σεβηρεῖται, ἤγουν Θεοδοσιανοὶ, οἱ καὶ Πετρῖται· οἱ δεχόμενοι τὸν ἔσχατον Πέτρον εἰς ἐπίσκοπον· οἵτινες δεχόμενοι Θεοδόσιον, καὶ Σεβῆρον, καὶ Πέτρον, Δαμιανὸν οὐ προσδέχονται, οὐδὲ Παῦλον. ἐναντιοῦνται δὲ τῷ δόγματι ἑκατέρων. ὁμολογοῦσι

γὰρ θεὸν κατ' ἀλήθειαν, καὶ οὐσίαν καὶ φύσιν ἕκαστον καθ' ἑαυτόν· τὸν πατέρα φημὶ, καὶ τὸν υἱὸν καὶ τὸ ἅγιον πνεῦμα· τρεῖς ὑποστάσεις καὶ τρία πρόσωπα ὁμολογοῦντες, καὶ ἑκάστην ὑπόστασιν θεὸν εἶναι κατ' ἀλήθειαν, καὶ οὐσίαν καὶ φύσιν. ἕνα θεὸν καὶ μίαν οὐσίαν καὶ φύσιν τὸν πατέρα καὶ τὸν υἱὸν καὶ τὸ ἅγιον πνεῦμα λέγουσιν, οὐκ ἀριθμῷ, ἀλλὰ τῇ ἀπαραλλάκτῳ ἰσότητι. οὓς οἱ Ἀγγελῖται καὶ οἱ Παυλιανισταὶ Τριθεΐτας ὀνομάζουσι· καὶ οὗτοι πάλιν ἐκείνους, ποτὲ μὲν Σαβελλιανοὺς, ποτὲ δὲ Τετραδίτας.

ι'. Ἄλλοι Σευηρῖται, ἤγουν Θεοδοσιανοί, οἱ καὶ Κονωνῖται· οἱ δεχόμενοι Θεοδόσιον καὶ Σευῆρον, καὶ σὺν αὐτοῖς Κόνωνα ἐπίσκοπον· οἵτινες καὶ αὐτοὶ ὁμολογοῦσι θεὸν εἶναι κατ' ἀλήθειαν, καὶ οὐσίαν καὶ φύσιν ἕκαστον· τὸν πατέρα λέγω, καὶ τὸν υἱὸν, καὶ τὸ ἅγιον πνεῦμα· τρεῖς ὑποστάσεις τῆς ἁγίας τριάδος καὶ τρία πρόσωπα· ἔτι μὴν καὶ τρεῖς τινὰς τῷ ἀριθμῷ οὐσίας καὶ φύσεις ἴσας ἀπαραλλάκτως κατὰ τὴν θεότητα λέγοντες. μίαν δὲ οὐσίαν, ἤγουν φύσιν, καὶ μίαν θεότητα, ἤγουν θεὸν τὴν ἁγίαν καὶ ὁμοούσιον τριάδα ὁμολογοῦσιν, οὐκ ἀριθμῷ, ἀλλὰ τῇ ἀπαραλλάκτῳ τῆς θεότητος ταυτότητι. τρεῖς δὲ θεοὺς ἢ θεότητας λέγειν παραιτοῦνται. καὶ οὗτοι δὲ Σευῆρον καὶ Θεοδόσιον δεχόμενοι, οὔτε Δαμιανὸν, οὔτε Παῦλον, οὔτε τὸν ἔσχατον Πέτρον δέχονται.

A enim Deum ex veritate, substantia & natura quemque per se: Patrem, inquam, Filium, atque Spiritum sanctum. Item profitentur tres hypostases ac tres personas, & unamquamque hypostasim Deum esse verè, substantialiter, naturaliter. Unum Deum, unamque substantiam ac naturam Patrem & Filium & sanctum Spiritum dicunt, non numero, sed perfecta æqualitate. Hos Angelitæ & Paulianistæ Tritheitas B nominant: ipsi verò vice versâ illos, interdum Sabellianos, interdum Tetraditas.

x. Alii Severitæ, seu Theodosiani, necnon Cononitæ; qui una cum Theodosio & Severo probant Cononem Episcopum; quique confitentur Deum esse secundùm veritatem, substantiam & naturam quemque: Patrem dico, Filium, & Spiritum sanctum: tres hypostases sanctam Trinitatem, ac tres C personas: addunt verò tres esse numero substantias & naturas absque dissimilitudine æquales juxta divinitatem. Unam verò substantiam, seu naturam, unamque divinitatem sive Deum sanctam & consubstantialem Trinitatem confitentur, non numero, sed invariabili divinitatis identitate. At tres Deos aut divinitates dicere recusant. Atque hi Severum ac Theodosium admittentes, nec Damianum, nec Paulum, nec ultimum Petrum suscipiunt,

A Eosdem Damiani Paulique asseclæ Tritheitas vocant. Ipsi illos nuncupant aliquando Sabellianos, Montanistas, Photinianos, Noëtianos & Artemoniastas, aliquando Tetraditas. Cæterùm à Petro postremo, iisque qui ei adhærent in eo diffident; quòd illi cùm nolint tres Deos ponere, seu tres divinitates, Patrem, & Filium, & Spiritum sanctum, refugiunt etiam proferre tres numero substantias seu naturas quasdam citra diversitatem æ- B quales. Hi verò deprecantur quidem tres Deos seu divinitates pronunciare, at tres numero substantias vel naturas æquales confitentur. Isti, qui à Conone, inquam, cùm priùs approbâssent scripta Johannis Alexandriæ Grammatici cognomento Philoponi, tum quæ edidit adversùs Græcos seu Gentiles, tùm alia; tandem eumdem Grammaticum ejusque Opera abjecerunt. Is quippe Johannes Grammaticus in C libris adversùs Gentes ac in aliis suis voluminibus ista induxit; Omnia corpora hæc sensibus & aspectui exposita, secundùm materiam ac formam ex non exstante ad existentiam adducta esse per Deum; corruptibilia autem facta fuisse, & corrumpi juxta materiam & formam; atque in locum eorum alia corpora his quæ cernuntur præstantiora incorruptibilia æternaque creari

* An αὐτοῦ

καλοῦσι δὲ καὶ τούτους οἱ Δαμιανοῦ καὶ Παύλου, Τριθεΐτας· καὶ οὗτοι δὲ ἐκείνους ὀνομάζουσι, ποτὲ μὲν Σαβελλιανοὺς καὶ Μοντανιστὰς καὶ φωτεινιανοὺς καὶ Νοητιανοὺς καὶ Ἀρτεμονιάστας, ποτὲ δὲ Τετραδίτας αὐτοὺς προσαγορεύουσι. διΐστανται δὲ ἀπὸ Πέτρου τοῦ ἐσχάτου καὶ τῶν σὺν αὐτῷ, διότι ἐκεῖνοι μὲν παραιτούμενοι τρεῖς λέγειν θεοὺς, ἤγουν θεότητας τρεῖς, τὸν πατέρα καὶ τὸν υἱὸν καὶ τὸ ἅγιον πνεῦμα, παραιτοῦνται καὶ τὸ λέγειν τρεῖς τῷ ἀριθμῷ οὐσίας ἤγουν φύσεις τινὰς ἴσας ἀπαραλλάκτως. οὗτοι δὲ τὸ μὲν λέγειν, τρεῖς θεοὺς ἤγουν θεότητας παραιτοῦνται· τρεῖς δὲ τῷ ἀριθμῷ οὐσίας ἤγουν φύσεις τινὰς ἴσας ὁμολογοῦσιν. οὗτοι, οἱ ἀπὸ Κόνωνος φημὶ, πρότερον δεχόμενοι τὰ συγγράμματα Ἰωάννου τοῦ Ἀλεξανδρείας γραμματικοῦ τοῦ ἐπίκλην φιλοπόνου, τὰ κατὰ Ἑλλήνων * αὐτῶν γεγραμμένα, μετὰ καὶ τῶν ἄλλων αὐτοῦ συγγραμμάτων, αὐτόν τε τὸν γραμματικὸν ἔσχατον ἀπεβάλοντο, καὶ τὰ συγγράμματα αὐτοῦ. ὁ γὰρ εἰρημένος γραμματικὸς Ἰωάννης ἐν τοῖς πρὸς Ἕλληνας βιβλίοις, καὶ ἐν τοῖς ἄλλοις αὐτοῦ συγγράμμασιν ἐπήγαγε λέγων, τὰ σώματα τὰ αἰσθητὰ ταῦτα πάντα καὶ ὁρώμενα, κατά τε ὕλην καὶ εἶδος ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραχθῆναι ὑπὸ τοῦ θεοῦ· φθαρτά τε ταῦτα γενέσθαι, καὶ φθείρεσθαι κατά τε ὕλην καὶ εἶδος, καὶ ἀντὶ τούτων ἕτερα σώματα κρείττονα ἰδίων τῶν ὁρωμένων ἄφθαρτα καὶ αἰώνια

ὑπὸ τοῦ θεοῦ δημιουργεῖσθαι· συντέλειαν λέγων τοῦ ὁρωμένου κόσμου ἤγουν παρέλευσιν, καὶ καινοῦ κόσμου γένεσιν· ἀνάστασίν τε νεκρῶν ὁρίζεται εἶναι, τὴν τῶν λογικῶν ψυχῶν πρὸς σῶμα ἄφθαρτον ἕνωσιν ἀδιάλυτον. Κόνων δὲ καὶ οἱ σὺν αὐτῷ, ὡς εἴπομεν, πρότερον δεχόμενοι τὰ συγγράμματα ἐν οἷς ταῦτα ἐδογμάτισε, καὶ αὐτὸν τὸν Φιλόπονον ζῶντά τε καὶ μετὰ τελευτὴν ἐγγράφως καὶ ἀγράφως μακαρίζοντες, τελευταῖον αὐτόν τε ἐκεῖνον καὶ τὰ συγγράμματα αὐτοῦ ἀπεβάλοντο· λόγους ἐγγράφως ἐκδεδωκότες, ἐν οἷς λέγουσιν, ὅτι τὰ σώματα τὰ αἰσθητὰ ταῦτα καὶ ὁρώμενα, κατὰ μὲν τὴν ὕλην οὐ φθείρεται, ἀλλὰ μένουσι τὰ αὐτὰ καὶ ὁρώμενα εἰς ἀεὶ μὴ φθειρόμενα· κατὰ δὲ τὸ εἶδος μόνον φθείρονται. καὶ πάλιν ἀναμορφοῦσθαι τὴν αὐτὴν ὕλην λέγουσι, κρεῖττον εἶδος δεχομένην ἄφθαρτον καὶ αἰώνιον. γένεσιν μὲν τοῦ ὁρωμένου κόσμου λέγουσι, κατά τε ὕλην καὶ εἶδος, φθορὰν δὲ αὐτοῦ ἤγουν παρέλευσιν κατὰ μόνον τὸ εἶδος. τὴν γὰρ ὕλην, ὡς εἴπομεν, ἀεὶ διαμένειν ὁμολογοῦσι τὴν αὐτήν. ἀνάστασιν δὲ νεκρῶν ὁρίζονται εἶναι, τὴν τοῦ σώματος τούτου πρὸς τὴν λογικὴν ψυχὴν δευτέραν ἕνωσιν ἀδιάλυτον.

ια΄. Ἄλλοι Σεβηρεῖται, ἤγουν Θεοδοσιανοὶ οἱ καὶ Φιλοπονιακοί·

A à Deo: consummationem intelligens seu transitum conspicui mundi, novique ortum. Ad hæc resurrectionem mortuorum definit esse, animarum rationalium cum corpore incorruptibili unionem indissolubilem. Conon verò quique cum ipso sunt, quemadmodum diximus, licèt priùs laudâssent commentarios in quibus hæc dogmata tradidit, ipsumque Philoponum superstitem ac B mortuum per atque extra scripta beatum prædicâssent, demum eumdem illum ipsiusque scripta repudiârunt: libris editis, in quibus contendunt, corpora hæc aspectabilia & sensibilia, juxta materiam quidem non corrumpi, sed manere eadem, & conspecta, semperque incorrupta; secundùm verò formam dumtaxat corrumpi. Rursusque reformari eamdem materiam putant, recipiendo præstantiorem for- C mam incorruptibilem ac sempiternam. Adjiciunt, ortum istius oculis propositi orbis contingere secundùm materiam & formam, ejusdem autem interitum transitumque secundùm solam formam. Ut enim retulimus, materiam semper eamdem manere profitentur. At resurrectionem mortuorum definiunt, corporis hujusce cum anima rationali secundam indissolubilemque unionem.

XI. Alii Severitæ, seu Theodosiani, iidem Philoponiaci;

A qui accedentes Severo & Theodosio Episcopis, pro doctore assumunt Johannem Philoponum, ipsiusque scriptis inhærent; ac eum sequuntur, non solùm in doctrina de Trinitate, sed etiam in opinionibus de consummatione mundi qui oculis percipitur, deque ejusdem orbis necnon futuri ortu, ac de resurrectione mortuorum. Isti nec Damianum, nec Paulum, nec ultimum Petrum pro suis habent. Cúmque priùs Cononem reciperent, postea B rejecerunt, eò quòd repudiâsset Johannem Philoponum illiusque scripta. Iidem in sermonibus qui ad Trinitatem pertinent, concinunt cum Cononitis; ac Tritheitæ ab Angelitis & Paulianistis nominantur: quos ipsi modò nominant Sabellianos, modò Tetraditas. Verùm in iis quæ spectant ad consummationem visibilis mundi, & ad resurrectionem mortuorum, contrariâ ac Cononitæ tenentur sen- C tentiâ. Et Cononitæ quidem hos Philoponiacos appellant Sadducæos, Simonianos, Gentiles, Valentinianos, Marcionistas, Manichæos. Rursum verò Philoponiaci iisdem nominibus Hæresum & Paganorum Cononitas donant; cognominatque eos, Græcos, Manichæos, Simonianos, Valentinianos, Marcionistas & Hermogeniastas. Quæ quidem nomina Philoponiaci imponunt

A οἵτινες δεχόμενοι Σεβῆρον καὶ Θεοδόσιον ἐπισκόπους, δέχονται εἰς διδάσκαλον τὸν φιλόπονον Ἰωάννην, καὶ τὰ τούτου συγγράμματα, ἀκολουθοῦντες αὐτῷ οὐ μόνον ἐν τῷ περὶ τριάδος λόγῳ, ἀλλὰ καὶ ἐν τοῖς περὶ συντελείας τοῦ ὁρωμένου κόσμου, καὶ γενέσεως τοῦδε τοῦ ὁρωμένου κόσμου καὶ τοῦ μέλλοντος, καὶ νεκρῶν ἀναστάσεως. οὗτοι δὲ οὔτε Δαμιανὸν, οὔτε Παῦλον, οὔτε τὸν ἔσχατον Πέτρον δέχονται. πρότερον δὲ δεχόμενοι Κόνωνα, ὕστερον αὐτὸν ἀπε- B βάλοντο, διὰ τὸ ἀποβάλλεσθαι ἐκεῖνον Ἰωάννην τὸν φιλόπονον καὶ τὰ τούτου συγγράμματα. καὶ ἐν μὲν τοῖς περὶ τριάδος λόγοις, συνᾴδουσι τοῖς Κονωνίταις. καὶ Τριθεῖται ὀνομάζονται καὶ αὐτοὶ ὑπὸ τῶν Ἀγγελιτῶν καὶ Παυλιανιστῶν· ὀνομάζουσι δὲ καὶ αὐτοὶ ἐκείνους, ποτὲ μὲν Σαβελλιανοὺς, ποτὲ δὲ Τετραδίτας. ἐν δὲ τοῖς περὶ συντελείας τοῦ ὁρωμένου κόσμου, καὶ νεκρῶν ἀναστάσεως, ἐναντιοῦνται αὐτοῖς, τοῖς Κονωνίταις φημί. τούτους οἱ Κο- C νωνῖται, τοὺς φιλοπονιακοὺς λέγω, καλοῦσι Σαδδουκαίους καὶ Σιμωνιανοὺς καὶ Ἕλληνας καὶ Οὐαλεντινιανοὺς καὶ Μαρκιωνιστὰς καὶ Μανιχαίους. κἀκεῖνοι πάλιν, οἱ φιλοπονιακοὶ, τοῖς αὐτοῖς ὀνόμασι τῶν αἱρέσεων καὶ Ἑλλήνων, τοὺς Κονωνίτας προσαγορεύουσιν· Ἕλληνας αὐτοὺς καὶ Μανιχαίους καὶ Σιμωνιανοὺς καὶ Οὐαλεντινιανοὺς καὶ Μαρκιωνιστὰς καὶ Ἑρμογενιαστὰς ἀποκαλοῦντες. καὶ οἱ μὲν φιλοπονιακοὶ τὰ ὀνόματα ταῦτα τοῖς

Κονωνίταις

Κονωνίταις ἐπιφέρουσι, λέγοντες αὐ- A
τοῖς τὴν ὕλην τοῦ αἰσθητοῦ τούτου κόσ-
μου ὁμοίως ἀτελεύτητον. οἱ δὲ Κονω-
νῖται τὰ αὐτὰ ὀνόματα τῶν Φιλοπο-
νιακῶν κατηγοροῦσι, διὰ τὸ μὴ λέ-
γειν αὐτοὺς τῶν σωμάτων τούτων ἀνά-
στασιν. πρὸς τούτοις δὲ ἑκάτεροι, οἵτε
Φιλοπονιακοὶ, καὶ οἱ Κονωνῖται, Ὠρι-
γενιαστὰς ἀλλήλους ὀνομάζουσιν. εὑ-
ρηκότες γὰρ οἱ Φιλοπονιακοὶ τὸν Ὠρι-
γένην λέγοντα ὅτι ἡ αὐτὴ ὕλη ἐν τῷ
μέλλοντι αἰῶνι ἀναμορφοῦται, καὶ
διὰ τοῦτο τῶν αὐτῶν σωμάτων γίνεται
ἡ ἀνάστασις, ἐκάλεσαν τοὺς Κονωνί- B
τας Ὠριγενιαστάς. πάλιν οἱ Κονωνῖ-
ται εὑρόντες τὸν Ὠριγένην λέγοντα
ἄλλων σωμάτων ἀνάστασιν· παλίμ-
βολος γὰρ ὁ ἀνήρ· ὠνόμασαν τοὺς Φι-
λοπονιακοὺς Ὠριγενιαστάς. δέχονται
δὲ οἱ Φιλοπονιακοὶ ἐπίσκοπόν τινα
Γεώργιον ὀνόματι, καὶ τοὺς λόγους τοὺς
ὑπ' αὐτοῦ ἐκδοθέντας.

ιβ'. Ἄλλοι Σεβηρῖται, ἤγουν
Θεοδοσιανοὶ, οἱ καὶ Νιοβῖται· οἵτινες
Σεβῆρον καὶ Θεοδόσιον δεχόμενοι,
δέχονται καὶ Στέφανον τὸν σοφιστὴν, C
τὸν ἐπίκλην Νιόβην· οὗτοι ἐν μὲν
τοῖς περὶ πατρὸς καὶ υἱοῦ καὶ ἁγίου
πνεύματος λόγοις, συμφωνοῦσι
τοῖς Κονδοβαυδίταις καὶ τοῖς Ἀγ-
νοΐταις· ἐν δὲ τοῖς λόγοις τοῖς πε-
ρὶ τῆς οἰκονομίας διαφωνοῦσιν, οὐ
μόνον πρὸς τούτους, ἀλλὰ καὶ
πρὸς τοὺς ἄλλους πάντας. πάντες
μὲν γὰρ δύο φύσεις ἐπὶ τοῦ κατὰ
Χριστὸν μυστηρίου μετὰ τὴν ἕνωσιν

Cononitis, objicientes illis
similiter materiam sensibilis
istius mundi carere interitu.
Quæque eadem nomina Co-
nonitæ prædicant de Philopo-
niacis, quòd non confiteantur
horumce corporum resurre-
ctionem. Adhæc utrique, Phi-
loponiaci & Cononitæ, se
invicem Origenistas vocant.
Nam cùm invenerint Philo-
poniaci in libris Origenis,
eamdem materiam in futuro
sæculo reformari, ideoque eo-
rumdem corporum fore resur-
rectionem, Cononitas appel-
laverunt Origenistas. Contrà
Cononitæ nacti in eodem O-
rigene, aliorum corporum re-
surrectionem; est enim in sen-
tentiis inconstans vir; Philo-
poniacis Origenistarum nomen
indiderunt. Cæterùm Philo-
poniaci admittunt Episcopum
quemdam nomine Georgium,
itemque libros ab illo editos.

XII. Alii Severitæ, vel Theo-
dosiani, ac Niobitæ; qui Se-
verum & Theodosium sibi ad-
scribentes, adsciscunt etiam
Stephanum Sophistam, cog-
nomento Niobem. Hi in ver-
bis circa Patrem, Filium &
Spiritum sanctum factis, ea-
dem loquuntur ac Condobau-
ditæ & Agnoitæ: in dictis verò
circa Incarnationis dispensatio-
nem, contraria proferunt; nec
solùm ab istis discrepant, sed
& à cæteris omnibus. Etenim
omnes etsi in mysterio de
Christo, dicere penitus recusent

duas post unionem naturas, attamen distinctionem naturarum post unionem confitentur: isti verò tum duas naturas post unionem ponere refugiunt, tum distinctionem naturarum servari post unionem non sustinent dicere.

Itaque quænam quotque sint sectæ, quæve illarum nomina, & quodnam dogma cujusque Schismatis eorum qui se Hæsitantes nuncupant, in superioribus compendiariò declaravimus. Qui æmulati facinora Arii ejusque discipulorum, pari cum iis ratione, extra Ecclesiastica septa collocârunt se. Illi quippe mille machinas admoverunt, studio propellendæ ab Ecclesia sanctæ & Oecumenicæ Nicænæ Synodi. Isti verò consimili modo multiplicia machinamenta & verborum certamina excogitârunt, cupientes ab Ecclesia ejicere Oecumenicam sanctam Synodum Calchedonensem. Verùm quod contra sanctos patres moliti sunt, in ipsos divinum immisit convertitque judicium, quod eos extra Ecclesias constituit. *Acuerunt* enim, juxta Scripturæ oraculum, *linguam suam sicut serpentis. Intenderunt arcum rem amaram; ut sagittent in occultis immaculatum. Firmaverunt sibi sermonem nequam; narraverunt ut absconderent laqueos: dixerunt, Quis videbit eos? Scrutati sunt iniquitatem; defecerunt scrutantes*

Ps. cxxxix. 4. Ps. LXIII 4. 5. 6. 7. 8. 9.

A οὐδενὶ λόγῳ ἀνέχονται εἰπεῖν, τὴν μέντοι διαφορὰν τῶν φύσεων ὁμολογοῦσι μετὰ τὴν ἕνωσιν· οὗτοι δὲ δύο φύσεις μετὰ τὴν ἕνωσιν παραιτούμενοι λέγειν, οὐδὲ τὴν διαφορὰν τῶν φύσεων μετὰ τὴν ἕνωσιν σώζεσθαι ἀνέχονται εἰπεῖν.

Τίνα μὲν οὖν τὰ σχίσματα καὶ πόσα τυγχάνει, τίνες τε τούτων αἱ ὀνομασίαι, καὶ τί τὸ ἑκάστου σχίσματος δόγμα τῶν ἑαυτοὺς καλούντων Διακρινομένοις, διὰ τῶν εἰρημένων συντόμως ἐδηλώσαμεν. B οἵτινες τὰ ἐπιτηδεύματα Ἀρείου τε καὶ τῶν ἐκείνου μαθητῶν ζηλώσαντες, ὁμοίως ἐκείνοις ἔξω τῶν ἐκκλησιαστικῶν περιβόλων ἑαυτοὺς ἐποίησαν. κἀκεῖνοι γὰρ μυρίας μηχανὰς ἐπεδείξαντο, ἐξωθῆσαι τῆς ἐκκλησίας σπουδάσαντες τὴν ἁγίαν καὶ οἰκουμενικὴν ἐν Νικαίᾳ σύνοδον. καὶ οὗτοι δὲ ὁμοίως πολυτρόποις μαγγανείας καὶ λογομαχίας ἐπετήδευσαν, ἐξελάσαι τῆς ἐκκλησίας προθέμενοι τὴν οἰκουμενικὴν ἁγίαν ἐν Καλχηδόνι σύνοδον. C ἀλλ' ὅπερ κατὰ τῶν ἁγίων πατέρων ἐβουλεύσαντο, εἰς αὐτοὺς ἡ θεία περιέστησε ψῆφος, ἔξω που τῶν ἐκκλησιῶν αὐτοὺς καταστήσασα. ἠκόνησαν γὰρ, κατὰ τὸ γεγραμμένον, τὴν γλῶσσαν αὐτῶν ὡσεὶ ὄφεως· ἐνέτειναν τόξον πρᾶγμα πικρὸν, τοῦ κατατοξεῦσαι ἐν ἀποκρύφοις ἄμωμον. ἐκραταίωσαν ἑαυτοῖς λόγον πονηρόν· διηγήσαντο τοῦ κρύψαι παγίδας· εἶπαν, τίς ὄψεται αὐτούς; ἐξηρεύνησαν ἀνομίαν· ἐξέλιπον ἐξερευνῶντες

ἐξερευνήσεις. ἀλλὰ κατὰ τὸν θεῖον λόγον, A βέλος νηπίων ἐγενήθησαν αἱ πληγαὶ αὐτῶν· καὶ ἐξησθένησαν ἐπ' αὐτοὺς αἱ γλῶσσαι αὐτῶν. διεσχίσθησαν, καὶ οὐ κατενύγησαν. ηὐφράνθη δὲ τοῦ θεοῦ ἡ ἐκκλησία, τὴν τῶν ἁγίων πατέρων ἐκδίκησιν θεωρήσασα· καὶ ὑψώθη ὁ θεός, τῆς ἀληθείας τῶν ἐκκλησιαστικῶν δογμάτων βεβαιωθείσης. φύγωμεν οὖν τὰς λογομαχίας τῶν ἐχθρῶν τῆς ἐκκλησίας τοῦ θεοῦ ἀσπαζόμενοι τὴν ἁγίαν καὶ οἰκουμενικὴν ἐν Καλχηδόνι σύνοδον· ὥσπερ καὶ τὴν ἐν Νικαίᾳ τῶν B τιη'. ἁγίων πατέρων· καὶ τὴν ἐν Κωνσταντινουπόλει τῶν ρν'. καὶ τὴν ἐν Ἐφέσῳ τὸ πρῶτον συναθροισθεῖσαν, ἧς ἡγεμόνες ὑπῆρχον οἱ ὁσιώτατοι Κελεστῖνος ὁ τῆς Ῥωμαίων, καὶ Κύριλλος ὁ τῆς Ἀλεξανδρέων· σὺν αὐταῖς δὲ καὶ τὴν ἐν Κωνσταντινουπόλει συναγηγερμένην ἐπὶ τοῦ τῆς θείας λήξεως βασιλέως Ἰουστινιανοῦ ἁγίαν καὶ οἰκουμενικὴν σύνοδον, τὴν κυρώσασαν καὶ βεβαιώσασαν τὰς πρὸ αὐτῆς ἁγίας καὶ οἰκουμενικὰς δ'. συνόδους, καὶ τὰ τούτων C δόγματα. ταύτας γὰρ περιπτυσσόμενοι, καὶ τοὺς τύπους αὐτῶν ἀσαλεύτους φυλάττοντες, τῆς μὲν αἰωνίου κολάσεως ἐκτὸς γενησόμεθα, ἐπιτευξόμεθα δὲ τῶν ἀπελευτήτων ἀγαθῶν· πρεσβείαις τῆς ἁγίας ἐνδόξου δεσποίνης ἡμῶν ἀειπαρθένου καὶ κατὰ ἀλήθειαν θεοτόκου Μαρίας· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν

scrutinia. Verùm, pergit divinus sermo; *Sagittæ parvulorum factæ sunt plagæ eorum: & infirmatæ sunt contra eos linguæ eorum. Dissipati sunt, nec compuncti.* Ps. XXXIV. 16. Lætata autem est Dei Ecclesia, quæ sanctorum patrum vindictam intuita sit: & Ps. LVII. 11. exaltatus est Deus, veritate Ecclesiasticorum dogmatum confirmatâ. Quapropter fugiamus hostium Ecclesiæ Dei argutias & disceptationes; amplectamurque sanctam atque Oecumenicam Synodum Calchedone habitam; quemadmodum & Nicænam sanctorum patrum CCCXVIII. & Constantinopolitanam CL. patrum, ac Ephesinam primam, cujus præsides exstiterunt sanctissimi Celestinus Romanus & Cyrillus Alexandrinus: prætereaque illam Constantinopoli congregatam sub divinæ memoriæ Imperatore Justiniano sanctam & universalem Synodum, quæ robore ac firmitate auxit sanctas generalesque quatuor Synodos ipsam præcedentes, earumque dogmata. Siquidem hæc Concilia complexi, illorumque decreta inconcussa servando, cùm æternum supplicium evitabimus, tum interminata consequemur bona: intercessione sanctæ gloriosæque dominæ nostræ semper virginis ac revera Deiparæ Mariæ: quæ utinam adipiscamur cuncti nos, gratiâ atque benignitate magni Dei Servatorisque nostri

Jeſu Chriſti; cum quo Patri, unà cum ſancto vivificoque Spiritu, honor & gloria, nunc & ſemper & in ſæcula ſæculorum. Amen.

A Ἰησοῦ Χριστοῦ· μεθ' οὗ τῷ πατρὶ, σὺν τῷ ἁγίῳ καὶ ζωοποιῷ πνεύματι τιμὴ καὶ δόξα, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

EX NICONIS PANDECTE, CAP. ULT.

TIMOTHEI Presbyteri ſanctiſſimæ magnæ Eccleſiæ, & vaſorum cuſtodis puriſſimæ Deiparæ in Chalcopratiis, de differentia eorum qui accedunt ad ſanctiſſimam noſtram fidem.

B ΤΙΜΟΘΕΟΥ ΠΡΕΣΒΥΤΕΡΟΥ τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας, καὶ σκευοφύλακος τῆς ὑπεραγίας θεοτόκου ἐν τοῖς Χαλκοπρατείοις, περὶ διαφορᾶς τῶν προσερχομένων τῇ παναγεστάτῃ ἡμῶν πίστει.

1. TRes invenimus ordines eorum qui ad ſanctam Dei Catholicam Apoſtolicamque Eccleſiam accedunt, Deo cariſſime comminiſter Johannes, omniumque mihi amiciſſime. Et primus ordo eſt eorum qui ſancto baptiſmate indigent. Secundus autem eorum qui non baptizantur, ſed ſancto unguento inunguntur. Tertius verò illorum qui nec baptizantur, nec unguntur, at ſolummodo anathematizant ſuam omnemque Hæreſim.

Τρεῖς εὑρίσκομεν τάξεις τῶν προσερχομένων τῇ ἁγίᾳ τοῦ θεοῦ καθολικῇ καὶ ἀποστολικῇ ἐκκλησίᾳ, C θεοφιλέστατε συλλειτουργὲ Ἰωάννη, καὶ πάντων ἐμοὶ προσφιλέστατε. καὶ πρώτη τάξις ἐστὶ τῶν δεομένων τοῦ ἁγίου βαπτίσματος· δευτέρα δὲ, τῶν μὴ βαπτιζομένων, χριομένων δὲ τῷ μύρῳ τῷ ἁγίῳ· καὶ τρίτη, τῶν μήτε βαπτιζομένων, μήτε χριομένων, ἀλλὰ μόνον ἀναθεματιζόντων τὴν ἰδίαν καὶ πᾶσαν αἵρεσιν.

Καὶ οἱ μὲν βαπτιζόμενοι, εἰσὶν A οὗτοι· Τασκοδρoῦγοι· Μαρκιανισταὶ, ἤγουν Ἀρτοτυρῖται· Σακκοφόροι, οἱ καὶ Ἀποτακτῖται· Βαλεντῖνοι, οἱ καὶ Βασιλείδαι καὶ Ἑρμαῖοι καλούμενοι· Νικολαῖται· Μοντανισταὶ, οἱ καὶ Πεπουζηνοί· Μανιχαῖοι· Εὐνομιανοί, ἤτ' Ἀνόμοιοι· Παυλιανισταὶ, οἱ ἀπὸ Παύλου τοῦ Σαμοσατέως· *Φωτεινιανισταὶ, οἱ ἀπὸ Φωτεινοῦ ἐπισκόπου τοῦ Συρμίου· Σαβελλιανοί· Σιμωνιανοί, ἀπὸ Σίμωνος τοῦ μάγου· Μενανδριανοί· Ἐβιωναῖοι· Κηρινθιανοί, B οἱ ἀπὸ Κηρίνθου· Καρποκρατιανοί, οἱ ἀπὸ Καρποκράτους· Σατορνιανοί· καὶ οἱ ἀπὸ τοῦ Μάρκου τοῦ ἀνοσίου· καὶ οἱ ἀπὸ Ἀπελλῆ· οἱ ἀπὸ Θεοδότου τοῦ σκυτέως· Ἑλκεσαῖται· οἱ ἀπὸ Νέποτος· οἱ ἀπὸ Πελαγίου καὶ Κελεστίνου· Μελχισεδεκῖται.

Οἱ δὲ χριόμενοι τῷ ἁγίῳ μύρῳ, εἰσὶν οὗτοι· Τεσσαρεσκαιδεκατῖται, ἤγουν Τετραδῖται· Ναυατιανοί, ἤγουν Σαββατιανοί· Ἀρειανοί· Μακεδονιανοί· Ἀπολιναρισταί. C

Οἱ δὲ μήτε χριόμενοι, μήτε βαπτιζόμενοι, ἀλλὰ μόνον ἀναθεματίζοντες τὴν ἰδίαν αἵρεσιν, εἰσὶν οὗτοι· Μελετιανοὶ οἱ σχισματικοί· οὗτοι κακόδοξοι μὲν οὐκ εἰσὶν, ἀλλὰ ἀναθεματίζουσι τὸ ἴδιον σχίσμα· Νεστοριανοί· Εὐτυχιανισταὶ, καὶ ὁ τούτων κοινωνὸς Διόσκορος, Σεβῆρος, Ἰάκωβος, καὶ οἱ λοιποὶ Ἀκέφαλοι· Μαρκιανισταὶ, οἱ ἀπὸ Μαρκιανοῦ τοῦ τραπεζίτου, καὶ Μεσσαλιανοί, καὶ *Εὐτυχῖται,

II. Et qui quidem baptizantur, sunt hi; Tascodrugi; Marcionistæ, seu Artotyritæ; Saccophori, qui & Apotactitæ; Valentini, qui etiam Basilidæ ac Hermæi vocantur; Nicolaitæ; Montanistæ, qui & Pepuzeni; Manichæi; Eunomiani, sive Anomœi; Paulianistæ, qui à Paulo Samosatensi; Photinistæ, à Photino Episcopo Syrmii; Sabelliani; Simoniani, à Simone Mago; Menandriani; Ebionæi, Cerinthiani, qui à Cerintho; Carpocratiani, à Carpocrate; Saturniani; & qui ab impio Marco; quique ab Apelle; qui à Theodoto coriario; Elcesaitæ; qui à Nepote; qui ex Pelagio atque Celestio; Melchisedecitæ.

* Balsam. Φωτινισταί

III. Qui autem unguntur sacro unguento, hi sunt; Tessarescædecatitæ, seu Tetraditæ; Novatiani, sive Sabbatiani; Ariani; Macedoniani; Apollinaristæ.

IV. Qui verò nec unguntur, nec baptizantur, sed tantummodo propriam Hæresim anathematizant, isti sunt; Meletiani Schismatici; hi quidem nullo errore detinentur; verùm anathemate feriunt suum Schisma: Nestoriani: Eutychianistæ, eorumque socius Dioscorus, Severus, Jacobus, & cæteri Acephali: Marcianistæ, qui à Marciano trapezita, & Messaliani, Euchitæ,

* In Balsam. Εὐχῖται

Enthusiastæ, Choreutæ, Lampetiani, Adelphiani, ac Eustathiani.

A καὶ Ἐνθουσιασταί, καὶ Χορευταί, καὶ Λαμπετιανοί, καὶ Ἀδελφιανοί, καὶ Εὐσταθιανοί.

Sextæ Synodi Canon 95.

Τῆς ϛ'. συνόδου κανὼν ϙε'.

Eos qui accedunt ad rectam fidem &c.

Τοὺς προστιθεμένους τῇ ὀρθοδοξίᾳ &c.

V. Cum hisce prædictis constitutionibus concordant Canones, octavus Nicænus & decimus nonus, Laodiceni septimus & octavus, Synodi Constantinopolitanæ primæ septimus, ac Nicænæ secundæ octavus. Et verò leges civiles ita decernunt; Si Judæus ut effugiat accusationem vel debitum, Christianam amplecti voluerit religionem, admittere illum non oportet, donec innocens visus fuerit, ac debitum solverit. Iterumque vult *lex* Gentiles baptizari, & eorum liberos in tenera ætate, absque mora; liberos verò adultos, ante doceri juxta Canonicas Scripturas. Necnon rursus jubet Samaritas hujusmodi, per biennium Catechesi institui: eos verò qui ab Hæresibus sunt convertendi, decem aut quindecim dies jejunare hortantur, & vacare precibus manè ac vesperi, Psalmosque discere.

Ταύταις ταῖς προειρημέναις διατάξεσι συμφωνοῦσιν, ὅ τε τῆς ἐν Νικαίᾳ κανὼν η'. καὶ ιθ'. καὶ ὁ τῆς ἐν Λαοδικείᾳ κανὼν ζ'. καὶ η'. καὶ ὁ B τῆς Κωνσταντινουπόλεως τὸ πρῶτον κανὼν ζ'. καὶ ὁ τῆς ἐν Νικαίᾳ τὸ δεύτερον κανὼν ὄγδοος. καὶ οἱ πολιτικοὶ δὲ νόμοι διαγορεύουσιν οὕτως· ὅτι ἐὰν Ἰουδαῖος διὰ τὸ φυγεῖν ἔγκλημα ἢ χρέος, θελήσῃ χριστιανῆσαι, οὐ δεῖ αὐτὸν προσδέχεσθαι, ἕως ἂν ἀναίτιος φανῇ, καὶ τὸ χρέος καταβάλῃ. καὶ πάλιν θέλει σὺν Ἕλληνας βαπτίζεσθαι, καὶ τὰ τέκνα αὐτῶν χωρὶς ἀναβολῆς μικρὰ ὄντα· τὰ δὲ τέλεια προδιδάσκεσθαι C κατὰ τὰς κανονικὰς γραφάς. καὶ πάλιν ἐπὶ διετίαν θέλει σὺν τοιούτους Σαμαρείτας κατηχεῖσθαι· τοὺς δὲ μέλλοντας ἀπὸ αἱρέσεων ἐπιστρέφειν, δέκα ἡμέρας, ἢ δεκαπέντε νηστεύειν, καὶ σχολάζειν ταῖς εὐχαῖς πρωῒ καὶ ἑσπέρας, καὶ μανθάνειν ψαλμοὺς προστέτακται.

VI. Atque hæc ab iis statuuntur. Videmus porrò nunc in magnis & universalibus Ecclesiis, scilicet in Patriarchatibus & Metropolibus,

Καὶ ταῦτα μὲν οὗτοι διατάσσονται. ὁρῶμεν δὲ νῦν ἐν ταῖς μεγάλαις καὶ καθολικαῖς ἐκκλησίαις, ἤγουν ἐν τοῖς πατριαρχείοις καὶ ταῖς μητροπόλεσι

καὶ τῆς λοιπαῖς, ὅτι τοὺς Ἀρμενίους A καὶ Ἰακωβίτας καὶ Νεστοριανοὺς καὶ τοὺς λοιποὺς Ἀκεφάλους, καὶ τοὺς ὁμοίους αὐτοῖς, ἐπιστρέφοντας εἰς τὴν ὀρθόδοξον πίστιν, * καταξιοῦσι, καὶ οὐ βαπτίζουσι· ποιοῦσι δὲ ἀναθεματίζειν τοὺς ἐξάρχους αὐτῶν. καὶ τοῦτο ἐτυπώθη ἄρτι, δι' αἰτίας εὐλόγους ἀναγκαίας.

Τινὲς δὲ τελείως βαπτίζουσι τοὺς Ἀρμενίους, τὴν ἀφορμὴν λαμβάνοντες οὐκ ἀπὸ τῶν μεγάλων ἐκκλησιῶν, ἀλλ' ἀπὸ τοῦ λόγου τοῦ μητροπολίτου B Νικαίας Ἰωάννου, ὃς γράφων πρὸς Ζαχαρίαν τὸν καθολικὸν τῆς μεγάλης Ἀρμενίας, οὕτως περὶ αὐτῶν φησιν· ὅτι οὐδὲ * χειροτονίας ἔχουσιν, ἀλλ' ἀλλότριοί εἰσι πάσης * χειροτονίας· δῆλον δὲ ἐντεῦθεν· ὁ γὰρ ἅγιος Γρηγόριος ἐπίσκοπος Ἀρμενίας, καὶ Λεόντιος ὁ μακαριώτατος ἀρχιεπίσκοπος Καισαρείας Καππαδοκίας, ὁ τὸν ἅγιον Γρηγόριον χειροτονήσας ἐπίσκοπον, διαθήκην ἀσφαλείας ἀναμέσον αὐτῶν ποιησάμενος, διωρίσατο τὸν τῆς C Ἀρμενίας κατὰ καιρὸν ἐπίσκοπον τὴν χειροτονίαν λαμβάνειν ὑπὸ τῆς ἐκκλησίας καὶ τοῦ ἀρχιερέως Καισαρέων, ἐξ ἧς καὶ αὐτὸς ὁ ἅγιος Γρηγόριος ἐν ἀρχῇ τὴν ἱερωσύνην ἐδέξατο· καθὼς καὶ ἐν τῷ βιβλίῳ τοῦ * οἴκου καὶ * μαρτυρίῳ τοῦ ἁγίου Γρηγορίου περὶ τούτων πάντων ἀκριβῶς διαγορεύει. οὗτοι δὲ εἰς μυρίας αἱρέσεις περιπεσόντες, καὶ ἐκ τῆς καθολικῆς ἐκκλησίας ἀλλοτριωθέντες, καὶ ἐκ τῆς Καισαρέων ἐκκλησίας

A cæterisque, quòd Armenios, Jacobitas, Nestorianos, reliquos Acephalos, eisque similes, quando convertuntur ad orthodoxam fidem, inungunt, & non baptizant; sed efficiunt ut ipsorum duces auctoresque anathematizent. Atque hoc modò definitum est propter justas necessariasque caussas.

* Deest μύρῳ

VII. At nonnulli omnino baptizant Armenios, occasione acceptâ, non à magnis Ecclesiis, sed ex libro Johannis B Metropolitæ Nicæni, qui scribens ad Zachariam magnæ Armeniæ Catholicum, ita de illis loquitur; *Quòd neque ordinationes habeant, sed ab omni alieni sint ordinatione: id verò hinc liquet. Nam sanctus Gregorius Armeniæ Episcopus, & Leontius beatissimus Archiepiscopus Cæsareæ Cappadociæ, qui sanctum Gregorium ordinavit Episcopum, pactum securitatis inter se* C *inierunt, ac definierunt, ut Armeniæ pro tempore Episcopus ordinationem acciperet ab Ecclesia & Pontifice Cæsariensium, ex qua ipse sanctus Gregorius quoque à principio suscepisset sacerdotium: quemadmodum etiam in libro de vita & martyrio sancti Gregorii accuratè hæc omnia edisseruntur. Illi verò in Hæreses innumeras prolapsi, & ab Ecclesia Catholica alienati, neque ex Ecclesia Cæsariensi*

* Ed. χειροτονίας

* Ed. ἱερωσύνης

* Ed. βίου

* Ed. μαρτυρίῳ

Eosdem Damiani Paulique asseclæ Tritheitas vocant. Ipsi illos nuncupant aliquando Sabellianos, Montanistas, Photinianos, Noëtianos & Artemoniastas, aliquando Tetraditas. Cæterùm à Petro postremo, iisque qui ei adhærent in eo dissident; quòd illi cùm nolint tres Deos ponere, seu tres divinitates, Patrem, & Filium, & Spiritum sanctum, refugiunt etiam proferre tres numero substantias seu naturas quasdam citra diversitatem æquales. Hi verò deprecantur quidem tres Deos seu divinitates pronunciare, at tres numero substantias vel naturas æquales confitentur. Isti, qui à Conone, inquam, cùm priùs approbâssent scripta Johannis Alexandriæ Grammatici cognomento Philoponi, tum quæ edidit adversùs Græcos seu Gentiles, tum alia, tandem eumdem Grammaticum ejusque Opera abjecerunt. Is quippe Johannes Grammaticus in libris adversùs Gentes ac in aliis suis voluminibus ista induxit; Omnia corpora hæc sensibus & aspectui exposita, secundùm materiam ac formam ex non exstante ad exsistentiam adducta esse per Deum; corruptibilia autem facta fuisse, & corrumpi juxta materiam & formam; atque in locum eorum alia corpora his quæ cernuntur præstantiora incorruptibilia æternaque creari

* Αν αὐτῷ

A καλοῦσι δὲ καὶ τούτους οἱ Δαμιανοῦ καὶ Παύλου, Τριθεΐτας· καὶ οὗτοι δὲ ἐκείνους ὀνομάζουσι, ποτὲ μὲν Σαβελλιανοὺς καὶ Μοντανιστὰς καὶ Φωτεινιανοὺς καὶ Νοητιανοὺς καὶ Ἀρτεμονιάστας, ποτὲ δὲ Τετραδίτας αὐτοὺς προσαγορεύουσι. διΐστανται δὲ ἀπὸ Πέτρου τοῦ ἐσχάτου καὶ τῶν σὺν αὐτῷ, διότι ἐκεῖνοι μὲν παραιτούμενοι τρεῖς λέγειν θεοὺς, ἤγουν θεότητας τρεῖς, τὸν πατέρα καὶ τὸν υἱὸν καὶ τὸ ἅγιον πνεῦμα, παραιτοῦνται καὶ τὸ λέγειν τρεῖς τῷ ἀριθ-
B μῷ οὐσίας ἤγουν φύσεις τινὰς ἴσας ἀπαραλλάκτως. οὗτοι δὲ τὸ μὲν λέγειν, τρεῖς θεοὺς ἤγουν θεότητας παραιτοῦνται· τρεῖς δὲ τῷ ἀριθμῷ οὐσίας ἤγουν φύσεις τινὰς ἴσας ὁμολογοῦσιν. οὗτοι, οἱ ἀπὸ Κόνωνός φημι, πρότερον δεχόμενοι τὰ συγγράμματα Ἰωάννου τοῦ Ἀλεξανδρείας γραμματικοῦ τὴν ἐπίκλην Φιλοπόνου, τὰ κατὰ Ἑλλήνων * αὐτῶν γεγραμμένα, μετὰ καὶ τῶν ἄλλων αὐτοῦ συγγραμμάτων, αὐτόν τε τὸν γραμματικὸν ἔσχα-
C τον ἀπεβάλοντο, καὶ τὰ συγγράμματα αὐτοῦ. ὁ γὰρ εἰρημένος γραμματικὸς Ἰωάννης ἐν τοῖς πρὸς Ἕλληνας βιβλίοις, καὶ ἐν τοῖς ἄλλοις αὐτοῦ συγγράμμασιν ἐπήγαγε λέγων, τὰ σώματα τὰ αἰσθητὰ ταῦτα πάντα καὶ ὁρώμενα, κατά τε ὕλην καὶ εἶδος ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παραχθῆναι ὑπὸ τοῦ θεοῦ· φθαρτά τε ταῦτα γενέσθαι, καὶ φθείρεσθαι κατά τε ὕλην καὶ εἶδος, καὶ ἀντὶ τούτων ἕτερα σώματα κρείττονα ἰδίων τῶν ὁρωμένων ἄφθαρτα καὶ αἰώνια

ὑπὸ τοῦ θεοῦ δημιουργεῖσθαι· συντέλειαν λέγων τοῦ ὁρωμένου κόσμου ἤγουν παρέλευσιν, καὶ καινοῦ κόσμου γένεσιν· ἀνάστασίν τε νεκρῶν ὁρίζεται εἶναι, τὴν τῶν λογικῶν ψυχῶν πρὸς σῶμα ἄφθαρτον ἕνωσιν ἀδιάλυτον. Κόνων δὲ καὶ οἱ σὺν αὐτῷ, ὡς εἴπομεν, πρότερον δεχόμενοι τὰ συγγράμματα ἐν οἷς ταῦτα ἐδογμάτισε, καὶ αὐτὸν τὸν Φιλόπονον ζῶντά τε καὶ μετὰ τελευτὴν ἐγγράφως καὶ ἀγράφως μακαρίζοντες, τελευταῖον αὐτόν τε ἐκεῖνον καὶ τὰ συγγράμματα αὐτοῦ ἀπεβάλοντο· λόγους ἐγγράφως ἐκδεδωκότες, ἐν οἷς λέγουσιν, ὅτι τὰ σώματα τὰ αἰσθητὰ ταῦτα καὶ ὁρώμενα, κατὰ μὲν τὴν ὕλην οὐ φθείρεται, ἀλλὰ μένουσι τὰ αὐτὰ καὶ ὁρώμενα εἰς ἀεὶ μὴ φθειρόμενα· κατὰ δὲ τὸ εἶδος μόνον φθείρονται. καὶ πάλιν ἀναμορφοῦσθαι τὴν αὐτὴν ὕλην λέγουσι, κρεῖττον εἶδος δεχομένην ἄφθαρτον καὶ αἰώνιον. γένεσιν μὲν τοῦ ὁρωμένου κόσμου λέγουσι, κατά τε ὕλην καὶ εἶδος, φθορὰν δὲ αὐτοῦ ἤγουν παρέλευσιν κατὰ μόνον τὸ εἶδος. τὴν γὰρ ὕλην, ὡς εἴπομεν, ἀεὶ διαμένειν ὁμολογοῦσι τὴν αὐτήν. ἀνάστασιν δὲ νεκρῶν ὁρίζονται εἶναι, τὴν τοῦ σώματος τούτου πρὸς τὴν λογικὴν ψυχὴν δευτέραν ἕνωσιν ἀδιάλυτον.

ια΄. Ἄλλοι Σεβηρῖται, ἤγουν Θεοδοσιανοὶ οἱ καὶ Φιλοπονιακοί·

A à Deo: consummationem intelligens seu transitum conspicui mundi, novique ortum. Ad hæc resurrectionem mortuorum definit esse, animarum rationalium cum corpore incorruptibili unionem indissolubilem. Conon verò quique cum ipso sunt, quemadmodum diximus, licèt priùs laudâssent commentarios in quibus hæc dogmata tradidit, ipsumque Philoponum superstitem ac B mortuum per atque extra scripta beatum prædicâssent, demum eumdem illum ipsiusque scripta repudiârunt: libris editis, in quibus contendunt, corpora hæc aspectabilia & sensibilia, juxta materiam quidem non corrumpi, sed manere eadem, & conspecta, semperque incorrupta; secundùm verò formam dumtaxat corrumpi. Rursusque reformari eamdem materiam putant, recipiendo præstantiorem for- C mam incorruptibilem ac sempiternam. Adjiciunt, ortum istius oculis propositi orbis contingere secundùm materiam & formam; ejusdem autem interitum transitumque secundùm solam formam. Ut enim retulimus, materiam semper eamdem manere profitentur. At resurrectionem mortuorum definiunt, corporis hujusce cum anima rationali secundam indissolubilemque unionem.

XI. Alii Severitæ, seu Theodosiani, iidem Philoponiaci;

qui accedentes Severo & Theodosio Episcopis, pro doctore assumunt Johannem Philoponum, ipsiusque scriptis inhærent; ac eum sequuntur, non solùm in doctrina de Trinitate, sed etiam in opinionibus de consummatione mundi qui oculis percipitur, deque ejusdem orbis necnon futuri ortu, ac de resurrectione mortuorum. Isti nec Damianum, nec Paulum, nec ultimum Petrum pro suis habent. Cúmque priùs Cononem reciperent, postea rejecerunt, eò quòd repudiâsset Johannem Philoponum illiusque scripta. Iidem in sermonibus qui ad Trinitatem pertinent, concinunt cum Cononitis; ac Tritheitæ ab Angelitis & Paulianistis nominantur: quos ipsi modò nominant Sabellianos, modò Tetraditas. Verùm in iis quæ spectant ad consummationem visibilis mundi, & ad resurrectionem mortuorum, contrariâ ac Cononitæ tenentur sententiâ. Et Cononitæ quidem hos Philoponiacos appellant Sadducæos, Simonianos, Gentiles, Valentinianos, Marcionistas, Manichæos. Rursum verò Philoponiaci iisdem nominibus Hæresum & Paganorum Cononitas donant; cognominatque eos, Græcos, Manichæos, Simonianos, Valentinianos, Marcionistas & Hermogeniastas. Quæ quidem nomina Philoponiaci imponunt

A οἵτινες δεχόμενοι Σευῆρον καὶ Θεοδόσιον ἐπισκόπους, δέχονται εἰς διδάσκαλον τὸν φιλόπονον Ἰωάννην, καὶ τὰ τούτου συγγράμματα, ἀκολουθοῦντες αὐτῷ οὐ μόνον ἐν τῷ περὶ τριάδος λόγῳ, ἀλλὰ καὶ ἐν τοῖς περὶ συντελείας τοῦ ὁρωμένου κόσμου, καὶ γενέσεως τοῦ τε ὁρωμένου κόσμου καὶ τοῦ μέλλοντος, καὶ νεκρῶν ἀναστάσεως. οὗτοι δὲ οὔτε Δαμιανὸν, οὔτε Παῦλον, οὔτε τὸν ἔσχατον Πέτρον δέχονται. πρότερον δὲ δεχόμενοι Κόνωνα, ὕστερον αὐτὸν ἀπε-
B βάλοντο, διὰ τὸ ἀποβάλλεσθαι ἐκεῖνον Ἰωάννην τὸν φιλόπονον καὶ τὰ τούτου συγγράμματα. καὶ ἐν μὲν τοῖς περὶ τριάδος λόγοις, συνᾴδουσι τοῖς Κονωνίταις. καὶ Τριθεῖται ὀνομάζονται καὶ αὐτοὶ ὑπὸ τῶν Ἀγγελιτῶν καὶ Παυλιανιστῶν· ὀνομάζουσι δὲ καὶ αὐτοὶ ἐκείνους, ποτὲ μὲν Σαβελλιανοὺς, ποτὲ δὲ Τετραδίτας. ἐν δὲ τοῖς περὶ συντελείας τοῦ ὁρωμένου κόσμου, καὶ νεκρῶν ἀναστάσεως, ἐναντιοῦνται αὐτοῖς, τοῖς Κονωνίταις φημί. τούτους οἱ Κο-
C νωνῖται, τοὺς φιλοπονιακοὺς λέγω, καλοῦσι Σαδδουκαίους καὶ Σιμωνιανοὺς καὶ Ἕλληνας καὶ Οὐαλεντινιανοὺς καὶ Μαρκιωνιστὰς καὶ Μανιχαίους. κἀκεῖνοι πάλιν, οἱ φιλοπονιακοί, τοῖς αὐτοῖς ὀνόμασι τῶν αἱρέσεων καὶ Ἑλλήνων τοὺς Κονωνίτας προσαγορεύουσιν· Ἕλληνας αὐτοὺς καὶ Μανιχαίους καὶ Σιμωνιανοὺς καὶ Οὐαλεντινιανοὺς καὶ Μαρκιωνιστὰς καὶ Ἑρμογενιαστὰς ἀποκαλοῦντες. καὶ οἱ μὲν φιλοπονιακοὶ τὰ ὀνόματα ταῦτα τοῖς

Κονωνίταις

Κονωνίταις ἐπιφέρουσι, λέγοντες αὐτοῖς τὴν ὕλην τοῦ αἰσθητοῦ τούτου κόσμου ὁμοίως ἀτελεύτητον. οἱ δὲ Κονωνῖται τὰ αὐτὰ ὀνόματα τῶν Φιλοπονιακῶν κατηγοροῦσι, διὰ τὸ μὴ λέγειν αὐτοὺς τῶν σωμάτων τούτων ἀνάστασιν. πρὸς τούτοις δὲ ἑκάτεροι, οἵτε Φιλοπονιακοὶ, καὶ οἱ Κονωνῖται, Ὠριγενιαστὰς ἀλλήλοις ὀνομάζουσιν. εὑρηκότες γὰρ οἱ Φιλοπονιακοὶ τὸν Ὠριγένην λέγοντα ὅτι ἡ αὐτὴ ὕλη ἐν τῷ μέλλοντι αἰῶνι ἀναμορφοῦται, καὶ διὰ τοῦτο τῶν αὐτῶν σωμάτων γίνεται ἡ ἀνάστασις, ἐκάλεσαν τοὺς Κονωνίτας Ὠριγενιαστάς. πάλιν οἱ Κονωνῖται εὑρόντες τὸν Ὠριγένην λέγοντα ἄλλων σωμάτων ἀνάστασιν· παλίμβολος γὰρ ὁ ἀνήρ· ὠνόμασαν τοὺς Φιλοπονιακοὺς Ὠριγενιαστάς. δέχονται δὲ οἱ Φιλοπονιακοὶ ἐπίσκοπόν τινα Γεώργιον ὀνόματι, καὶ τοὺς λόγους τοὺς ὑπ' αὐτοῦ ἐκδοθέντας.

ιβ'. Ἄλλοι Σεβηρῖται, ἤγουν Θεοδοσιανοὶ, οἱ καὶ Νιοβῖται· οἵτινες Σεβῆρον καὶ Θεοδόσιον δεχόμενοι, δέχονται καὶ Στέφανον τὸν σοφιστὴν, τὸν ἐπίκλην Νιόβην· οὗτοι ἐν μὲν τοῖς περὶ πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος λόγοις, συμφωνοῦσι τοῖς Κονδοβαυδίταις καὶ τοῖς Ἀγνοΐταις· ἐν δὲ τοῖς λόγοις τοῖς περὶ τῆς οἰκονομίας διαφωνοῦσιν, οὐ μόνον πρὸς τούτους, ἀλλὰ καὶ πρὸς τοὺς ἄλλους πάντας. πάντες μὲν γὰρ δύο φύσεις ἐπὶ τοῦ κατὰ Χριστὸν μυστηρίου μετὰ τὴν ἕνωσιν

A Cononitis, objicientes illis similiter materiam sensibilis istius mundi carere interitu. Quæque eadem nomina Cononitæ prædicant de Philoponiacis, quòd non confiteantur horumce corporum resurrectionem. Adhæc utrique, Philoponiaci & Cononitæ, se invicem Origenistas vocant. Nam cùm invenerint Philoponiaci in libris Origenis, eamdem materiam in futuro sæculo reformari, ideoque eorumdem corporum fore resur-
B rectionem, Cononitas appellaverunt Origenistas. Contrà Cononitæ nacti in eodem Origene, aliorum corporum resurrectionem; est enim in sententiis inconstans vir; Philoponiacis Origenistarum nomen indiderunt. Cæterùm Philoponiaci admittunt Episcopum quemdam nomine Georgium, itemque libros ab illo editos.

XII. Alii Severitæ, vel Theodosiani, ac Niobitæ; qui Severum & Theodosium sibi ad-
C scribentes, adsciscunt etiam Stephanum Sophistam, cognomento Niobem. Hi in verbis circa Patrem, Filium & Spiritum sanctum factis, eadem loquuntur ac Condobauditæ & Agnoitæ: in dictis verò circa Incarnationis dispensationem, contraria proferunt; nec solùm ab istis discrepant, sed & à cæteris omnibus. Etenim omnes etsi in mysterio de Christo, dicere penitus recusent

duas post unionem naturas, attamen distinctionem naturarum post unionem confitentur: isti verò tum duas naturas post unionem ponere refugiunt, tum distinctionem naturarum servari post unionem non sustinent dicere.

Itaque quænam quotque sint sectæ, quæve illarum nomina, & quodnam dogma cujusque Schismatis eorum qui se Hæsitantes nuncupant, in superioribus compendiariò declaravimus. Qui æmulati facinora Arii ejusque discipulorum, pari cum iis ratione, extra Ecclesiastica septa collocârunt se. Illi quippe mille machinas admoverunt, studio propellendæ ab Ecclesia sanctæ & Oecumenicæ Nicænæ Synodi. Isti verò consimili modo multiplicia machinamenta & verborum certamina excogitârunt, cupientes ab Ecclesia ejicere Oecumenicam sanctam Synodum Calchedonensem. Verùm quod contra sanctos patres moliti sunt, in ipsos divinum immisit convertitque judicium, quod eos extra Ecclesias constituit.
Ps. cxxxix. 4. *Acuerunt* enim, juxta Scripturæ oraculum, *linguam suam*
Ps. LXIII *sicut serpentis. Intenderunt ar-*
4. 5. 6. *cum rem amaram; ut sagittent*
7. 8. 9. *in occultis immaculatum. Firmaverunt sibi sermonem nequam; narraverunt ut absconderent laqueos: dixerunt, Quis videbit eos? Scrutati sunt iniquitatem; defecerunt scrutantes*

A οὐδενὶ λόγῳ ἀνέχονται εἰπεῖν, τὴν μέντοι διαφορὰν τῶν φύσεων ὁμολογοῦσι μετὰ τὴν ἕνωσιν· οὗτοι δὲ δύο φύσεις μετὰ τὴν ἕνωσιν παραιτούμενοι λέγειν, οὐδὲ τὴν διαφορὰν τῶν φύσεων μετὰ τὴν ἕνωσιν σώζεσθαι ἀνέχονται εἰπεῖν.

Τίνα μὲν οὖν τὰ σχίσματα καὶ πόσα τυγχάνει, τίνες τε τούτων αἱ ὀνομασίαι, καὶ τί τὸ ἑκάστου σχίσματος δόγμα τῶν ἑαυτοὺς καλούντων Διακρινομένους, διὰ τῶν εἰρημένων συντόμως ἐδηλώσαμεν.
B οἵτινες τὰ ἐπιτηδεύματα Ἀρείου τε καὶ τῶν ἐκείνου μαθητῶν ζηλώσαντες, ὁμοίως ἐκείνοις ἔξω τῶν ἐκκλησιαστικῶν περιβόλων ἑαυτοὺς ἐποίησαν. κἀκεῖνοι γὰρ μυρίας μηχανὰς ἐπεδείξαντο, ἐξωθῆσαι τῆς ἐκκλησίας σπουδάσαντες τὴν ἁγίαν καὶ οἰκουμενικὴν ἐν Νικαίᾳ σύνοδον. καὶ οὗτοι δὲ ὁμοίως πολυτρόποις μαγγανείας καὶ λογομαχίας ἐπετήδευσαν, ἐξελάσαι τῆς ἐκκλησίας προθέμενοι τὴν οἰκουμενικὴν ἁγίαν ἐν Καλχηδόνι
C σύνοδον. ἀλλ' ὅπερ κατὰ τῶν ἁγίων πατέρων ἐβουλεύσαντο, εἰς αὐτοὺς ἡ θεία περιέστησε ψῆφος, ἔξω που τῶν ἐκκλησιῶν αὐτοὺς καταστήσασα. ἠκόνησαν γὰρ, κατὰ τὸ γεγραμμένον, τὴν γλῶσσαν αὐτῶν ὡσεὶ ὄφεως· ἐνέτειναν τόξον πρᾶγμα πικρὸν, τοῦ κατατοξεῦσαι ἐν ἀποκρύφοις ἄμωμον. ἐκραταίωσαν ἑαυτοῖς λόγον πονηρόν· διηγήσαντο τοῦ κρύψαι παγίδας· εἶπαν, τίς ὄψεται αὐτούς; ἐξηρεύνησαν ἀνομίαν· ἐξέλιπον ἐξερευνῶντες

ἐξερευνήσεις. ἀλλὰ κατὰ τὸν θεῖον λόγον, βέλος νηπίων ἐγενήθησαν αἱ πληγαὶ αὐτῶν· καὶ ἐξηθένησαν ἐπ' αὐτοὺς αἱ γλῶσσαι αὐτῶν. διεσχίσθησαν. καὶ οὐ κατενύγησαν. ηὐφράνθη δὲ τοῦ θεοῦ ἡ ἐκκλησία, τὴν τῶν ἁγίων πατέρων ἐκδίκησιν θεωρήσασα· καὶ ὑψώθη ὁ θεὸς, τῆς ἀληθείας τῶν ἐκκλησιαστικῶν δογμάτων βεβαιωθείσης. φύγωμεν οὖν τὰς λογομαχίας τῶν ἐχθρῶν τῆς ἐκκλησίας τοῦ θεοῦ ἀσπαζόμενοι τὴν ἁγίαν καὶ οἰκουμενικὴν ἐν Καλχηδόνι σύνοδον· ὥσπερ καὶ τὴν ἐν Νικαίᾳ τῶν τιη'. ἁγίων πατέρων· καὶ τὴν ἐν Κωνσταντινουπόλει τῶν ρν'. καὶ τὴν ἐν Ἐφέσῳ τὸ πρῶτον συναθροισθεῖσαν, ἧς ἡγεμόνες ὑπῆρχον οἱ ὁσιώτατοι Κελεστῖνος ὁ τῆς Ῥωμαίων, καὶ Κύριλλος ὁ τῆς Ἀλεξανδρέων· σὺν αὐταῖς δὲ καὶ τὴν ἐν Κωνσταντινουπόλει συναγηγερμένην ἐπὶ τοῦ τῆς θείας λήξεως βασιλέως Ἰουστινιανοῦ ἁγίαν καὶ οἰκουμενικὴν σύνοδον, τὴν κυρώσασαν καὶ βεβαιώσασαν τὰς πρὸ αὐτῆς ἁγίας καὶ οἰκουμενικὰς δ'. συνόδους, καὶ τὰ τούτων δόγματα. ταύτας γὰρ περιπτυσσόμενοι, καὶ τοὺς τύπους αὐτῶν ἀσαλεύτους φυλάττοντες, τῆς μὲν αἰωνίου κολάσεως ἐκτὸς γενησόμεθα, ἐπιτευξόμεθα δὲ τῶν ἀπεράντων ἀγαθῶν· πρεσβείαις τῆς ἁγίας ἐνδόξου δεσποίνης ἡμῶν ἀειπαρθένου καὶ κατὰ ἀλήθειαν θεοτόκου Μαρίας· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν

A *scrutinia.* Verùm, pergit divinus sermo; *Sagittæ parvulorum factæ sunt plagæ eorum: & infirmatæ sunt contra eos linguæ eorum. Dissipati sunt, nec compuncti.* Ps. XXXIV. 16. Lætata autem est Dei Ecclesia, quæ sanctorum patrum vindictam intuita sit: & exaltatus est Deus, veritate Ecclesiasticorum dogmatum confirmatâ. Ps. LVII. 11. Quapropter fugiamus hostium Ecclesiæ Dei argutias & disceptationes; amplectamurque sanctam atque Oecu- B menicam Synodum Calchedone habitam; quemadmodum & Nicænam sanctorum patrum CCCXVIII. & Constantinopolitanam CL. patrum, ac Ephesinam primam, cujus præsides exstiterunt sanctissimi Celestinus Romanus & Cyrillus Alexandrinus: prætereaque illam Constantinopoli congregatam sub divinæ memoriæ Imperatore Justiniano sanctam & universalem Synodum, quæ robore ac firmitate auxit sanctas C generalesque quatuor Synodos ipsam præcedentes, earumque dogmata. Siquidem hæc Concilia complexi, illorumque decreta inconcussa servando, cùm æternum supplicium evitabimus, tum interminata consequemur bona: intercessione sanctæ gloriosæque dominæ nostræ semper virginis ac revera Deiparæ Mariæ: quæ utinam adipiscamur cuncti nos, gratiâ atque benignitate magni Dei Servatorisque nostri

Jesu Christi; cum quo Patri, una cum sancto vivificoque Spiritu, honor & gloria, nunc & semper & in sæcula sæculorum. Amen. A

Ἰησοῦ Χριστοῦ μεθ᾽ οὗ τῷ πατρὶ, σὺν τῷ ἁγίῳ καὶ ζωοποιῷ πνεύματι τιμὴ καὶ δόξα, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

EX NICONIS PANDECTE, CAP. ULT.

TIMOTHEI Presbyteri sanctissimæ magnæ Ecclesiæ, & vasorum custodis purissimæ Deiparæ in Chalcopratiis, de differentia eorum qui accedunt ad sanctissimam nostram fidem. B

ΤΙΜΟΘΕΟΥ ΠΡΕΣΒΥΤΕΡΟΥ τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας, καὶ σκευοφύλακος τῆς ὑπεραγίας θεοτόκου ἐν τοῖς Χαλκοπρατείοις, περὶ διαφορᾶς τῶν προσερχομένων τῇ παναγεστάτῃ ἡμῶν πίστει.

1. TRes invenimus ordines eorum qui ad sanctam Dei Catholicam Apostolicamque Ecclesiam accedunt, Deo carissime comminister Johannes, omniumque mihi amicissime. Et primus ordo est eorum qui sancto baptismate indigent. Secundus autem eorum qui non baptizantur, sed sancto unguento inunguntur. Tertius verò illorum qui nec baptizantur, nec unguntur, at solummodo anathematizant suam omnemque Hæresim. C

ΤΡεῖς εὑρίσκομεν τάξεις τῶν προσερχομένων τῇ ἁγίᾳ τοῦ θεοῦ καθολικῇ καὶ ἀποστολικῇ ἐκκλησίᾳ, θεοφιλέστατε συλλειτουργὲ Ἰωάννη, καὶ πάντων ἐμοὶ προσφιλέστατε. καὶ πρώτη τάξις ἐστὶ τῶν δεομένων τοῦ ἁγίου βαπτίσματος· δευτέρα δὲ, τῶν μὴ βαπτιζομένων, χριομένων δὲ τῷ μύρῳ τῷ ἁγίῳ· καὶ τρίτη, τῶν μήτε βαπτιζομένων, μήτε χριομένων, ἀλλὰ μόνον ἀναθεματιζόντων τὴν ἰδίαν καὶ πᾶσαν αἵρεσιν.

Καὶ οἱ μὲν βαπτιζόμενοι, εἰσὶν A οὗτοι· Τασκοδρούγοι· Μαρκιωνισταί, ἤγουν Ἀρτοτυρῖται· Σακκοφόροι, οἱ καὶ Ἀποτακτῖται· Βαλεντῖνοι, οἱ καὶ Βασιλειδιανοὶ καὶ Ἑρμαῖοι καλούμενοι· Νικολαΐται· Μοντανισταί, οἱ καὶ Πεπουζηνοί· Μανιχαῖοι· Εὐνομιανοί, ἤτ' Ἀνόμοιοι· Παυλιανισταί, οἱ ἀπὸ Παύλου τοῦ Σαμοσατέως· * Φωτεινιανισταί, οἱ ἀπὸ Φωτεινοῦ ἐπισκόπου τοῦ Συρμίου· Σαβελλιανοί· Σιμωνιανοί, ἀπὸ Σίμωνος τοῦ μάγου· Μενανδριανοί· Ἐβιωναῖοι· Κηρινθιανοί, B οἱ ἀπὸ Κηρίνθου· Καρποκρατιανοί, οἱ ἀπὸ Καρποκράτους· Σατορνιανοί· καὶ οἱ ἀπὸ τοῦ Μάρκου τοῦ ἀνοσίου· καὶ οἱ ἀπὸ Ἀπελλῆ· οἱ ἀπὸ Θεοδότου τοῦ σκυτέως· Ἐλκεσαῖται· οἱ ἀπὸ Νέποτος· οἱ ἀπὸ Πελαγίου καὶ Κελεστίνου· Μελχισεδεκῖται.

Οἱ δὲ χριόμενοι τῷ ἁγίῳ μύρῳ, εἰσὶν οὗτοι· Τεσσαρεσκαιδεκατῖται, ἤγουν Τετραδῖται· Ναυατιανοί, ἤγουν Σαββατιανοί· Ἀρειανοί· Μακεδονιανοί· Ἀπολιναρισταί. C

Οἱ δὲ μήτε χριόμενοι, μήτε βαπτιζόμενοι, ἀλλὰ μόνον ἀναθεματίζοντες τὴν ἰδίαν αἵρεσιν, εἰσὶν οὗτοι· Μελετιανοὶ οἱ σχισματικοί· οὗτοι κακόδοξοι μὲν οὐκ εἰσὶν, ἀλλὰ ἀναθεματίζουσι τὸ ἴδιον σχίσμα· Νεστοριανοί· Εὐτυχιανισταί, καὶ ὁ τούτων κοινωνὸς Διόσκορος, Σευῆρος, Ἰάκωβος, καὶ οἱ λοιποὶ Ἀκέφαλοι· Μαρκιανισταί, οἱ ἀπὸ Μαρκιανοῦ τοῦ τραπεζίτου, καὶ Μεσσαλιανοί, καὶ * Εὐτυχῖται,

II. Et qui quidem baptizantur, sunt hi; Tascodrugi; Marcionistæ, seu Artotyritæ; Saccophori, qui & Apotactitæ; Valentini, qui etiam Basilidæ ac Hermæi vocantur; Nicolaitæ; Montanistæ, qui & Pepuzeni; Manichæi; Eunomiani, sive Anomœi; Paulianistæ, qui à Paulo Samosatensi; Photinistæ, à Photino Episcopo Syrmii; Sabelliani; Simoniani, à Simone Mago; Menandriani; Ebionæi, Cerinthiani, qui à Cerintho; Carpocratiani, à Carpocrate; Saturniani; & qui ab impio Marco; quique ab Apelle; qui à Theodoto coriario; Elcesaitæ; qui à Nepote; qui ex Pelagio atque Celestio; Melchisedecitæ.

* Balsam. Φωτινιασταί

III. Qui autem unguntur sacro unguento, hi sunt; Tessareskædecatitæ, seu Tetraditæ; Novatiani, sive Sabbatiani; Ariani; Macedoniani; Apollinaristæ.

IV. Qui verò nec unguntur, nec baptizantur, sed tantummodo propriam Hæresim anathematizant, isti sunt; Meletiani Schismatici; hi quidem nullo errore detinentur, verùm anathemate feriunt suum Schisma: Nestoriani: Eutychianistæ, eorumque socius Dioscorus, Severus, Jacobus, & cæteri Acephali: Marcianistæ, qui à Marciano trapezita, & Messaliani, Euchitæ,

* In Balsam. Εὐχῖται

Enthusiastæ, Choreutæ, Lampetiani, Adelphiani, ac Eustathiani.

A καὶ Ἐνθουσιασταί, καὶ Χορευταί, καὶ Λαμπετιανοί, καὶ Ἀδελφιανοί, καὶ Εὐσταθιανοί.

Sextæ Synodi Canon 95.

Τῆς ϛʹ. συνόδου κανὼν ϟεʹ.

Eos qui accedunt ad rectam fidem &c.

Τοὺς προστιθεμένους τῇ ὀρθοδοξίᾳ &c.

v. CUm hisce prædictis constitutionibus concordant Canones, octavus Nicænus & decimusnonus, Laodiceni septimus & octavus, Synodi Constantinopolitanæ primæ septimus, ac Nicænæ secundæ octavus. Et verò leges civiles ita decernunt; Si Judæus ut effugiat accusationem vel debitum, Christianam amplecti voluerit religionem, admittere illum non oportet, donec innocens visus fuerit, ac debitum solverit. Iterumque vult *lex* Gentiles baptizari, & eorum liberos in tenera ætate, absque mora; liberos verò adultos, ante doceri juxta Canonicas Scripturas. Necnon rursus jubet Samaritas hujusmodi, per biennium Catechesi institui: eos verò qui ab Hæresibus sunt convertendi, decem aut quindecim dies jejunare hortantur, & vacare precibus manè ac vesperi, Psalmosque discere.

v i. Atque hæc ab iis statuuntur. Videmus porrò nunc in magnis & universalibus Ecclesiis, scilicet in Patriarchatibus & Metropolibus,

ΤΑύταις ταῖς προειρημέναις διατάξεσι συμφωνοῦσιν, ὅ τε τῆς ἐν Νικαίᾳ κανὼν ηʹ. καὶ ιθʹ. καὶ ὁ τῆς ἐν Λαοδικείᾳ κανὼν ζʹ. καὶ ηʹ. καὶ ὁ B τῆς Κωνσταντινουπόλεως τὸ πρῶτον κανὼν ζʹ. καὶ ὁ τῆς ἐν Νικαίᾳ τὸ δεύτερον κανὼν ὄγδοος. καὶ οἱ πολιτικοὶ δὲ νόμοι διαγορεύουσιν οὕτως· ὅτι ἐὰν Ἰουδαῖος διὰ τὸ φυγεῖν ἔγκλημα ἢ χρέος, θελήσῃ χριστιανῆσαι, οὐ δεῖ αὐτὸν προσδέχεσθαι, ἕως ἂν ἀνένοχος φανῇ, καὶ τὸ χρέος καταβάλλῃ. καὶ πάλιν θέλει τοὺς Ἕλληνας βαπτίζεσθαι, καὶ τὰ τέκνα αὐτῶν χωρὶς ἀναβολῆς μικρὰ ὄντα· τὰ δὲ τέλεια προδιδάσκεσθαι C κατὰ τὰς κανονικὰς γραφάς. καὶ πάλιν ἐπὶ διετίαν θέλει τοὺς τοιούτους Σαμαρείτας κατηχεῖσθαι· τοὺς δὲ μέλλοντας ἀπὸ αἱρέσεων ἐπιστρέφειν, δέκα ἡμέρας, ἢ δεκαπέντε νηστεύειν, καὶ σχολάζειν ταῖς εὐχαῖς πρωῒ καὶ ἑσπέρας, καὶ μανθάνειν ψαλμοὺς προστέτακται.

Καὶ ταῦτα μὲν οὗτοι διατάσσονται. ὁρῶμεν δὲ νῦν ἐν ταῖς μεγάλαις καὶ καθολικαῖς ἐκκλησίαις, ἤγουν ἐν τοῖς πατριαρχείοις καὶ τῶν μητροπόλεσι

καὶ τῆς λοιπαῖς, ὅτι τοὺς Ἀρμενίους A καὶ Ἰακωβίτας καὶ Νεστοριανοὺς καὶ τοὺς λοιποὺς Ἀκεφάλους, καὶ τοὺς ὁμοίους αὐτοῖς, ἐπιστρέφοντας εἰς τὴν ὀρθόδοξον πίστιν, * καταξιοῦσι, καὶ οὐ βαπτίζουσι· ποιοῦσι δὲ ἀναθεματίζειν τοὺς ἐξάρχους αὐτῶν. καὶ τοῦτο ἐτυπώθη ἄρτι, δι' αἰτίας εὐλόγους ἀναγκαίας.

Τινὲς δὲ τελείως βαπτίζουσι τοὺς Ἀρμενίους, τὴν ἀφορμὴν λαμβάνοντες οὐκ ἀπὸ τῶν μεγάλων ἐκκλησιῶν, ἀλλ' ἀπὸ τοῦ λόγου τοῦ μητροπολίτου B Νικαίας Ἰωάννου, ὃς γράφων πρὸς Ζαχαρίαν τὸν καθολικὸν τῆς μεγάλης Ἀρμενίας, οὕτως περὶ αὐτῶν φησίν· ὅτι οὐδὲ * χειροτονίας ἔχουσιν, ἀλλ' ἀλλότριοί εἰσι πάσης * χειροτονίας· δῆλον δὲ ἐντεῦθεν· ὁ γὰρ ἅγιος Γρηγόριος ἐπίσκοπος Ἀρμενίας, καὶ Λεόντιος ὁ μακαριώτατος ἀρχιεπίσκοπος Καισαρείας Καππαδοκίας, ὁ τὸν ἅγιον Γρηγόριον χειροτονήσας ἐπίσκοπον, διαθήκην ἀσφαλείας ἀναμέσον αὐτῶν ποιησάμενος, διωρίσατο τὸν τῆς C Ἀρμενίας κατὰ καιρὸν ἐπίσκοπον τῆς χειροτονίαν λαμβάνειν ὑπὸ τῆς ἐκκλησίας καὶ τοῦ ἀρχιερέως Καισαρέων, ἐξ ἧς καὶ αὐτὸς ὁ ἅγιος Γρηγόριος ἐν ἀρχῇ τὴν ἱερωσύνην ἐδέξατο· καθὼς καὶ ἐν τῷ βιβλίῳ τοῦ * οἴκου καὶ * μαρτυρίῳ τοῦ ἁγίου Γρηγορίου περὶ τούτων πάντων ἀκριβῶς διαγορεύει. οὗτοι δὲ εἰς μυρίας αἱρέσεις περιπεσόντες, καὶ ἐκ τῆς καθολικῆς ἐκκλησίας ἀλλοτριωθέντες, καὶ ἐκ τῆς Καισαρέων ἐκκλησίας

cæterisque, quòd Armenios, Jacobitas, Nestorianos, reliquos Acephalos, eisque similes, quando convertuntur ad orthodoxam fidem, inungunt, & non baptizant; sed efficiunt ut ipsorum duces auctoresque anathematizent. Atque hoc modò definitum est propter justas necessariasque caussas.

VII. At nonnulli omnino baptizant Armenios, occasione acceptâ, non à magnis Ecclesiis, sed ex libro Johannis Metropolitæ Nicæni, qui scribens ad Zachariam magnæ Armeniæ Catholicum, ita de illis loquitur; *Quòd neque ordinationes habeant, sed ab omni alieni sint ordinatione: id verò hinc liquet. Nam sanctus Gregorius Armeniæ Episcopus, & Leontius beatissimus Archiepiscopus Cæsareæ Cappadociæ, qui sanctum Gregorium ordinavit Episcopum, pactum securitatis inter se inierunt, ac definierunt, ut Armeniæ pro tempore Episcopus ordinationem acciperet ab Ecclesia & Pontifice Cæsariensium, ex qua ipse sanctus Gregorius quoque à principio suscepisset sacerdotium: quemadmodum etiam in libro de vita & martyrio sancti Gregorii accuratè hæc omnia edisseruntur. Illi verò in Hæreses innumeras prolapsi, & ab Ecclesia Catholica alienati, neque ex Ecclesia Cæsariensi*

* Deest μέσον
* Ed. χειροτονίαν
* Ed. ἱερωσύνης
* Ed. βίου
* Ed. μαρτυρίου

sumentes ordinationem; nonne A *omnino consecrationis & ordinationis expertes sunt; quique per ipsos baptizantur, prorsus Ethnici, & baptismo destituti?*

VIII. Equidem qui Armenios baptizant, hinc sumunt testimonium, aliaque similia proferunt. Qui autem divino unguento donant, Synodorum sequuntur documenta. Nos verò consideratis his omnibus, debemus obsequi consuetudini quæ nunc in Metro- B polibus ac Patriarchatibus viget.

χειροτονίαν μὴ λαμβάνοντες, πῶς οὐκ εἰσὶ παντελῶς ἀνίεροι καὶ ἀχειροτόνητοι· καὶ οἱ ἐξ αὐτῶν βαπτιζόμενοι, παντελῶς ἐθνικοὶ καὶ ἀβάπτιστοι;

Καὶ οἱ μὲν τοὺς Ἀρμενίους βαπτίζοντες, ἐντεῦθεν τὴν μαρτυρίαν λαμβάνουσι, καὶ ἑτέρας ὁμοίας εἰσφέρουσιν. οἱ δὲ τοῦ θείου μύρου καταξιοῦντες, ταῖς τῶν συνόδων μαρτυρίαις ἀκολουθοῦσιν. ἡμεῖς δὲ ταῦτα πάντα διασκεψάμενοι, ὀφείλομεν τῷ ἔθει κατακολουθεῖν τῷ νῦν κρατοῦντι ἐν ταῖς μητροπόλεσι καὶ τοῖς πατριαρχείοις.



ΑΝΑΣΤΑΣΙΟΥ ΤΟΥ Σιναΐτου πατριάρχου Θεουπόλεως μεγάλης Ἀντιοχείας, περὶ τῶν ἁγίων τριῶν τεσσαρακοστῶν, πόθεν παρελάβομεν φυλάττειν αὐτὰς, καὶ ὅτι οἱ ταύτας παραβαίνοντες παρανομοῦσιν. A

Ἔδει μὲν ἡμᾶς ἐξακολουθοῦντας ταῖς ἀποστολικαῖς παραδόσεσι καὶ διατάξεσι, καὶ ταῖς τῶν ἁγίων πατέρων ἡμῶν ἐγγράφοις νομοθεσίαις, μὴ δεῖσθαι ζητήσεις καὶ εὑρεσιλογίας B ἐφευρίσκειν κενὰς καὶ ματαίας, πρὸς ἀθέτησιν τῶν ὑπ' ἐκείνων ὁρισθέντων, ἀλλὰ προσέχειν ἀκριβῶς τοῖς ὑπ' αὐτῶν ὁρισθεῖσι, ἔν τε τοῖς ἑαυτῶν θείοις κανόσιν, ἔν τε τοῖς εὑρισκομένοις ἁγίοις τούτων συγγράμμασι, καὶ ταῖς ἐκ παραδόσεων τούτων ἁγίαις φωναῖς, καὶ ὡς θεοῦ φωνὰς ἡγεῖσθαι καὶ σέβειν αὐτάς. ἀλλ' ἐπειδὴ ὁ μισόκαλος καὶ ἀπατεὼν διάβολος, ὁ ἐξ ἀρχῆς τὴν τῷ πρωτοπλάστῳ δοθεῖσαν ἐν τῷ παραδείσῳ C τῆς νηστείας ἐντολὴν παραφθείρας, καὶ βρώσει τῇ τοῦ ξύλου τοῦτον ὑπαγαγὼν καὶ παραδοὺς τῷ θανάτῳ, οὐ παύεται μέχρι τῆς σήμερον διαβάλλων τὰ παρὰ τοῦ θεοῦ καὶ τῶν αὐτοῦ γινόμενα ἐπὶ σωτηρίᾳ τοῦ γένους ἡμῶν, θεῖα προστάγματα· ἄρτι δέ γε καὶ μάλιστα ὑπεισῆλθέ τινας τῶν ἡμετέρων οὐ μόνον λαϊκῶν ἢ ἀγνώστων

ANASTASII SINAITÆ Patriarchæ Theopoleos magnæ Antiochiæ, De sanctis tribus Quadragesimis, unde eas observare accepimus, quódque qui eas transgrediuntur legem violent.

Nos quidem oportuit Apostolicis traditionibus & constitutionibus, sanctorumque patrum nostrorum scriptis sanctionibus obsequentes, necessarium non habere quæstiones inanes & commenta sermonum vana excogitare, ad inficiationem eorum quæ ab illis decreta sunt; sed potiùs attendere diligenter iis quæ definierunt, tum in suis divinis Canonibus, tum in sanctis suis libris qui exstant, & sanctis suis vocibus traditione acceptis, easque ut Dei voces putare ac venerari. Verùm quia boni osor fraudulentusque Diabolus, qui principiò in paradiso datum primo hominum creato mandatum jejunii labefactavit, eumque esu illius ligni dejecit ac morti tradidit, non cessat hucusque calumniari divina præcepta quæ à Deo Deique viris propter salutem generis nostri tradita sunt: modò verò præcipuè irrepsit in quosdam nostrûm, non tantùm Laicos, aut ignotos

A & illiteratos, sed jam ipsos quoque qui de doctrina gloriantur, & de maxima sapientia supercilium attollunt, Episcopos, inquam, Metropolitas, Sacerdotes, Diaconos, cæterosque Clericos, necnon ipsos forsan utique Monachos quorum Deus venter reputatus est, qui sic absque rubore & pudore docent, unicum esse jejunium, à sanctis Apostolis divinisque patribus traditum, illud quod vocatur magnum; jejunium autem Natalis Christi, quod etiam nonnulli nominant sancti Philippi, ob caussam quàm inferiùs proferemus; atque jejunium quod præcedit festum & commemorationem sanctorum principum Apostolorum Petri & Pauli, non ortum habere ex Apostolica vel patrum constitutione, sed esse Monachorum quorumdam inventa & placita, qui duo hæc dicta jejunia peragunt: quocirca ex illis hominibus ordinationis Dei adversariis nonnulli diebus octodecim abstinent dumtaxat carne & caseo & ovis; quidam verò carne sola, qui reliqua comedunt, excepto uno die; alii autem pari modo abstinent diebus duodecim tantùm, alii sex, alii quatuor: & non modò se solos volunt esse deceptos, sed multitudinem quoque popularem simul post se trahunt; ut non solùm ipsorum sit peccatum; qui sanè

Philipp. III. 19.

καὶ ἀγραμμάτων, ἀλλ' ἤδη καὶ αὐτῶν τῶν ἐπὶ λόγῳ σεμνυνομένων, καὶ ἐπὶ μεγίστῃ σοφίᾳ τὴν ὀφρὺν αἰρόντων, ἐπισκόπων φημὶ, μητροπολιτῶν, καὶ ἱερέων, καὶ διακόνων, καὶ λοιπῶν κληρικῶν, καὶ αὐτῶν δήπου ἴσως τῶν μοναχῶν ὧν θεὸς ἡ κοιλία λελόγισται, οἳ καὶ ἀπηρυθριασμένως οὑτωσὶ καὶ ἀναιδῶς διδάσκουσι μόνην εἶναι νηστείαν, ἔκ τε τῶν ἁγίων ἀποστόλων καὶ τῶν θείων πατέρων παραδεδομένην τὴν λεγομένην μεγάλην, B τὴν δέ γε τῶν Χριστοῦ γενῶν, ἣν καὶ τοῦ ἁγίου Φιλίππου τινὲς ὀνομάζουσι, δι' αἰτίαν ἣν παρακατιόντες εἴπομεν, καὶ τὴν περὶ τῆς μνήμης τῶν ἁγίων κορυφαίων ἀποστόλων Πέτρου καὶ Παύλου, μὴ εἶναι, μήτε ἐξ ἀποστολικῆς καὶ πατρικῆς διαταγῆς, ἀλλά τινων εὑρέματα μοναχῶν καὶ θελήματα, τῶν ταύτας τὰς ῥηθείσας δύο νηστευόντων νηστείας· διὸ καὶ οἱ μὲν αὐτῶν τῶν τῇ διαταγῇ τοῦ θεοῦ C ἀνθισταμένων, ὀκτωκαίδεκα ἡμέρας ἀπέχονται κρέατος μόνου καὶ τυροῦ καὶ ᾠοῦ, ἔνιοι δὲ αὐτῶν κρέατος μόνου, τὰ δὲ λοιπὰ ἐσθίουσιν ἐκτὸς ἡμέρας μιᾶς· ἄλλοι δὲ μόνας ἡμέρας δώδεκα ἀπέχονται ὁμοίως, ἕτεροί γε ἕξ, καὶ ἄλλοι τέσσαρας· καὶ οὐ μόνον ἑαυτοὺς θέλουσιν εἶναι μόνους πεπλανημένους, ἀλλὰ προσαποσύρονται καὶ πλήθη ἰδιωτικὰ, ἵνα μὴ μόνον ᾖ τούτων τὸ ἁμάρτημα· πλείονα δὲ πάντως καὶ τῶν

A τιμωρίαν ὑφέξουσιν, ὡς πολλοὺς σκανδαλίζοντες καὶ τῆς εὐθείας ἀπάγοντες. εἰ γὰρ ὁ ἕνα ἄξιον ἐξ ἀναξίου, στόμα λογίζεται τοῦ εἰπόντος, πόσῳ μᾶλλον καταδίκης ἔσται ἄξιος, ὁ πλήθη πολλὰ ἀπατῶν διὰ τῆς αὐτοῦ γαστριμαργίας καὶ φιληδονίας; ἡμεῖς οὖν ὅσαπερ εὕρομεν συντείνοντα καὶ διοριζόμενα περὶ τῶν ῥηθεισῶν νηστειῶν ἀποστολικά τε καὶ πατρικὰ διατάγματα, ἐν τῇδε τῇ βίβλῳ ἐνετάξαμεν, εἰς φίμωτρον τῶν ταύτας B οὕτως ἀναιδῶς ἀθετούντων καὶ καταψευδομένων, ἐξ οἰήσεως καὶ ὑπερηφανίας καὶ τῆς ἐν αὐτοῖς οἰκούσης φιληδονίας καὶ γαστριμαργίας, καὶ οὐδὲ τὴν τοῦ κυρίου τρεμόντων ἀπόφασιν, τὴν λέγουσαν· ὅστις σκανδαλίσει ἕνα τῶν μικρῶν τούτων, συμφέρει αὐτῷ μύλον ὀνικὸν, καὶ τὰ ἑξῆς πάντες οἴδασιν. ὅταν γὰρ ἰδιώτης καὶ ἄγροικος θεάσηταί σε τὸν ἔχοντα γνῶσιν ἐσθίοντα ἀναιδῶς ἐν τῇ νηστείᾳ, πάντως σκανδα- C λισθήσεται καὶ τὰ χείρονα ποιήσει. λοιπὸν ἀκουσάτωσαν τῶν προειρημένων ἀποστολικῶν τε καὶ πατρικῶν παραδόσεων, περὶ τῶν ῥηθεισῶν νηστειῶν. Καὶ εἶπε κύριος πρὸς Μωϋσῆν· λάλησον τοῖς υἱοῖς Ἰσραὴλ, λέγων· τρεῖς καιροὺς τοῦ ἐνιαυτοῦ φυλάξατέ μοι, τὴν ἑορτὴν τῶν ἀζύμων ἐν τῷ πρώτῳ μηνί· ἀπὸ δὲ τῆς τεσσαρεσκαιδεκάτης ἡμέρας, ἑπτὰ ἡμέρας ἔδεσθε ἄζυμα ἐπὶ

graviores pœnas dabunt, quòd multos ſcandalizaverint, atque à recta via abduxerint. Nam ſi ille qui unum dignum ab indigno educit, os reputatur Dei *Ier.* XV. 19. qui hoc dixit; quanto magis condemnatione dignus erit is qui per ſuam ingluviem & intemperantiam decipit ingentem hominum multitudinem? Nos igitur *ideo* quæcumque reperimus Apoſtolorum patrumque conſtituta huc ſpectantia, & de prædictis jejuniis definientia, hoc in libro collocavimus, ad præcludendum os eorum qui adeò impudenter per elationem & ſuperbiam, inſitumque amorem voluptatis & ventris aviditatem, ea inficiantur ac mendaciter traducunt, nec Domini ſententiam metuunt, his verbis conceptam; *Quicumque ſcandalizaverit unum de puſillis iſtis, expedit ei ut mola aſinaria*, & quæ ſequuntur omnes norunt. *Matt.* XVIII. 6. Cùm enim imperitus & ruſticus viderit te, qui ſcientia præditus es, manducare impudenter jejunii tempore, omnino patietur ſcandalum, atque pejora perpetrabit. De reliquo audiant memoratas Apoſtolorum & patrum traditiones circa dicta jejunia. Et dixit Dominus ad Moyſem; Loquere filiis Iſrael, dicens; Tria tempora anni ſervate mihi; feſtum azymorum primo menſe; à decimaquarta autem die, ſeptem dies comedetis azyma ſuper *Ex.* XIII. XXXIV. *Lev.* XXIII. *Num.* IX. *Deut.* XVI.

A pricrides panem afflictionis; in eo enim exiistis ex Ægypto. Et numerabitis vobis, à septem septimanis. Septem integri dies. Et vocabitis eam vocatam sanctam diem. Et decimamquintam septimi mensis mediante anno. Dies propitiationis. Et sollemnitas scænopegiæ. Vocata sancta erit vobis. Humiliate animas vestras. Omnis autem anima, quæcumque non humiliabitur, exterminabitur de populo suo.
B Septem diebus afferetis holocaustomata, in tabernaculis habitantes, ut sciant progenies vestræ, quòd in tabernaculis habitare feci filios Israel, cùm educerem de Ægypto. Ego sum Dominus Deus vester.

Chrysostomi.

Atque inde, ut videtur, etiam à nobis servantur tria jejunia, quæ præfigurabant festa illa, additamentum ternarii
C *gradus nequaquam admittentia.* Et Canon sanctorum Apostolorum ait; *Si quis Lector, aut Diaconus, aut Subdiaconus, aut Presbyter, aut Episcopus, aut omnino ex Catalogo sacratorum, sanctam Quadragesimam non jejunaverit, vel quartam feriam, vel Parasceven, deponatur; præterquam si per infirmitatem impediatur.* Porrò de quadragesima Nativitatis Christi, scriptum est in Periodo seu circuitu & Itinerario sancti Philippi,

Can. 69.

πικρίδων ἄρτον κακώσεως· ἐν γὰρ τούτῳ ἐξήλθετε ἐξ Αἰγύπτου. καὶ ἀριθμήσετε ὑμῖν, ἀπὸ τῶν ἑπτὰ ἑβδομάδων ἑπτὰ ὁλοκλήρους ἡμέρας. καὶ καλέσατε αὐτὴν ἁγίαν ἡμέραν. καὶ τὴν ιε'. τοῦ ζ'. μηνὸς μεσοῦντος τοῦ ἐνιαυτοῦ. ἡμέρα ἐξιλασμοῦ. καὶ ἑορτὴ σκηνοπηγίας. κλητὴ ἁγία ἔσται ὑμῖν. ταπεινώσατε τὰς ψυχὰς ὑμῶν. πᾶσα δὲ ψυχὴ ἥτις μὴ ταπεινωθήσεται, ἐξολοθρευθήσεται ἐκ τοῦ λαοῦ αὐτοῦ. ἡμέρας ζ'. προσάξατε ὁλοκαυτώματα, ἐν σκηναῖς κατοικοῦντες, ὅπως ἴδωσιν αἱ γενεαὶ ὑμῶν, ὅτι ἐν σκηναῖς κατῴκησα τοὺς υἱοὺς Ἰσραὴλ, ἐν τῷ ἐξαγαγεῖν με ἐξ Αἰγύπτου. ἐγώ εἰμι κύριος ὁ θεὸς ὑμῶν.

Τοῦ Χρυσοστόμου.

Κἀντεῦθεν ὡς ἔοικε καὶ παρ' ὑμῖν φυλάσσονται τρεῖς νηστεῖαι, ἃς προετύπουν αἱ ἑορταὶ ἐκεῖναι, προσθήκην τοῦ τελαδικοῦ βαθμοῦ οὐδαμῶς ἐπιδεχόμεναι. Καὶ ὁ κανὼν τῶν ἁγίων ἀποστόλων φησίν· Εἴ τις ἀναγνώστης, ἢ διάκονος, ἢ ὑποδιάκονος, ἢ πρεσβύτερος, ἢ ἐπίσκοπος, ἢ ὅλως τοῦ καταλόγου τοῦ ἱερατικοῦ, τὴν ἁγίαν τεσσαρακοστὴν οὐ νηστεύει, ἢ τετράδα, ἢ παρασκευὴν, καθαιρείσθω, ἐκτὸς εἰ μὴ δι' ἀσθένειαν ἐμποδίζοιτο.

Περὶ δὲ τῆς τεσσαρακοστῆς τῆς τοῦ Χριστοῦ γεννήσεως, γέγραπται ἐν τῇ περιόδῳ τοῦ ἁγίου Φιλίππου,

ὅτι κηρύσσων τὸν λόγον τῆς ἀληθείας, A κατέλαβε διδάσκων καὶ τὴν τῆς Ἀσίας Ἱεράπολιν, σὺν τῷ Βαρθολομαίῳ, καὶ τῇ ἀδελφῇ αὐτοῦ Μαριάμνῃ· ἡ δὲ πόλις ἐσέβετο τὴν ἔχιδναν. καὶ συλλαβόμενοι τοὺς ἀποστόλους, μετὰ πολλὰς τὰς βασάνους, ἐπεὶ πάντη ἦσαν ἀπαράδεκτοι, μηδὲ ἀκοῦσαι ἀνεχόμενοι τοῦ θείου λόγου, χωρὶς τοῦ πρώτως ὑποδεξαμένου τοὺς ἀποστόλους· ἐκεῖνος γὰρ ἐβαπτίσθη καὶ πᾶσα ἡ οἰκία καὶ συγγένεια αὐτοῦ, καὶ ἡ γυνὴ τοῦ ἀνθυπάτου· τὸν μὲν Φίλιππον B ἐξαγαγόντες καὶ τρυπήσαντες τοὺς ἀστραγάλους, ἐσταύρωσαν κατὰ κεφαλῆς· τὸν δὲ Βαρθολομαῖον ἐπὶ ξύλου ἀνήρτησαν σύνεγγυς αὐτοῦ· τὴν δὲ Μαριάμνην κατεῖχον ἐν φυλακῇ. ἐλθόντος δὲ τοῦ ἁγίου Ἰωάννου ἐκεῖσε, εἶπε Φίλιππος πρὸς αὐτόν, ὡς ἂν αἰτήσωνται πῦρ ἐξ οὐρανοῦ κατενεχθῆναι καὶ καταναλῶσαι πάντας αὐτούς· ὅπερ ὁ ἀπόστολος Ἰωάννης διεκώλυσε γενέσθαι. μετὰ δὲ τὴν αὐτοῦ ὑποχώρησιν C καὶ τριῶν ἡμερῶν παραδρομήν, προσηύξατο ὁ ἅγιος Φίλιππος, καὶ ἤνοιξεν ἡ γῆ τὸ στόμα, καὶ πάντας τοὺς εἰδωλολάτρας ζῶντας εἰς ᾅδου κατήγαγε. καὶ μετὰ ταῦτα ἐφάνη αὐτῷ ὁ σωτήρ, ἀναμιμνήσκων αὐτὸν τῆς ἐντολῆς αὐτοῦ λεγούσης, μὴ ἀποδιδόναι κακὸν ἀντὶ κακοῦ, καὶ τῶν λοιπῶν· εἶτα καὶ προσθείς· ἐπεὶ παρήκουσας τῆς ἐντολῆς μου, καὶ ἐκάκωσας τοὺς λυποῦντάς σε, σὺ

quod dum prædicaret verbum veritatis, docendo pervenit ad Hierapolim Asiæ, unà cum Bartholomæo, & sorore sua Mariamne; urbs autem illa colebat viperam. Et cùm Apostolos comprehendissent, post multa tormenta, quia nequaquam recipiebant, nec verbum divinum vel audire sustinebant, excepto illo qui primùm Apostolos susceperat: ille enim baptizatus fuit, totaque ipsius domus & consanguinitas, necnon uxor proconsulis: Philippum quidem educentes, postquam talos ipsius perforavissent, crucifixerunt capite in terram verso; Bartholomæum autem in ligno prope eum suspenderunt; Mariamnen verò detinuerunt in carcere. Porrò cùm sanctus Johannes illuc advenisset, dixit ei Philippus, uti peterent ignem è cœlo demitti qui cunctos illos consumeret: id quod Apostolus Johannes fieri prohibuit. Post ipsius porrò discessum, tribus diebus interjectis, oravit sanctus Philippus, & terra aperuit os, cunctosque Idololatras vivos in infernum deduxit. Postea ipsi apparuit Servator, & in memoriam ei revocavit præceptum suum, quod ait, malum pro malo non Rom. xii. 17. esse reddendum; & reliqua 1. Thess. v. 15. similia; deinde etiam addidit; Quandoquidem mandatum 1. Pet. iii 9. meum violasti, & afflixisti eos qui te dolore affecerunt, tu

quidem hic obdormies, & cum A gloria auferreris à sanctis Angelis meis usque ad paradisum, non intrabis tamen, sed quadraginta diebus extra stabis, tristis, atque prohibitus à flammeo gladio, propterea quòd eos qui te injuria affecere vexasti; postea introibis, atque præparatum tibi locum recipies. Tum eos qui in infernum deducti fuerant reducens, ascendit in cœlos. Postea Philippus mandavit Bartholomæo B ac Mariamnæ, dicere Jacobo cæterisque Apostolis, ut pro eo jejunarent ac orarent per quadraginta dies. Atque ita Apostoli quadraginta dierum jejunium & preces cunctis fidelibus statuerunt. Idque servatum fuit à sanctis patribus, & septem Conciliis generalibus. Atque decretum fuit jejunium, non quinque, vel octo, aut decem dierum, sed quadraginta. Vocatur autem Natalis Christi jejunium, quia in fine dierum C quadraginta occurrit salutaris nativitas Domini nostri Jesu Christi. Duoque bona peraguntur. Nam exsequimur traditionem Apostolorum, simulque præpurgamur in occursum & adorationem Jesu Christi Domini nostri, qui ex sancta Deigenitrice semperque virgine absque macula & ineffabiliter natus est. Cæterùm quod subsequitur Pentecosten jejunium, ipsum est de quo agitur in Constitutionibus sanctorum

Gen. III. 24.

μὲν κοιμηθήσῃ ἐνταῦθα, καὶ ἀπενεχθήσῃ ἐν δόξῃ ὑπὸ τῶν ἁγίων μου ἀγγέλων ἄχρι καὶ τοῦ παραδείσου, οὐκ εἰσελεύσῃ δὲ, ἀλλὰ τεσσαράκοντα ἡμέρας ἔξω στήσῃ λυπούμενος καὶ κωλυόμενος ὑπὸ τῆς φλογίνης ῥομφαίας, ἀνθ' ὧν ἐλύπησας τοὺς ἀδικοῦντάς σε· εἶτα εἰσελεύσῃ, καὶ ἀπολήψῃ τὸν ἡτοιμασμένον σοι τόπον. ἀνενέγκων δὲ καὶ τοὺς κατενεχθέντας ἐν τῷ ᾅδῃ, ἀνῆλθεν εἰς οὐρανούς. B εἶτα διεστείλατο ὁ Φίλιππος τῷ Βαρθολομαίῳ καὶ τῇ Μαριάμνῃ, ὥστε εἰπεῖν Ἰακώβῳ καὶ τοῖς λοιποῖς ἀποστόλοις, νηστεῦσαι καὶ προσεύξασθαι περὶ αὐτοῦ, τεσσαράκοντα ἡμέρας. καὶ οὕτως οἱ ἀπόστολοι πᾶσι τοῖς πιστοῖς τεσσαράκοντα ἡμερῶν νηστείαν καὶ προσευχὴν διετάξαντο. καὶ ἐφυλάχθη παρὰ τῶν ἁγίων πατέρων, καὶ τῶν ζ'. οἰκουμενικῶν συνόδων. καὶ ἐνενομοθετήθη, οὐχὶ πέντε ἢ ὀκτὼ ἢ δέκα ἡμερῶν νηστεία, ἀλλὰ τεσσαC ράκοντα. τῶν Χριστοῦ γεννῶν δὲ λέγεται, ὅτι ἐν τῷ τέλει τῶν μ'. ἡμερῶν συνέφθασε καὶ ἡ σωτήριος γέννησις τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. καὶ γίνεται δύο τὰ καλά. πληροῦμεν γὰρ τὴν τῶν ἀποστόλων παράδοσιν, καὶ προκαθαιρόμεθα εἰς ὑπαντὴν καὶ προσκύνησιν τοῦ ἐκ τῆς ἁγίας θεοτόκου καὶ ἀειπαρθένου ἀρρυπάρως καὶ ἀρρήτως γεννηθέντος Ἰησοῦ Χριστοῦ τοῦ κυρίου ἡμῶν. Ἡ δὲ μετὰ τὴν πεντηκοστὴν νηστεία, αὕτη ἐστὶν ἡ ἐν ταῖς διατάξεσι τῶν ἁγίων

ἀποστόλων ῥηθεῖσαι. φασὶ γὰρ ἐν ταύταις, ὅτι μετὰ τὴν πεντηκοστὴν ἑορτάσατε ἑβδομάδα μίαν, καὶ μετ' ἐκείνην νηστεύσατε. δίκαιον γὰρ εὐφρανθῆναι ἐπὶ τῇ τοῦ θεοῦ δωρεᾷ, καὶ μετὰ τὴν ἄνεσιν νηστεῦσαι. καὶ γὰρ καὶ Μωϋσῆς καὶ Ἡλίας ἐνήστευσαν ἡμέρας τεσσαράκοντα, καὶ Δανιὴλ ἑβδομάδας τρεῖς ἄρτον ἐπιθυμιῶν οὐκ ἔφαγε, καὶ κρέας καὶ οἶνος οὐκ εἰσῆλθεν εἰς τὸ στόμα αὐτοῦ. ἐνηστεύετο τοιγαροῦν ἡ τοιαύτη νηστεία, μέχρι τῆς κοιμήσεως τῆς θεοτόκου· ὑπὸ δὲ τῶν ἁγίων πατέρων δι' οἰκονομίαν ἐξεκόπη τὸ μέσον, διὰ τὸ * παρεμπίπτειν ταῖς ἐθνικαῖς νηστείαις, ἤγουν Ἀρμενίων, Ἰακωβιτῶν, Νεστοριανῶν, ἔτι δὲ πολλάκις καὶ Ἰσμαηλιτῶν· τὸ δὲ, ὡς ἔμοιγε καταφαίνεται, καὶ διὰ τὴν ὀλιγωρίαν καὶ τὸ ἀπρόθυμον τῶν ἀνθρώπων. ἐτυπώθη δὲ, ἄχρι τῆς ἑορτῆς τῶν ἁγίων ἀποστόλων νηστεύειν· εἶθ' οὕτως ἐπιλύειν· εἶτα ἀπ' ἀρχῆς Αὐγούστου νηστεύειν, ἄχρι τῆς κοιμήσεως τῆς θεοτόκου, καὶ πάλιν διαλύειν, καὶ τότε ἔχοντας παραίνεσιν ἐκ τῶν ἀποστολικῶν διατάξεων.

A Apostolorum. Aiunt quippe in illis; *Post Pentecosten, celebrate hebdomadam unam, & post illam jejunate. Æquum enim est, ut de munere Dei lætemini, ac post remissionem jejunetis. Siquidem Moyses & Elias jejunaverunt quadraginta diebus; & Daniel tribus hebdomadis panem desideriorum non comedit, & caro ac vinum non introierunt in os ejus.* Jejunabatur ergo hoc jejunium, usque ad dormitionem seu mortem B Deiparæ; verùm à sanctis patribus per œconomiam & dispensationem intercisum est; partim quia incurrebat in jejunia Ethnica, seu Armeniorum, Jacobitarum, Nestorianorum, adhucque sæpe etiam Ismaelitarum; partim meâ quidem sententiâ, propter hominum negligentiam animique relaxationem. Sancitum autem fuit, usque ad festum sanctorum Apostolorum jejunare; sicque C postea solvere jejunium; dein ab initio Augusti jejunare, usque ad obitum Deiparæ; iterumque solvere jejunium, etiam tunc juxta admonitionem Constitutionum Apostolicarum.

Lib. 5. cap. ult.

* συμ



ANASTASII Episcopi Cæsareæ Palæstinæ, De jejunio gloriosissimæ Deiparæ, quódque servandum sit ut legitimum.

QUoniam tua erga me postulatio, frater spiritualis, erat de jejunio gloriosissimæ Deigenitricis, ut ea de re scripto acciperes in benedictionem & munus; ego verò licèt indignus; attamen ut omnes Orthodoxi, ego quoque inutilis servus matris Dei, quemadmodum accepi, observare connitor; tum maximè quia in loco ubi habitamus, sanctæ meæ Deigenitricis Monasterii templum est ac vocatur. Oportet ergo illud jejunium diligentiùs custodire, non solùm nos, verùm etiam Christianos omnes, quemadmodum à divinis scripturis testimonia habemus. Quod enim caret testimonio, firmitate destituitur, & quod propria voluntate suscipitur, noxium est; quod autem ex scripturis & legibus habet testimonia, firmum simul atque utile exsistit. Cæterùm de legitimo hoc jejunio dictum est in opere quod Synodicum appellatur. Continet autem ille liber tres dumtaxat Synodos; quarum duæ de fide disserunt, tertia verò de nuptiarum

ΑΝΑΣΤΑΣΙΟΥ ἐπισκόπου Καισαρείας τῆς Παλαιστίνης, περὶ τῆς νηστείας τῆς ὑπερενδόξου θεοτόκου, καὶ ὅτι χρὴ ταύτην φυλάττειν ὡς ἔνθεσμον.

ΕΠειδὴ ἡ εἰς ἐμέ σου αἴτησις, πνευματικὲ ἀδελφέ, περὶ τῆς νηστείας τῆς ὑπερενδόξου θεοτόκου ἦν, ὅπως ἔχῃς ταύτην εἰς εὐλογίαν ἐγγράφως· ἐγὼ δὲ εἰ καὶ ἀνάξιος, πλὴν ὡς πάντες οἱ ὀρθόδοξοι, οὕτω κἀγὼ ἀχρεῖος δοῦλος ὑπάρχων τῆς θεομήτορος, καθὼς παρέλαβον φυλάττειν ἐπείγομαι· καὶ μάλιστα ὅτι καὶ ἐν ᾧ παροικοῦμεν τόπῳ, τῆς ἁγίας μου θεοτόκου μονῆς ναός ἐστι καὶ ὀνομάζεται. δεῖ οὖν ἀκριβέστερον ταύτην φυλάττειν, οὐ μόνον ἡμᾶς, ἀλλὰ καὶ πάντας τοὺς Χριστιανούς, καθὼς καὶ ἀπὸ τῶν θείων γραφῶν ἔχομεν τὰς μαρτυρίας. τὸ γὰρ ἀμάρτυρον, ἀβέβαιον, καὶ τὸ οἰκειοθελές, ἐπιβλαβὲς τυγχάνει· τὸ δὲ γραφικὰς καὶ ἐνθέσμους ἔχον τὰς μαρτυρίας, βέβαιον ὁμοῦ καὶ ἐπωφελὲς καθέστηκε. περὶ δὲ τῆς ἐνθέσμου ταύτης νηστείας, εἴρηται εἰς τὸ λεγόμενον συνοδικὸν βιβλίον. τρεῖς δὲ καὶ μόνας συνόδους ἔχει τὸ τοιοῦτον βιβλίον· καὶ αἱ μὲν δύο τούτων περὶ πίστεως διαλέγονται, ἡ δὲ ἑτέρα περὶ γάμων διαφορᾶς,

διαφορᾶς, ἐξ οὗ καὶ τῆς ἑνώσεως λέγεται. ἕτερον δέ ἐστι τὸ τοιοῦτον συνοδικὸν παρὰ τὸ λεγόμενον νομοκάνονον· ὡς τοῦ μὲν, πάσας ὁμοῦ τὰς ἁγίας συνόδους καὶ σὺν θείοις κανόνας καὶ σὺν πολιτικοὺς νόμους κατέχοντος· τοῦ δὲ, μόνας τὰς τρεῖς συνόδους, καθὼς προείπομεν. ἐκεῖ τοιγαροῦν ἐν τῇ τῆς ἑνώσεως συνόδῳ, μετὰ τὸ εἰπεῖν καὶ ἀποφήνασθαι περὶ τοῦ ἐπιτιμίου τῶν τριγάμων, τόν τε ὅρον καὶ χρόνον τῆς τούτων ἀκοινωνησίας, ἐπάγει λέγων, ὅτι τρεῖς μόνους καιροὺς ἀπολαύσονται τῆς τῶν θείων μυστηρίων μεταλήψεως· ἅπαξ μὲν, ἐν τῇ σωτηρίῳ ἀναστάσει τοῦ Χριστοῦ καὶ θεοῦ ἡμῶν· δεύτερον δὲ, ἐν τοῖς Χριστουγέννοις· καὶ τρίτον, ἐν τῇ κοιμήσει τῆς ὑπερενδόξου θεοτόκου· διὰ τὸ προηγεῖσθαι, φησὶν, ἐν ταύταις νηστείαν, καὶ τὸ ἐκ ταύτης ὄφελος. ἰδοὺ ὧδε ὡς ἀναγκαιοτέραν προτιμᾷ ταύτην, παρὰ τὴν τῶν ἁγίων ἀποστόλων νηστείαν. καὶ πάλιν εἰς λόγον Ἰωάννου μητροπολίτου Νικαίας γραφέντα στηλιτευτικῶς πρὸς τὸν καθολικὸν τῆς μεγάλης Ἀρμενίας κατὰ τῆς τοῦ Ἀρτζιβουρίου νηστείας, ἀνατρέπων ταύτην ὡς παράνομον· ἐν οἷς φησιν, ὅτι μήτε τῶν ἁγίων ἀποστόλων γραψάντων τὴν τοιαύτην νηστείαν, μήτε τῆς ἐν Νικαίᾳ συνόδου, μήτε ἄλλου τινὸς τῶν πατέρων, παρεκτὸς τετράδος καὶ παρασκευῆς καὶ τῆς μεγάλης τεσσαρακοστῆς, καὶ τῆς ἑβδομάδος τοῦ πάθους τοῦ κυρίου, καὶ

A differentia & dissidio, undè & Unionis nuncupatur. Aliud porrò est hujusmodi Synodicum ab eo quod dicitur Nomocanonum; quòd scilicet hoc quidem omnes simul sanctas Synodos & divinos Canones, legesque civiles complectatur; illud autem, ut jam diximus, tres solas Synodos. Illic igitur in Synodo Unionis, postquam dixit ac pronunciavit de pœna irroganda trigamis, modo & tempore excommunicationis B eorum, subjungit hac verba; *Tribus solùm temporibus fruentur participatione divinorum mysteriorum; semel, in salutari Christi Deique nostri resurrectione; secundò, in Natali Christi; tertiò, in obdormitione gloriosissima Deigenitricis: quia*, inquit, *in his jejunium pracedit, & emolumentum ex eo proveniens.* Ecce hìc velut magis necessarium præfert istud jejunio sanctorum Apostolorum. Et adhuc in Invectiva C quam Johannes Metropolita Nicææ scripsit ad Catholicum magnæ Armeniæ contra jejunium Artziburii, quod tamquam illegitimum evertit: ubi ait; *Cùm nec sancti Apostoli hoc jejunium scripto consignarint, neque Nicæna Synodus, neque alius quispiam ex patribus, sed tantummodo tetradem & parasceven, sive quartam & sextam feriam, & magnam Quadragesimam, & hebdomadem passionis Dominica, atque*

jejunium Natalis Christi, necnon jejunium sanctorum Apostolorum, itemque gloriosissimæ Deiparæ, quis docuit vos jejunare ac peragere Gentium jejunium? Vides quo modo etiam hic ad verbum & accuratè reliquis rectè de fide sentientium jejuniis connumeret jejunium gloriosæ admodum Deiparæ? Ego verò alia quoque de eodem nactus sum testimonia; sed hæc arbitror sufficere, sicut scriptum est; *In ore duorum aut trium testium stabit omne verbum.* Quod autem post superiùs scripta testimonia, multi hoc jejunium ex traditione sanctorum & veterum patrum piorumque teneant, nobis liquet tum ex memoratis, tum præterea ex alio quodam patre, qui adversariorum falsa periculosaque jejunia fortiter evertit. Attamen nos quoque hoc loco dicimus, nomen matris Dei hìc in ejus jejunio professum, non obumbratè & obscurè, sed clarè ac apertè nominari gloriosæ supra modum virginis. Neque enim jejunium hoc profertur nomine alicujus ex iis qui à Græcis seu Gentilibus fabulosè excogitati sunt atque honorati, nec etiam ex iis quarumdam hæresum, sicut jejunium Artziburii, aliorumque pariter mendacium; sed nec simpliciter sanctæ Mariæ dicitur, uti sentiunt aiuntque Hæreticorum filii seu Hæretici; neque aliter juxta ullum artificium aut

* *Al.* ταύτας

Deut. XIX. 15. Matt. XVIII. 16. II. Cor. XIII. 1.

A τῆς τῶν Χριστουγέννων νηστείας, καὶ τῆς τῶν ἁγίων ἀποστόλων, καὶ τῆς ὑπερενδόξου θεοτόκου, τίς ὁ διδάξας ὑμᾶς νηστείαν νηστεύειν ἐθνῶν; ὁρᾷς πῶς καὶ ὧδε ῥητῶς καὶ ἠκριβωμένως συναριθμεῖ τῇ τῆς ὑπερενδόξου θεοτόκου νηστείᾳ, ταῖς λοιπαῖς τῶν ὀρθοδόξων νηστείαις; ἐγὼ δὲ καὶ ἄλλαις περὶ ταύτης ἐνέτυχον μαρτυρίαις· ἀλλ' ἀρκεῖν ἥγημαι * ταύτας, ὡς γέγραπται, ὅτι ἐπὶ στόματος δύο ἢ τριῶν μαρτύρων, πᾶν ῥῆμα σταθήσεται. B ὅτι δὲ μετὰ τὰς προγραφείσας μαρτυρίας πολλοὶ ταύτην κρατοῦσι καὶ ἐκ παραδόσεως ἁγίων καὶ ἀρχαίων πατέρων καὶ εὐσεβῶν, δῆλον ἡμῖν ἔκ τε τῶν εἰρημένων, καὶ πάλιν ἑτέρου τινὸς τῶν πατέρων ἰσχυρῶς ἀνατρέποντος τὰς τῶν ἐναντίων ψευδεῖς καὶ ἐπικινδύνους νηστείας. ὅμως οὖν λέγομεν καὶ ἡμεῖς ὧδε, ὅτι ἐνταῦθα τὸ ὄνομα τῆς θεομήτορος ἐν τῇ ταύτης νηστείᾳ ὁμολογούμενον, οὐ συνεσκιασμένως, ἀλλὰ τρανῶς καὶ φανερῶς, C τῆς ὑπερενδόξου θεοτόκου λέγεται. οὐδὲ γὰρ εἰς ὄνομά τινος τῶν παρ' Ἕλλησι μυθευομένων παρ' αὐτῶν καὶ τιμωμένων λέγεται ἡ τοιαύτη νηστεία, οὔτε πάλιν τῶν τινῶν αἱρέσεων, ὥσπερ ἡ τοῦ Ἀρτζιβουρίου, καὶ ἄλλων τοιούτων ψευδῶν. ἀλλ' οὐδὲ ψιλῶς τῆς ἁγίας Μαρίας λέγεται, καθὼς οἱ τῶν αἱρετικῶν παῖδες φρονοῦσι καὶ λέγουσιν· οὔτε ἄλλως καὶ ἄλλως καθ' οἱονδήποτε ἐπιτήδευμα καὶ

συνεσκιασμένως, καθάπερ οἱ τὰ τοιαῦτα ποιοῦσι πρὸς ἀπάτην καὶ ἀπώλειαν τῶν ἁπλουστέρων· ἀλλὰ φανερῶς, ὡς εἴρηται, εἰς ὄνομα τῆς θεοτόκου λέγεται καὶ τελεῖται ἡ τοιαύτη νηστεία· ὥσπερ οὖν καὶ αἱ λοιπαί, εἰς ὄνομα τοῦ υἱοῦ καὶ θεοῦ αὐτῆς ὀνομάζονται· σκοπὸν ἐχούσης τῆς ἐκκλησίας τοῦ προαγνίζεσθαι τοὺς Χριστιανούς, εἰς τὴν ἀπαντὴν τῶν ἑορτῶν τοῦ κυρίου καὶ τῆς μητρὸς αὐτοῦ· ἐκ θλίψεως εἰς χαρὰν μεταβαίνοντας, καὶ εὐφροσύνην πνευματικὴν· εὐσεβῶς ἀναθεωροῦντας τὰ ἐν ταῖς τοιαύταις ἑορταῖς, ἐπὶ σωτηρίᾳ ἡμῶν παρὰ τοῦ σωτῆρος Χριστοῦ πεπραγμένα οἰκονομικῶς ἅμα καὶ φιλανθρώπως. ἑορτάσαι γάρ ἐστιν, ὡς τῷ τῆς θεολογίας προὔχοντι, ἡμῖν τε καὶ τῇ ἀληθείᾳ δοκεῖ, τὸ γνῶναι τοῦ μυστηρίου τὴν δύναμιν. οἱ δὲ μὴ οὕτω διακείμενοι, λελήθασιν ἑαυτοὺς Ἰουδαϊκῶς ἑορτάζοντες. εἰ δέ τις ζητοίη, ποῦ καὶ πότε καὶ παρὰ τίνος ἡ τῆς ἑνώσεως γέγονε σύνοδος, ἀκουέτω παρ' ἡμῶν, ὅτι οὐκ ἐν γωνίᾳ φημί, οὔτε εἰς τὴν τυχοῦσαν πόλιν καὶ παρὰ τοῦ τυχόντος, ἀλλ' ἐν τῇ βασιλευούσῃ τῶν πόλεων, τῇ Κωνσταντίνου φημί, καὶ παρὰ εὐσεβοῦς πατριάρχου, καὶ ἐπισκόπων, καὶ τοῦ λοιποῦ πληρώματος τῆς ἐκκλησίας, καὶ παρὰ εὐσεβῶν καὶ ὀρθοδόξων βασιλέων, Ῥωμανοῦ τε τοῦ γέροντος, καὶ Κωνσταντίνου, καὶ τῶν λοιπῶν εὐσεβῶν σοφῶν τε καὶ γνωστικῶν ἀνδρῶν. οὗτοι γὰρ ἅπαντες ἐν ἁγίῳ πνεύματι συναχθέντες, τὴν ἐκκλησίαν

A tenebricosè, quemadmodum ii similia faciunt ad deceptionem exitiumque simpliciorum; at manifestò, ut dictum est, in nomine Deiparæ effertur ac peragitur hujusmodi jejunium; quo nempe modo reliqua nomen Filii Deique ejusdem virginis gerunt: cùm Ecclesia sibi proponat, Christianos priùs purificari, ad occursum festorum Domini ejusque matris; ex afflictione ad gaudium & spiritualem lætitiam transeuntes; piè considerantes ea quæ in ejusmo-
B di sollemnitatibus à Servatore Christo propter salutem ex dispensatione simul ac benignitate peracta sunt. Est enim festum celebrare, ut illi qui in Theologia præcellit, (*Gregorio*,) & nobis, ac veritati placet, cognoscere vim mysterii. Porrò qui non ita affecti sunt, non advertunt se Judaicè festa peragere. Quòd si quis quæsierit, ubinam & quando, & à quo Synodus Unionis celebrata sit; audiat à nobis; Non in angu-
C lo, inquam, neque in civitate una è multis, neque à vili quodam, sed in regia urbe, hoc est Constantinopoli, & à religioso Patriarcha, & Episcopis, cæteroque Ecclesiæ cœtu, ac per pios orthodoxosque Imperatores, Romanum senem, & Constantinum, perque reliquos religiosos, sapientes, & cognitione præditos viros. Ii quippe omnes in Spiritu sancto congregati, Ecclesiam

ex caussa diversarum nuptiarum scissam, Dei gratiâ univerunt; quo factum est ut convenienter appellationem Unionis acceperit. Sancta ergo hæc Synodus, post finem totius constitutionis, velut confirmans & obsignans ea quæ à superioribus Synodis fuerant statuta, hujusmodi verba subjungit; Canon primus. *Universa quæ præter Ecclesiasticam traditionem, & doctrinam ac dispositionem sanctorum celebriumque patrum innovata gestaque sunt, vel in posterum gerentur, anathema.* Canon quartus. *Contemptui habentibus sacros divinosque Canones beatorum patrum nostrorum, qui & sanctam Ecclesiam fulciunt, totamque Rempublicam Christianam ornant, & ad divinam pietatem dirigunt, anathema.* Atque ita quidem scripta testimonia constituunt, legitimum esse immaculatæ prorsus Deiparæ jejunium. Non minori verò multùm apud me loco ea sunt quæ ex traditione per vivam vocem accepi. Namque Patriarcha Antiochiæ totiusque Orientis, beatæ memoriæ Domnus Petrus, ipse hæc observabat, tradebatque cæteris; simili quoque modo dominus Theodosius; prætereaque qui nunc Patriarchatum tenet sanctissimus dominus Johannes, hoc omnibus tradidit jejunium, scriptis usus testimoniis. Atque illi omnes, Coryphæi seu Apostolorum principis sedem

A ἐσχισμένην οὖσαν ἐξ αἰτίας τῶν διαφόρων γάμων, τῇ τοῦ θεοῦ χάριτι ἥνωσαν· ἐξ οὗ περ καὶ τὴν τῆς ἑνώσεως προσωνυμίαν εἴληφε πρεπόντως. ἡ τοιαύτη τοίνυν ἁγία σύνοδος, μετὰ τὸ τέλος πάσης διατάξεως, ἐπικυροῦσα ὥσπερ καὶ σφραγίζουσα τὰ διὰ τῶν πρώτων συνόδων διαταχθέντα, ἐπάγει λέγουσα Κανὼν πρῶτος. Ἅπαντα τὰ παρὰ τὴν ἐκκλησιαστικὴν παράδοσιν καὶ τὴν διδασκαλίαν καὶ ὑποτύπωσιν τῶν ἁγίων καὶ ἀοιδίμων πατέ- B ρων καινοτομηθέντα καὶ πραχθέντα, ἢ μετὰ τοῦτο πραχθησόμενα, ἀνάθεμα. Κανὼν τέταρτος. Τοῖς ἐν καταφρονήσει τιθεμένοις τοὺς ἱεροὺς καὶ θείους κανόνας τῶν μακαρίων πατέρων ἡμῶν, οἳ καὶ τὴν ἁγίαν ἐκκλησίαν ὑπερείδουσι, καὶ ὅλην τὴν Χριστιανικὴν πολιτείαν κοσμοῦσι, καὶ πρὸς θείαν ὁδηγοῦσιν εὐλάβειαν, ἀνάθεμα. Ἀλλ' οὕτω μὲν αἱ γραφικαὶ μαρτυρίαι συνιστῶσιν, ἔνθεσμον εἶναι τὴν τῆς παναχράντου θεοτόκου νηστείαν. εἰσὶ δέ μοι καὶ C κατὰ παράδοσιν διὰ ζώσης φωνῆς, οὐχ ἧττον τούτων κατὰ πολύ. ὁ γὰρ πατριάρχης Ἀντιοχείας καὶ πάσης ἀνατολῆς ὁ ἐν μακαρίᾳ τῇ λήξει κῦρις Πέτρος, αὐτὸς ταῦτα ἐφύλαττε, καὶ τοῖς λοιποῖς παρεδίδου· ὁμοίως δὲ ὁ κῦρις Θεοδόσιος· πρὸς δὲ καὶ ὁ νυνὶ πατριάρχης κῦρις Ἰωάννης καὶ ἁγιώτατος, πᾶσι παρέδωκε ταύτην, ἐγγράφως ἔχων τὰς μαρτυρίας. καὶ οὗτοι δὲ πάντες τὸν τοῦ κορυφαίου θρόνον ἐπέχοντες, οὐκ ἀφ' ἑαυτῶν

A ὁρμώμενοι, ταύτην ἐφύλαττον, ἀλλὰ τοῖς πρὸ αὐτῶν πᾶσιν ἑπόμενοι· οἷς καὶ ἡμεῖς οἱ εὐτελεῖς ἐπακολουθοῦντες, ἀπαρχὴν Αὐγούστου φυλάττομεν, ἤγουν μετὰ τὸ τελέσαι τὴν τῶν ἁγίων Μακκαβαίων ἑορτήν. εἰ δὲ καὶ συμβαίη νήσιμος ἡ ἡμέρα, τετρὰς ἢ παρασκευή, προλαμβάνοντες εἰς τρίτην καὶ εἰς τὴν πέμπτην ἢ εἰς τὴν προλαβοῦσαν κυριακὴν, ἀποτυρευέσθωσαν, καὶ τὸ λοιπὸν τῆς νηστείας κρατείτωσαν· καὶ μὴ ἡ τῶν Μακκαβαίων νηστείας οὔσης ἡμέρα, B πρόφασις γένοιτο ἡ ἑορτὴ αὐτῶν, ἐν τῷ καταλύειν τῆς νηστείας. καὶ μακάριοι καὶ εὐλογημένοι, οἱ τὴν εὐλογημένης θεοτόκου τὴν τεσσαρακοστὴν φυλάττοντες ἐν τῇ κοιμήσει αὐτῆς. τῷ δὲ θεῷ ἡμῶν, δόξα εἰς τοὺς αἰῶνας. ἀμήν.

A obtinentes, non à se exorsi illud servaverunt, sed cunctos prædecessores suos secuti: quibus nos etiam viles obsequendo, initium Augusti custodimus, sive postquam sanctorum Maccabæorum sollemnitatem peregerimus. Sin verò esurialis dies contigerit, quarta aut sexta feria, prævenientes die tertio vel quinto, aut præcedente Dominicâ, à lacticiniis abstineant, & deinceps jejunium teneant; neque Maccabæorum B dies, si in jejunium inciderit, prætextus fiat solvendi jejunium ob festum eorum. Atque beati & benedicti ii, qui Quadragesimam benedictæ Deiparæ in obitu ejus observaverint. Deo autem nostro sit gloria in sæcula. Amen.

Ἄλλως, περὶ τῆς αὐτῆς νηστείας.

Ἡ πρὸ τῆς κοιμήσεως τῆς ὑπεραγίας θεοτόκου νηστεία, παραδεδομένη ἐστὶν ἐξ ἁγίων πατέρων καὶ θείων πατριαρχῶν, καὶ ἐντίμως ταύτην φυ- C λάττουσι πᾶσαι αἱ πόλεις καὶ χῶραι τῶν ὀρθοδόξων, ἐξαιρέτως ἡ μεγαλόπολις καὶ εὐδαίμων Κωνσταντινούπολις, καὶ ἡ μεγάλη ἐκκλησία. πλὴν καὶ ὕστερον ἐπὶ τῶν ἡμερῶν τοῦ φιλοσόφου κυροῦ Λέοντος τοῦ βασιλέως, τῆς ἑορτῆς τῆς μεταμορφώσεως ἐφευρεθείσης, κατὰ ταύτας δὴ τὰς ἡμέρας, τῆς νηστείας φημὶ, παρ' ἐκείνου τυπωθείσης ἑορτάζεσθαι, ἐδράξαντο τῆς φιληδόνοι τινὲς ἀφορμῆς, ὡς δῆθεν τιμῶντες

Aliter De eodem jejunio.

Jejunium quod præcedit sanctissimæ Deiparæ dormitionem, à sanctis patribus divi- C nisque patriarchis traditum est, & honorificè illud servant cunctæ urbes ac regiones orthodoxorum, præsertim magna felixque civitas Constantinopolis, magnaque Ecclesia. Verùm postea ætate domini Leonis Philosophi & Imperatoris, adinvento festo transfigurationis, cùm ille constituisset ut id celebraretur, per hosce dies, jejunii inquam, occasionem ceperunt quidam voluptatis studiosi, & quasi honore

persequerentur sollemnitatem A Servatoris, eo die carne vescebantur. Quod sapientissimus Imperator lege lata prohibuit; unde integrum jejunium quindecim dierum à cunctis servatur, & jejunatur purè; qui etiam à sanctissima Deipara totius mundi protectrice magis magisque defenduntur.

Sancti Niconis.

Atque hæc quidem de jejunio sanctissimæ Deiparæ dicta sint. Porrò aliud quoque jeju- B nium agi videmus; de quo nihil scripto traditum invenire potuimus; tametsi illud penitus & ubique jejunent. Loquor autem de exaltatione venerandæ crucis. Et sicut superiùs de magnis sanctis dictum fuit, quòd quidam fideles ad festa eorum per purificationem se præparent, ita etiam de hoc festo aiunt, quosdam ex fidelibus antè purificari, ob preciosæ crucis salutationem ac venerationem; adhucque per C ipsum diem, propter eamdem salutationem, quódque eo die omnia quæ de Cruce sunt psalluntur & leguntur, tum Apostolus, tum Evangelium; uno verbo totum peragitur Crucis Officium; atque unum diem in Catholicis Ecclesiis celebrari, & rationi consentaneum esse jejunium. Cæterùm de jejunio secundi diei hebdomadis, & in Nomocanone Jejunatoris, & in Typo

* Al. ins. τινὰς

A τῆς τοῦ σωτῆρος ἑορτὴν, ἤσθιον τῇ αὐτῇ ἡμέρᾳ τὸ κρέας. ὃ καὶ ὁ σοφώτατος καταλύσας ἐνθέσμως, ὅλη ἡ νηστεία τῶν δεκαπέντε ἡμερῶν φυλάττεται παρὰ πᾶσι καὶ καθαρῶς νηστεύεται· οἳ καὶ παρὰ τῆς τοῦ κόσμου σκέπης καὶ ὑπεραγίας θεοτόκου μᾶλλον καὶ πλέον φυλάττονται.

Τοῦ ἁγίου Νίκωνος.

Καὶ ταῦτα μὲν περὶ τῆς νηστείας τῆς ὑπεραγίας θεοτόκου εἴρηται· ὁρῶμεν δὲ B καὶ ἑτέραν νηστείαν γινομένην· καὶ περὶ ταύτης οὐκ ἠδυνήθημεν πώποτε ἐγγράφως εὑρεῖν· πλὴν πάντη καὶ πανταχοῦ ταύτην νηστεύουσι. λέγω δὴ τὴν ὕψωσιν τοῦ τιμίου σταυροῦ. καὶ καθὼς ἄνωθεν προείρηται περὶ τῶν μεγάλων ἁγίων τῶν ἐκ πίστεως * εἰς τὰς ἑορτὰς αὐτῶν προαγνιζόντων, οὕτω καὶ περὶ ταύτης τῆς ἑορτῆς φασὶν, ὅτι τινὲς μὲν ἐκ πίστεως προαγνίζονται, διὰ τὸν ἀσπασμὸν τοῦ τιμίου σταυροῦ· καὶ πάλιν C αὐτὴν τὴν ἡμέραν, διὰ τὸν ἀσπασμὸν, καὶ ὅτι καὶ σταυρώσιμα πάντα ψάλλονται καὶ ἀναγινώσκονται ἐν τῇ ἡμέρᾳ ταύτῃ, ὅτε ἀπόστολος καὶ τὸ εὐαγγέλιον, καὶ ἁπλῶς ὅλη ἡ τάξις σταυρώσιμος γίνεται· καὶ ὅτι μία ἡμέρα ἐν ταῖς καθολικαῖς ἐκκλησίαις τελεῖται, καὶ εὔλογός ἐστιν ἡ νηστεία. Περὶ δὲ τὴν νηστείαν τῆς δευτέρας ἡμέρας τῆς ἑβδομάδος, ἔν τε τὸ νομοκάνονον τοῦ νηστευτοῦ καὶ εἰς τὸν τύπον τῶν

A Ἱεροσολύμων, ταύτην διαγορεύει· ὁμοίως καθὼς καὶ ὄπισθεν ὁ λόγος ἀπέδειξε τὴν τῆς ὑπερενδόξου κοιμήσεως τῆς θεοτόκου νηστείαν, εἰς τὸ συνοδικὸν ἐν τῷ ἐπιτιμίῳ τῶν τριγάμων ἀναφέρει ταύτην. Αὗται δὲ αἱ καθολικαὶ νηστεῖαι τῶν Χριστιανῶν, ἐκ τῶν θείων γραφῶν, δευτέρα, καὶ τετρὰς, καὶ παρασκευὴ ὅλου τοῦ ἐνιαυτοῦ, παρεκτὸς εὐλόγου αἰτίας, καὶ ἡ μεγάλη τεσσαρακοστὴ, καὶ ἡ ἑβδομὰς τοῦ πάθους τοῦ κυρίου, καὶ ἡ τῶν Χριστουγέννων * τεσσαρακοστὴ, B καὶ τῶν ἁγίων ἀποστόλων, καὶ ἡ τῆς ὑπερενδόξου θεοτόκου. τὴν δὲ τιμίου σταυροῦ, οὐκ ἀπὸ τῶν γραφῶν, ἀλλ' ἐκ κοινῆς παραδόσεως παρελάβομεν, καθὼς προεγράφη. καὶ αὕτη μὲν ἡ ἀκρίβεια περὶ τῶν νηστειῶν.

Hierosolymitano illud edicitur: parique modo, sicut antea sermo demonstravit, jejunium obdormitionis gloriosissimæ Deiparæ, in Synodico, ubi de pœna & pœnitentia tertiis nuptiis implicitorum, refertur. Sunt autem hæc universalia Christianorum jejunia ex divinis scriptis; secunda feria, tetras, parasceve, per totum annum, nisi obstet caussa æquo congruens, magna Quadragesima, hebdomas passionis Domini, Natalis Christi Quadragesima vel jejunium, sanctorum Apostolorum, necnon gloriosissimæ Deiparæ. At jejunium honorandæ crucis, non à scripturis, sed ex communi traditione accepimus, sicut suprà scriptum est. Atque ita habet exacta de jejuniis exploratio & observatio.

* Abest ab al.

Nicon In Pandecte Sermone 57. Cod. Reg. 2423. postquam meminit Synodici Unionis, & Antirrhetici Iohannis Nicæni, subdit.

C Ἠρευνήσαμεν δὲ περὶ τῆς τῆς θεοτόκου νηστείας. καὶ οἱ μὲν λέγουσιν, ἔνθεσμός ἐστι καὶ κανονική· ἕτεροι δὲ ὁμολογοῦσι μὲν αὐτὴν, λέγουσι δὲ μὴ φυλάττειν· ἄλλοι δὲ οὐδόλως αὐτὴν παραδέχονται, ἀλλὰ καὶ κατηγοροῦσι τῶν φυλαττόντων. καὶ οἱ μὲν δεχόμενοι καὶ φυλάττοντες ταύτην, ἔχουσι μαρτυρίας ἃς προειρήκαμεν.

INvestigavimus autem de jejunio Deiparæ. Et alii quidem dicunt legitimum esse & Canonicum; alii verò agnoscunt illud, at observari à se negant; alii denique nullatenus admittunt, sed etiam observatores illius accusant. Et ii quidem qui admittunt servantque, testimoniis utuntur suprà allatis;

qui autem non recipiunt, verùm incusant, sine testimonio id agunt: qui demum agnoscunt, nec observant, aiunt multa jejunia, non ex divinorum Canonum traditione, sed ex consuetudine quadam & successione in nonnullis regionibus observata reperiri; tum quosdam homines, non prava mente, sed fide ac amore in nonnullos magnos sanctos, præpurgari, quò purè ad festa eorum veniant; atque hujusmodi jejunia nequaquam esse universalia, esse ad uniuscujusque nutum ac voluntatem. Porrò de jejunio Deiparæ dicimus hæc. Festum transfigurationis, & festum occursûs non tradita fuere ab initio per sanctos Apostolos, verùm posterioribus temporibus. Unde jejunium Deiparæ solvimus, gaudentes in festivitate transfigurationis. Aiunt autem quòd magnorum Monasteriorum Typica, ut illa Hierosolymorum, per dies octo festum agere constituant, Studiticum verò quatuor; at Patriarchii Ecclesiæ Antiochenæ Typus, unum diem festum habet; ubi multi jejunium Deiparæ integrum servant. Cæterùm aliud quoque jejunium peragi cernimus; de quo nihil scriptum nancisci potuimus. Complures enim ante exaltationem venerandæ crucis purificant se, iterumque ipso die, propter Crucis salutationem, & quia tunc omnia

A οἱ δὲ μὴ δεχόμενοι ταύτην, ἀλλὰ καὶ κατηγοροῦντες, ἀμαρτύρως τοῦτο ποιοῦσι. οἱ δὲ ὁμολογοῦντες καὶ μὴ φυλάττοντες, φασὶν ὅτι πολλαὶ νηστεῖαι οὐκ ἐκ παραδόσεως θείων κανόνων, ἀλλ' ἐκ συνηθείας τινὸς καὶ διαδοχῆς εἰς τινὰς χώρας φυλάττεσθαι εὑρίσκονται, καί τινες οὐ κακῷ λογισμῷ, ἀλλὰ πίστει καὶ ἀγάπῃ τινῶν μεγάλων ἁγίων προαγνίζονται, ἵνα ἐν ταῖς ἑαυτῶν ἑορταῖς καθαρῶς ὑπαντήσωσι· καὶ αἱ τοιαῦται νηστεῖαι οὐκ εἰσὶ

B καθολικαὶ, ἀλλ' ὁ καθεὶς, ὡς προαιρῆται καὶ βούλεται. περὶ δὲ τῆς νηστείας τῆς θεοτόκου, τάδε φαμέν. ἡ ἑορτὴ τῆς μεταμορφώσεως καὶ τῆς ὑπαπαντῆς, οὐκ ἐξ ἀρχῆς παρεδόθησαν παρὰ τῶν ἁγίων ἀποστόλων, ἀλλ' ἐν ὑστέροις καιροῖς. διὸ καὶ καταλύομεν τὴν νηστείαν τῆς θεοτόκου χαίροντες ἐπὶ τῇ πανηγύρει τῆς μεταμορφώσεως. λέγουσι δὲ ὅτι τὰ τυπικὰ τῶν μεγάλων μοναστηρίων, ὥσπερ τὰ τῶν Ἱεροσολύμων, ὀκτὼ ἡμέρας ἑορ-

C τάζειν ὁρίζουσι· τὸ δὲ Στουδιτικὸν, τέσσαρας· ὁ δὲ τύπος τοῦ πατριαρχείου τῆς ἐκκλησίας Ἀντιοχέων, μίαν ἡμέραν ἑορτάζει· ἔνθα καὶ πολλοὶ ὁλοκλήρως τὴν νηστείαν τῆς θεοτόκου φυλάττουσιν. ὁρῶμεν δὲ καὶ ἑτέραν νηστείαν γινομένην· περὶ ἧς οὐκ ἠδυνήθημεν ἐγγράφως τι εὑρεῖν. πολλοὶ γὰρ πρὸ τῆς ὑψώσεως τοῦ τιμίου σταυροῦ προαγνίζονται, καὶ πάλιν κατ' αὐτὴν τὴν ἡμέραν, διὰ τὸν ἀσπασμὸν, καὶ ὅτι πάντα

τα

A τὰ σταυρώσιμα τηνικαῦτα ψάλλονται καὶ ἀναγινώσκονται. τὰ μέντοι τυπικὰ τὸ Στουδιτικὸν καὶ τὸ Ἱεροσολυμιτικὸν, δύο ἡμέρας ἑορτάζουσιν, ἤγουν αὐτήν τε τὴν ἑορτὴν, καὶ μεθέορτα. ἔστι τοίνυν ἡ νηστεία τοῦ τιμίου σταυροῦ, οὐκ ἀπό τινων γραφῶν παραδοθεῖσα, ἀλλ' ἐκ κοινῆς παραδόσεως. καὶ τὰ μὲν περὶ νηστειῶν, ὧδε τὸ πέρας ἐχέτω.

ad Crucem spectantia canuntur & leguntur. Typica porrò, Suditicum & Hierosolymiticum, duos dies celebrant, ipsum nempe festum, & diem consequentem. Pretiosæ igitur crucis jejunium quibusdam scriptis traditum non fuit, sed communi traditione tenetur. Atque de jejuniis hic finis sit.

Et Codice Regio 2424. Idem, eodem Sermone.

B ΟΥκ ὀλίγους δὲ περὶ τῆς νηστείας τῆς θεοτόκου ἐπηρωτήσαμεν, καὶ οὐκ οἶδα ὅπως, ἀσυμφώνους εὕρομεν τούτων τὰς ἀποκρίσεις. καὶ οἱ μὲν λέγουσιν ὅτι ἔνθεσμός ἐστι καὶ κανονικὴ νηστεία, καὶ ἐν ἀκριβείᾳ φυλάττεται παρ' αὐτῶν· ἕτεροι δὲ ὁμολογοῦσι μὲν αὐτὴν εἶναι, λέγουσι δὲ μὴ φυλάττειν αὐτὴν ὡς ἔκθεσμον οὖσαν· ἄλλοι δὲ οὐδὲ ὅλως αὐτὴν παραδέχονται, ἀλλὰ καὶ μᾶλλον κατηγοροῦσι τῶν φυλασσόντων ταύτην. καὶ οἱ μὲν δεχόμενοι καὶ φυλάσσοντες ταύτην, ἔχουσιν, ὡς προείρηται, ἐκ τῶν C θείων γραφῶν μαρτυρίας, ἀκριβέστεροι δὲ εἰς τὰς λοιπὰς νενομισμένας νηστείας εὑρίσκονται διακείμενοι, καὶ μετ' εὐνοίας φυλάττοντες ταύτας. οἱ δὲ μὴ δεχόμενοι ταύτην, καὶ μάλιστα ταύτης κατηγοροῦσιν, οὔτε μαρτυρίαν τινὰ γραφικὴν εἰσδεχόμενοι, οὔτε πάλιν εἰσφέροντες, ἀλλ' ἁπλῶς πάλιν ταύτην ἀναπολογήτως ἀπο-

NOn paucos verò de Deiparæ jejunio interrogavimus; & nescio qua ratione illorum responsa invenimus dissona. Alii quippe dicunt jejunium legitimum esse & canonicum, atque à se accuratè servari; alii autem illud esse fatentur, negant tamen à se observari, quia præter legem est; alii nullatenus recipiunt, quinimo eos qui observant reprehendunt. Et ii quidem qui suscipiunt ac servant, habent, quemadmodum suprà dictum fuit, testimonia ex divinis scriptis sumpta, prætereaque ad reliqua sollemnia jejunia seduli magis ac prompti reperiuntur, eaque libenter peragunt. Qui verò nequaquam admittunt, imò maximè accusant, nec ullum scriptum testimonium recipientes, nec vice versa afferentes, temere adhuc & sine prætextu jejunium illud aver-

ſantur. Tertii denique qui agnitum nequaquam retinent, neque ipſi aliquod producunt ſcripto traditum teſtimonium, verùm eo deſtituti, hoc dumtaxat nobis ut conſilium tradunt; ſic enim loquuntur; Multa jejunia, non ex divinorum Canonum traditione, ſed per quorumdam hominum conſuetudinem, atque ex ſucceſſione, nonnullis in regionibus obſervari reperimus; dum non mala mente, at fide ac amore erga quoſdam magnos ſanctos, ii qui jejunant præpurgantur, ut cum puritate ad eorum feſta perveniant. Quæ porrò ejuſmodi ſunt, non permittuntur in commune tradi apud cunctos, cùm unuſquiſque prout ſtatuit ac vult agat; dummodo non ſit à divinis patribus prohibitum; quale eſt jejunium Artzeburii, item Dodecahemeri, vel tetradis & paraſceves hebdomadæ Lacticinii, variaque alia Hæreticorum jejunia. Hæc namque jejunia non ſimpliciter uſurpant Hæretici, ſed Hæretico dogmate, atque extra Catholicam Eccleſiam commiſcentes traditionem; neque in hujuſmodi rebus licet nobis eorum geſta imitari. De jejunio Deiparæ, hunc in modum novimus. Feſtum vero transfigurationis, & feſtum occurſûs ab initio tradita non fuere per ſanctos Apoſtolos, verùm per ſanctos patres poſterioribus temporibus, & quòd transfigurationis *Αυ ϛ'. feſtum ſexto menſis Auguſti

A στρέφονται. ἕτεροι δὲ πάλιν οἵτινες καὶ ὁμολογοῦσιν αὐτὴν, οὐ φυλάττουσι δὲ ὅλως, οὐκ ἔχουσί τινα μαρτυρίαν γραφικὴν οὐδὲ οὗτοι, ἀλλ' ἢ τοῦτο μόνον ἀγράφως ἡμῖν κατὰ συμβουλὴν παραινοῦσι. φασὶ γὰρ ὅτι πολλὰς νηστείας, οὐκ ἐκ παραδόσεως θείων κανόνων, ἀλλ' ἐκ συνηθείας τινῶν καὶ ἐκ διαδοχῆς εἰς τινὰς χώρας φυλάττεσθαι εὑρίσκομεν· οὐ κακῷ δὲ λογισμῷ, ἀλλὰ πίστει καὶ ἀγάπῃ τινῶν μεγάλων ἁγίων προαγνιζομένων τῶν νη- B στευόντων, ἵνα καθαρῶς ταῖς ἑαυτῶν ἑορταῖς ὑπαντήσωσι. τὰ δὲ τοιαῦτα, οὐκ ἐπιτρέπονται ἐπὶ πάντων παραδίδοσθαι εἰς τὸ κοινὸν, ἀλλ' ὁ καθεὶς ὡς προαιρεῖται καὶ βούλεται· μόνον μὴ κεκωλυμένον ἔστω παρὰ τῶν θείων πατέρων· οἷον ἡ νηστεία τοῦ Ἀρτζιβουρίου, ἢ τῆς δωδεκαημέρου, ἢ τῆς τετράδος καὶ παρασκευῆς τῆς τυροφάγου, καὶ ἄλλαι τῶν αἱρετικῶν δια [φορεσὶ] νηστεῖαι. ἐν ταῖς τοιαύταις γὰρ νηστείαις, οὐχ ἁπλῶς οἱ C αἱρετικοὶ νηστεύουσιν, ἀλλ' αἱρετικῷ δόγματι, καὶ ἔξω τῆς καθολικῆς ἐκκλησίας συμμιγνύντες παράδοσιν· καὶ οὐκ ἔξεστιν ἡμῖν τὰ ἐκείνων ἐν τοῖς τοιούτοις. περὶ τῆς νηστείας τῆς θεοτόκου, τοιοῦτον οἴδαμεν τρόπον. ἡ ἑορτὴ δὲ τῆς μεταμορφώσεως καὶ τῆς ὑπαπαντῆς, οὐκ ἐξ ἀρχῆς παρεδόθησαν παρὰ τῶν ἁγίων ἀποστόλων, ἐν ὑστέροις δὲ καιροῖς παρὰ τῶν θείων πατέρων, καὶ διὰ τὸ ἐστάναι τὴν ἑορτὴν τῆς μεταμορφώσεως εἰς τὰς * ϛ'. τοῦ Αὐγούστου

μηνός. ἑορτάζομεν δὲ ταύτην εἰς τὸ A κοινὸν ἐπὶ μέσου ἡμέρας ὀκτώ· τούτου χάριν καταλυόμεν ἐπὶ μέσου εἰς τὸ κοινὸν τὴν τοιαύτην νηστείαν. καὶ ὅτι καθὼς καὶ προείρηται περὶ τῶν ἑτέρων νηστειῶν τῶν μεγάλων ἁγίων, φυλάττεσθαι καὶ ταύτην τὸν καθ᾽ ἕνα ὡς βούλεται ἔξεστιν· εἰς τὸ κοινὸν δὲ ἀνάρμοστόν ἐστι παραδίδοσθαι. καὶ ταῦτα μὲν οἱ νῦν πατέρες ἡμῖν συμβουλεύουσι. λέγουσι δὲ καὶ τοῦτο, ὅτι εὑρίσκομεν εἰς τὸ τυπικὸν τῶν μεγάλων μοναστηρίων τὴν ἑορτὴν τῆς μεταμορφώσεως ὀκτὼ ἡμέρας B ἑορτάζειν, καὶ αὖθις ἐστάναι τὴν τῆς θεοτόκου ἑορτήν, καὶ οὐ χωρεῖται καθολικῶς ἐπὶ μέσου νηστεία εἰς τὸ κοινόν. τοῦτο δὲ ἕτερον λογισμὸν ἡμῖν ἐντίθησι πάλιν. καὶ γὰρ τῶν Ἱεροσολύμων μὲν τὸ τυπικόν, ἡμέρας ὀκτὼ ἑορτάζει· τῶν δὲ Στουδίων, τέσσαρας· τὸ δὲ μεγάλης ἐκκλησίας Ἀντιοχείας, ἤτοι τοῦ πατριάρχου ὁ τύπος, μίαν ἡμέραν ἑορτάζει· καὶ ταῦτα δὲ καὶ πολλοὶ ταύτην νηστεύουσι τὴν νηστείαν καὶ εὐγνωμόνως φυλάττουσι, καὶ μάλιστα τῶν γνωστικω- C τάτων οἱ προύχοντες τῆς αὐτῆς μεγαλοπόλεως. καθὼς γὰρ καὶ προείπομεν, ἐκ τοῦ συνοδικοῦ, ὅπερ καὶ ἐπὶ ἄμβωνος ἐν τῷ πατριαρχείῳ ἀναγινώσκεται, τὴν μαρτυρίαν λαμβάνοντες· οἱ μὲν ἀπ᾽ ἀρχῆς τοῦ Αὐγούστου μηνὸς τὴν νηστείαν ταύτην κρατοῦσι, καὶ εἰς τὴν ἑορτὴν τῆς μεταμορφώσεως καταλύουσι, τιμῶντες τὴν μίαν ἡμέραν, καὶ πάλιν τὴν νηστείαν κρατοῦσιν ἕως αὐτῆς τῆς ἑορτῆς τῆς πανάγνου καὶ παναχράντου δεσποίνης

celebretur. Cæterùm hoc festum communiter in medio octo diebus agimus; ideoque in medio in commune jejunium illud solvimus. Et sicut superiùs dictum fuit de aliis jejuniis magnorum sanctorum, hoc quoque qui voluerit poterit observare; in commune tamen tradi non decet. Atque hæc nostri temporis patres nobis suadent. Addunt etiam istud; Ex Typico magnorum Monasteriorum discimus festum transfigurationis octo diebus celebrare, adhucque instare Deiparæ festum; & generaliter in medio non tenetur jejunium ad commune. Hoc porrò aliam rursus nobis cogitationem indit. Siquidem Hierosolymorum Typicum octo dies festos habet, Studii quatuor; verùm magnæ Ecclesiæ Antiochiæ, seu Patriarchæ Typus unicum diem celebrat; ad hæc etiam multi hoc jejunium agunt, & gratè servant, præsertimque qui in ea magna urbe inter maxima cognitione præditos eminent. Nam uti antea diximus; testimonium sumentes ex Synodico, quod ex ambone in Patriarchio legitur, alii quidem ab initio mensis Augusti jejunium colunt, & festo transfigurationis illud solvunt, unum diem honorando, iterumque jejunium usque ad ipsum purissimæ & omnino immaculatæ dominæ

A nostræ Deigenitricis festum tenent; alii autem post celebratum transfigurationis festum, jejunium inchoant; uno verbo à singulis quemadmodum jam dixi observatur. Atque hæc de iis qui aut suscipiunt, aut non suscipiunt illud jejunium, seu potiùs quotannis dissident, dicta sunt. &c.

ἡμῶν θεοτόκου· ἕτεροι δὲ μετὰ τὸ ἑορτάσαι τὴν ἑορτὴν τῆς μεταμορφώσεως, ταύτην κρατοῦσι· καὶ ἁπλῶς ὁ καθ' ἕνα ὡς προείρηται ταύτην νηστεύει. καὶ ταῦτα μὲν περὶ τῶν δεχομένων καὶ περὶ τῶν μὴ δεχομένων ταύτην τὴν νηστείαν, καὶ μᾶλλον εἰπεῖν διαφωνούντων κατ' ἔτος, εἴρηται. &c.



ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ Νικηφόρου Κωνσταντινουπόλεως τοῦ ὁμολογητοῦ κανόνες ἐκ τῶν ἐκκλησιαστικῶν αὐτοῦ διατάξεων καὶ τῶν σὺν αὐτῷ ἁγίων πατέρων.

α'. Ἐὰν κατ' ἄγνοιαν * πλυθῇ * ἀντιμίνσιον, οὐκ ἀποτίθεται τὸν ἁγιασμὸν, οὐδὲ βέβηλον γίνεται.

β'. Ὁ δίγαμος οὐ στεφανοῦται· ἀλλὰ καὶ ἐπιτιμᾶται μὴ μεταλαβεῖν B τῶν ἀχράντων μυστηρίων ἔτη δύο· ὁ δὲ τρίγαμος ἔτη πέντε.

γ'. Ὁ ἐξ ἀνάγκης ἐπ' ὀλίγον χρόνον ἐν τῷ νάρθηκι τῆς ἐκκλησίας καταμονὴν ποιησάμενος, οὐ κατακρίνεται· ἐὰν δὲ χρονίσῃ, αὐτὸς μὲν μετ' ἐπιτιμίων ἐκβληθήσεται, ὁ δὲ ναὸς ἀπολήψεται τὰ οἰκεῖα.

δ'. Τῶν ἀδιαθέτως τελευτώντων, χρὴ δέχεσθαι τὰς παρ' αὐτῶν γινομένας εὐποιΐας· εἴγε καὶ ζῶντες προέθεσιν εἶχον τοῦ οὕτω ταύτας τελεσθῆναι. C

ε'. Ἐὰν φθάσῃ ὁ εὐαγγελισμὸς τῇ μεγάλῃ πέμπτῃ, ἢ τῇ μεγάλῃ παρασκευῇ, οὐχ ἁμαρτάνομεν οἴνου τηνικαῦτα μεταλαμβάνοντες καὶ ἰχθύων.

ϛ'. Ὁ ἔχων εὐχὴν ἡγουμένου πρεσβύτερος ὢν, χειρο-

SANCTI NICEPHORI Constantinopolitani, Confessoris Canones, ex Ecclesiasticis Constitutionibus ipsius & sanctorum patrum cum eo congregatorum collecti.

I. SI per ignorantiam Antimensium lotum fuerit, non amittit sanctificationem, neque profanum fit.

* Al. πλυνθῇ ἀντιμήνσιον

II. Bigamus non coronatur; quin potiùs censuram habet non percipiendi immaculata sacramenta duobus annis; Trigamus verò, annis quinque.

III. Qui ex necessitate ad breve tempus in Ecclesiæ Narthece mansionem fecerit, non condemnatur: quòd si manserit diu, ipse quidem cum pœnis pœnitentialibus ejicietur, templum verò quæ sua sunt recipiet.

IV. Intestato morientium, piæ largitiones & oblationes pro ipsis factæ suscipiendæ sunt; si quidem in vita propositum habuerint, ut ita eæ præstarentur.

V. Si Annunciatio inciderit in magnam quintam, vel magnam Parasceven, non delinquimus, si tunc vinum & pisces sumpserimus.

VI. Qui in Monachorum præpositum benedictus & consecratus fuit, estque Presbyter, Le-

ctorem ac Subdiaconum in A proprio Monasterio ordinat.

VII. Si quis usque ad annos viginti & ultra, in luxu & luxuria vixerit, deinde verò virtutis opera facere cognitus fuerit, non oportet eum ordinari. Quod enim sacrum est, impollutum esse debet.

VIII. Qui ex concubina, aut digamis vel trigamis nati sunt, modò vitam exhibuerint sacerdotio dignam, ordinantur.

IX. Divina communio tra- B denda est ægrotanti, in periculo mortis, etiamsi cibum sumpserit.

X. Oportet salutationis caussâ genu flectere, die Dominico, & per totam Pentecosten; non tamen consuetas genuflexiones facere.

XI. Non peccat, qui pro tribus hominibus unam consecrat oblationem, aut unam accendit candelam.

XII. Quòd non oporteat in C prece Scevophylacii seu sacrarii facere consignationem super sacrum calicem.

* Al. σκευοφυλακίου

XIII. Non oportet sine aqua calida Presbyterum Missam celebrare, nisi in magna necessitate, & si nullatenus ejusmodi aqua reperiatur.

XIV. Monachum qui habitum abjecit, & postea conversus est, oportet iterum vestimento Monachali, quod exuit, induere, absque precibus constitutis.

τονεῖ ἀναγνώστην καὶ ὑποδιάκονον ἐν τῇ ἰδίᾳ μονῇ.

ζʹ. Ἐάν τις ἐν ἀσωτίᾳ ἔζησε μέχρις ἐτῶν εἴκοσι, ἢ καὶ ἐπέκεινα, εἶτα φανῇ ποιῶν ἔργα ἀρετῆς, οὐ χρὴ αὐτὸν χειροτονεῖσθαι. τὸ γὰρ ἱερὸν ἀμόλυντον εἶναι δεῖ.

ηʹ. Οἱ ἀπὸ παλλακίδος ἢ διγάμων ἢ τριγάμων τικτόμενοι παῖδες, ἐὰν ἄξιον ἱερωσύνης ἐπιδείξωνται βίον, χειροτονοῦνται.

θʹ. Δεῖ μεταδιδόναι τῆς θείας κοινωνίας τῷ ἀσθενοῦντι, ἀποθανεῖν κινδυνεύοντι, καὶ μετὰ τὸ γεύσασθαι βρώσεως.

ιʹ. Χρὴ χάριν ἀσπασμοῦ κλίνειν γόνυ ἐν κυριακῇ, καὶ ἐν ὅλῃ τῇ πεντηκοστῇ· οὐ μὴν τὰς ἐξ ἔθους γονυκλισίας ποιεῖν.

ιαʹ. Οὐχ ἁμαρτάνει τις ὑπὲρ τριῶν ἀνθρώπων μίαν προσκομίζων προσφορὰν, ἢ μίαν ἅπτων κανδήλαν.

ιβʹ. Ὅτι οὐ χρὴ σφραγῖδα ποιεῖν ἐν τῇ εὐχῇ τοῦ * σκευοφυλακίου, ἐπὶ τὸ ἅγιον ποτήριον.

ιγʹ. Ὅτι οὐ χρὴ ἄνευ θερμοῦ λειτουργῆσαι πρεσβύτερον, εἰ μὴ κατὰ πολλὴν περίστασιν, ἢ εἰ οὐδαμῶς εὑρίσκεται θερμόν.

ιδʹ. Τὸν ἀθετήσαντα μοναχὸν τὸ σχῆμα, καὶ πάλιν ἐπιστρέψαντα, δεῖ πάλιν ἐνδύειν αὐτὸν ἣν ἀπεδύσατο μοναχικὴν στολὴν, χωρὶς τῶν τεταγμένων εὐχῶν.

A ιε'. Δεῖ τὰς μοναζούσας εἰσιέναι εἰς τὸ ἅγιον θυσιαστήριον, καὶ ἅπτειν κηρὸν καὶ κανδήλας, καὶ κοσμεῖν αὐτὸ καὶ σαρῶν.

XV. Oportet ut sanctimoniales in sanctum altare ingrediantur, & accendant cereum & candelam, illudque ornent ac verrant.

ις'. Οὐ χρὴ τοὺς μοναχοὺς τῇ μεγάλῃ * παρασκευῇ ἔργα γεωργικὰ μετιέναι, καὶ προφάσει τούτων εἰς οἶνον καταλύειν καὶ ἔλαιον. ταῦτα γὰρ γαστριμαργίας εἰσὶν ἐπιτηδεύματα.

XVI. Non debent Monachi magna Parasceve (*Al.* Quadragesima) opera agriculturæ exercere, eorumque prætextu solvere jejunium sumendo vinum & oleum. Hæc enim sunt gulæ instituta.

* *Al.* παρασκευῇ

ιζ'. Διὰ τρεῖς αἰτίας ἐφεῖται τῷ μοναχῷ τῆς ἰδίας ἀναχωρεῖν μονῆς· ἐὰν ᾖ ὁ ἡγούμενος αἱρετικός· ἐὰν εἴ- B σοδος γυναικῶν εἰς τὴν μονὴν γίνεται· καὶ ἐὰν παιδία κοσμικὰ ἐν τῷ κοινοβίῳ μανθάνωσιν.

XVII. Tribus de caussis Monacho licet à suo recedere Monasterio; si præpositus Hæreticus sit; si mulieres in Monasterium introeunt; & si pueri sæculares in Cœnobio edocentur.

ιη'. Ἄτοπον γὰρ τὰ ἐν τῇ μονῇ πραττόμενα, δι' αὐτῶν δημοσιεύεσθαι.

XVIII. Absurdum enim est & alienum, quæ in Monasterio geruntur, per tales publicari.

ιθ'. Τοὺς ὄντας ἐν ἐπιτιμίοις μοναχοὺς, χρὴ συνεσθίειν τοῖς λοιποῖς καὶ συνεύχεσθαι· μετέχειν δὲ καὶ εὐλογίας ἤτοι κατακλαστοῦ, ἅμα τῇ αὐτῶν ἐξομολογήσει. C

XIX. Monachi pœnis censurisque subjecti, unà cum reliquis cibum sumere ac precari debent; atque etiam participes esse Eulogiæ & Cataclasti, hoc est panis fracti & benedicti, simul cum eorum confessione.

κ'. Τῇ τῶν ἁγίων ἀποστόλων νηστείᾳ, καὶ τῇ τοῦ ἁγίου Φιλίππου, χρὴ τοὺς ἐν τῇ μονῇ καθημένους μοναχοὺς, τετράδος καὶ παρασκευῆς ἅπαξ πρὸς ἑσπέραν σιτεῖσθαι· τοὺς δὲ ἐργαζομένους, μετὰ τὴν ἕκτην γεύεσθαι ὥραν, καὶ ἑσπέρας δειπνεῖν.

XX. In jejunio sanctorum Apostolorum, & jejunio sancti Philippi oportet ut Monachi qui in Monasterio resident, per ferias quartas & sextas semel ad vesperam cibum sumant; qui verò opera faciunt, post horam sextam edant & gustent, ac vesperè cœnent.

κα'. Ἐὰν φθαρῇ μονάστρια ὑπὸ βαρβάρων ἢ ἀτάκτων ἀνδρῶν, καὶ ἦν ὁ πρὸ τοῦ βίος αὐτῆς

XXI. Si Monialis à Barbaris vel petulantibus viris vitiata fuerit, estque vita ipsius præcedens

inculpata, quadraginta dierum A pœnam habet; sin verò prior vita impura fuit, adulterii censuram & pœnitentiam explet.

XXII. Qui Monachalem habitum induit, metu militiæ, aut per aliam quamlibet astutiam, ut scilicet illum deridens, eumdemque post necessitatem aut simulationem deponit, tribus dierum quadragesimis punitur, atque sic ad sacram communionem accedit.

XXIII. Non accipienda est B communio ex Monacho Presbytero juvene, qui Monialibus ministrat, easque communione impertitur.

XXIV. Monasterii præpositus cucullam à discipulo non auferat, neque eum expellat.

XXV. Si quis sacrum habitum projecerit, nec emendaverit se, non oportet eum ad
II. Ioh. tectum admittere, neque Ave
10. ei dicere.

XXVI. Si quis infirmus sit, & sanctum baptisma, vel sacrum C habitum requirat, dare sine mora oportet, nec gratia est impedienda.

XXVII. Quòd non oporteat Presbyterum Monachum sine mandya sive pallio sacrum facere.

XXVIII. Eos qui occulta delicta confitentur, debet quidem à communione arcere qui eorum suscipit confessionem, non tamen impedire quin Ecclesiam ingrediantur, neque

ἄμεμπτος, εἰς τεσσαράκοντα ἡμέρας ἐπιτιμᾶται· εἰ δὲ ὁ πρότερος αὐτῆς βίος μεμολυσμένος ἦν, τὸ τῆς μοιχείας ἐπιτίμιον ἐκπληροῖ.

κβʹ. Ὁ τὸ μοναχικὸν ἐνδὺς σχῆμα, φόβῳ στρατείας ἢ ἄλλῃ τινὶ πανουργίᾳ, ὡς δῆθεν τούτου καταγελῶν, καὶ τοῦτο μετὰ τὴν ἀνάγκην ἢ τὴν ὑπόκρισιν ἀποθέμενος, εἰς τεσσαρακοστὰς τρεῖς ἡμερῶν ἐπιτιμᾶται, καὶ οὕτω τῇ ἁγίᾳ προσέρχεται κοινωνίᾳ.

κγʹ. Μοναχοῦ πρεσβυτέρου νέου μοναστρίαις ὑπηρετοῦντος, καὶ μεταδιδόντος αὐταῖς, οὐ χρὴ κοινωνεῖν ἐξ αὐτοῦ.

κδʹ. Ὅτι οὐ χρὴ τὸν ἡγούμενον τὸ κουκούλιον τοῦ μαθητοῦ ἐκβάλλειν, καὶ διώκειν αὐτόν.

κεʹ. Τὸν ἀθετήσαντα τὸ ἅγιον σχῆμα, καὶ μὴ διορθούμενον, οὐ χρὴ ὑπὸ στέγην ἄγειν, ἢ χαίρειν λέγειν αὐτῷ.

κϛʹ. Ἐάν τις ἀσθενὴς ᾖ, καὶ ἐπιζητῇ τὸ ἅγιον βάπτισμα, ἢ τὸ ἅγιον σχῆμα, χρὴ διδόναι ἀνυπερθέτως, καὶ μὴ κωλύειν τὴν χάριν.

κζʹ. Ὅτι οὐ χρὴ λειτουργῆσαι πρεσβύτερον μοναχὸν ἄνευ μανδύου.

κηʹ. Τοὺς ἄδηλα πταίσματα ἐξομολογουμένους, τῆς μὲν κοινωνίας ἀπείργειν δεῖ τὸν δεχόμενον τὴν ἐκείνων ἐξομολόγησιν· εἰς δὲ τὴν ἐκκλησίαν αὐτοὺς εἰσέρχεσθαι μὴ κωλύειν,

μήδὲ

μηδὲ διαμβάλλειν τὰ κατ' αὐτούς· A ἀλλ' ἐπιεικῶς τούτοις νουθετεῖν, τῇ μετανοίᾳ προσανέχειν καὶ προσευχῇ· καὶ οἰκονομεῖν τὰ προσήκοντα τούτοις ἐπιτίμια, κατὰ τὴν ἑκάστου προαίρεσιν.

κθʹ. Μοιχοὶ καὶ κτηνοβάται καὶ ἀνδροφόνοι, καὶ οἱ τοιοῦτοι, ἐὰν οἴκοθεν τὴν ἰδίαν ἐξομολογήσωνται ἀνομίαν, ἄδηλον τοῖς πολλοῖς ἔτι τυγχάνουσαν, τῆς κοινωνίας μὲν * κεκώλυνται, καὶ τὰ ἐπιτίμια δέχονται· εἰς τὴν ἐκκλησίαν δὲ εἰσερχόμενοι, ἵστανται μέχρι τῆς τῶν κατηχουμένων εὐχῆς. B ἐὰν δὲ δῆλα τὰ τούτων ὦσι πλαίσματα, τότε λοιπὸν κατὰ τὸν ἐκκλησιαστικὸν θεσμὸν ἐκπληρῶσι τὰ ἐπιτίμια.

λʹ. Ἐὰν ἐξομολογήσηται * λαϊκὸς τὰ ἑαυτοῦ σφάλματα ἐκ προαιρέσεως, δύναται ποιῆσαι οἰκονομίαν ὁ δεχόμενος.

λαʹ. Κατ' ἐπιτροπὴν τοῦ ἐπισκόπου ποιεῖ σταυροπήγιον καὶ πρεσβύτερος.

λβʹ. Ὅτι οὐ χρὴ μεταδιδόναι τοῖς C λαμβάνουσι τόκον, ἢ συνεσθίειν αὐτοῖς, ἐπιμένουσι τῇ παρανομίᾳ.

λγʹ. Δεῖ νηστεύειν τοὺς μοναχοὺς τῇ τετράδι τῆς τυροφάγου, καὶ τῇ παρασκευῇ· καὶ μετὰ τὴν προηγιασμένων ἀπόλυσιν ἐσθίειν * τυρὸν, * ὅπη ἂν ἐπιχωριάζωσιν· εἰς ἀνατροπὴν τοῦ δόγματος τοῦ Ἰακώβου, καὶ τῆς τῶν Τετραδιτῶν αἱρέσεως.

ipsos ipsorumque res traducere, sed leniter eosdem admonere, ut pœnitentiæ & orationi intendant, necnon pœnitentiam illis convenientem, juxta uniuscujusque propositum moderari.

XXIX. Adulteri, bestiarum initores, homicidæ, & similes peccatores, cùm scelus suum proprio motu confessi fuerint, à communione quidem arcebuntur, ac pœnitentiæ multam accipient. In Ecclesiam autem ingressi, stant usque ad orationem Catechumenorum. Quòd si publica sint eorum delicta, tunc deinceps juxta Ecclesiasticam legem pœnitentiam peragunt.

* Al. κωλύονται

XXX. Si Laicus lapsus suos sponte confessus fuerit, dispensationem adhibere potest qui confessionem recipit.

* Al. κοσμικὸς

XXXI. Ex Episcopi permissione etiam Presbyter Stauropegium facit, seu sollemnem crucis infixionem.

XXXII. Usuram accipientibus non sunt danda sacramenta, neque cum iis oportet convivere quamdiu in iniquitate perseveraverint.

XXXIII. Oportet Monachos jejunare quartâ feriâ hebdomadæ Lacticinii ac Parasceve; & post Præsanctificatorum finem dimissionemque caseum comedere, ubicum habitaverint; ad eversionem dogmatis Jacobi, atque Hæreseos Tetraditarum.

* Al. τυρὸν ἢ ὠὰ

* Al. ἵνα

XXXIV. Si quis concubina utens, non vult aut illam relinquere, aut benedictione donari & cum sacramenti ritu eam habere, non oportet recipere quæ ab ipso Ecclesiæ offerentur, cujus divinas sanctiones operibus contemnit contumeliâque afficit.

A λδʹ. Εἴ τις παλλακὴν κεκτημένος, οὐ βούλεται ἢ καταλιπεῖν αὐτὴν, ἢ εὐλογηθῆναι καὶ μετὰ ἱερολογίας ἔχειν, οὐ χρὴ δέχεσθαι τὰ παρ' αὐτοῦ προσφερόμενα τῇ ἐκκλησίᾳ, ἧς τοὺς θείους θεσμοὺς διὰ τῶν ἔργων καταφρονῶν ἐνυβρίζει.

XXXV. Si Monachus sancto habitu deposito carnem comederit, uxoremque duxerit, oportet eum, converti nolentem, anathemati submitti, & invitum Monasticis vestibus indui, atque in Monasterio concludi.

λεʹ. Ἐὰν μοναχὸς τὸ ἅγιον ἀποθέμενος σχῆμα κρεωφαγήσῃ καὶ γυναῖκα λάβῃ, δεῖ μὴ ἐπιστρέφοντα τοῦτον, ἀναθέματι καθυποβληθῆναι, B καὶ ἄκοντα τὰ μοναχικὰ ἐνδυθῆναι, καὶ μοναστηρίῳ ἐγκατακλεισθῆναι.

XXXVI. Qui vel semel fornicatus est, nequaquam ordinetur, tametsi à vitio abscesserit. Ait quippe magnus Basilius; Licèt homo hujusmodi mortuos suscitaverit, sacerdos non fiet.

* Al. γίνεται ὃ γίνεται

λϛʹ. Οὐ δεῖ τὸν ἅπαξ πορνεύσαντα χειροτονεῖσθαι, εἰ καὶ τοῦ πάθους ἀπέστη. Φησὶ γὰρ ὁ μέγας Βασίλειος, εἰ καὶ νεκροὺς ἀνιστᾷ ὁ τοιοῦτος, ἱερεὺς οὐ * γενήσεται.

XXXVII. Quando Apostolus dicit; *Si quis frater nominatus sit fornicator; cum ejusmodi nec cibum sumere;* non quem Ille & Ille fornicantem novit, videtur dicere, sed nominatum, sive cunctis cognitum. Nam quæ impudenter committuntur delicta, majores pœnas attrahunt.

1. Cor. v. 11.
* Abest ab al
* Al. εἰδὼς

λζʹ. Ὁ ἀπόστολος λέγων, εἴ τις ἀδελφὸς ὀνομαζόμενος * ᾖ πόρνος, C τῷ τοιούτῳ μηδὲ συνεσθίειν· οὐχ ὃν ὁ δεῖνα καὶ ὁ δεῖνα * οἶδε πορνεύοντα λέγειν δοκεῖ, ἀλλὰ τὸν ὀνομαζόμενον, ἤτοι πᾶσι γινωσκόμενον. τὰ γὰρ ἀναισχύντως πλημμελούμενα, πλείονα τὴν τιμωρίαν ἐφέλκεται.



ΕΚ ΤΩΝ ΚΑΝΟΝΩΝ τοῦ παναγιωτάτου Νικηφόρου πατριάρχου Κωνσταντινουπόλεως καὶ οἰκουμενικοῦ, ἐκ τῶν ἐκκλησιαστικῶν τούτου συντάξεων.

καν. α'. ΤΑ'ς ἐκκλησίας τὰς ὑπὸ αἱρετικῶν ἐνθρονιασθείσας, παρακελευόμεθα ὡς εἰς κοινὸν οἶκον κατ' ἀνάγκην εἰσιέναι καὶ ψάλλειν, πήξαντας ἐν μέσῳ σταυρὸν· ἐν δὲ τῷ θυσιαστηρίῳ, μήτε B εἰσέρχεσθαι, μήτε θυμιᾷν, μήτε εὐχὴν ἐπιτελεῖν, μήτε κανδήλαν ἢ λύχνον ἅπτειν.

ϛ'. Ὅτι δεῖ τὸν ἀθετοῦντα μοναχὸν τὸ ἅγιον σχῆμα, καὶ πάλιν ἐπιστρέφοντα, κατηχεῖσθαι ὑπὸ τῶν ἀδελφῶν τὰ δέοντα, ἀλλ' οὐχὶ ἐκ τῶν κατηχήσεων· ἀλλ' ἕκαστος ἐξ ὧν ἐπιχορηγεῖται ὑπὸ τοῦ κυρίου λόγων· καὶ ψάλλειν τὸν κατανυκτικὸν κανόνα τοῦ πλαγίου ἤχου· καὶ τιθέναι τὰ ἱμάτια αὐτοῦ ἐν τῷ θυσιαστηρίῳ C ὑποκάτω τῆς ἁγίας τραπέζης, ὡς ἐπὶ τοῦ σχήματος· καὶ ἀπὸ τοῦ εὐαγγελίου τῆς λειτουργίας κουρεύειν αὐτὸν, τὸν ἡγούμενον· καὶ ἐνδύειν τὸ σχῆμα μηδὲν ἐκφωνοῦντα.

θ'. Τὸν μὴ νηστεύοντα τετράδα καὶ παρασκευὴν ἱερέα, οὐ χρὴ κοινωνεῖν ἐξ αὐτοῦ, κἂν δοκῇ ὀρθόδοξος εἶναι· τὸ γὰρ ἐκ μέρους εὐσεβεῖν, καὶ ἐκ μέρους κοινοῦσθαι, βέβηλον.

EX CANONIBVS Nicephori sanctissimi Patriarchæ CP. & Oecumenici, ex ipsius Ecclesiasticis Constitutionibus.

CANON. I. IN Ecclesias ab Hæreticis inthronizatione dedicatas, ingredi ex necessitate, velut in communes ædes, & in iis fixâ in medio cruce psallere permittimus; non tamen in altare ingredi, thus adolere, precem peragere, nec candelam aut lucernam accendere.

VI. Monachum qui sanctum habitum deposuit, rursusque convertitur, oportet à fratribus in officio institui, non tamen per Catecheses, sed prout unicuique suppeditatur ex verbis Domini. Sed & psallere oportet compunctivum Canonem obliqui toni, ac ponere ipsius vestes in altari sub sacra mensa, ut cùm habitus sumitur; atque post Evangelium Missæ Monasterii præpositus debet eum tondere, & habitu induere, absque ulla exclamatione.

IX. Ex sacerdote qui quartis sextisque feriis non jejunat, communicandum non est, quamvis orthodoxus esse videatur. Etenim ex parte piè agere, & ex parte inquinari, profanum impurumque est.

XVI. Quòd oporteat Monachos qui per sanctam Quadragesimam opera faciunt, horâ nonâ parum panis sumere, vespere autem cœnare.

XVII. Non debent Monachi magna Quadragesima operæ incumbere, ac operis prætextu solvere jejunium per vinum & oleum. Hæc enim gulæ sunt inventa.

XIX. Quot caussæ Monachum è Monasterio exire compellunt? Primò quidem, si præpositus Hæreticus sit: secundò si Monasterii introitus mulieribus permittatur: tertiò denique quando ludus litterarius in Cœnobio pueris sæcularibus aperitur; hoc enim absurdum est, quæ in Monasterio præclarè aguntur evulgari; sicut Evangelium dicit; Nolite tuba canere ante vos, cùm bene facitis. (*Matt. VI. 2.*)

XXIX. Quadragesimâ seu jejunio sanctorum Apostolorum oportet operarios Monachos in tetrade ac parasceve jejunare usque ad horam sextam, posteaque edere, horâ verò nonâ prandere; & consimili modo Quadragesimâ & jejunio sancti Philippi, horâ sextâ gustare, ac vesperi cœnare; eos autem qui in Monasterio manserunt, semel ad vesperam comedere.

LVI. Si depositus Presbyter adsit, aut Diaconus, aut Lector, & Monachus inventus fuerit, hic benedictionem mensæ facit.

A ις΄. Ὅτι δεῖ τοὺς ἐργαζομένους μοναχοὺς τῇ ἁγίᾳ τεσσαρακοστῇ, τῆς θ΄. ὥρας γεύσασθαι ἄρτου βραχέως, καὶ τῇ ἑσπέρᾳ δειπνεῖν.

ιζ. Ὅτι οὐ χρὴ ἐν τῇ ἁγίᾳ τεσσαρακοστῇ τοὺς μοναχοὺς ἐργασίας ποιεῖν, καὶ προφάσει τοῦ ἔργου, καταλύειν εἰς οἶνον καὶ ἔλαιον. ταῦτα γὰρ γαστριμαργίας ἐπιτηδεύματα.

ιθ΄. Πόσα κεφάλαια ἐκβάλλουσι τὸν μοναχὸν ἀπὸ τῆς μονῆς; B πρῶτον μὲν, εἰ ἔστιν ὁ ἡγούμενος αἱρετικός· δεύτερον, εἰ ἔστιν εἴσοδος γυναικῶν ἐν τῇ μονῇ· τὸ δὲ τρίτον, ἐὰν παιδία μανθάνωσι κοσμικὰ ἐν τῷ κοινοβίῳ· ἄτοπον γὰρ τοῦτο, τὸ δημοσιεύεσθαι τὰ ἐν τῇ μονῇ καλῶς πραττόμενα· ὥς φησι τὸ εὐαγγέλιον· μὴ σαλπίσητε ἔμπροσθεν ὑμῶν, ὅταν εὖ ποιῆτε.

κθ΄. Τὴν τεσσαρακοστὴν τῶν ἁγίων ἀποστόλων, ἤτοι τὴν νηστείαν αὐτῶν, χρὴ νηστεύειν, τετράδι καὶ παρασκευῇ, τοὺς ἐργαζομένους, ἕως C ὥρας ἕκτης, καὶ οὕτως γεύεσθαι, καὶ τῆς θ΄. ὥρας ἀριστᾶν· ὡσαύτως δὲ καὶ τοῦ ἁγίου Φιλίππου, ὥραν ἕκτην γεύεσθαι, καὶ ἑσπέρας δειπνεῖν· τοὺς δὲ ἐν τῇ μονῇ, ἅπαξ ἕως ἑσπέρας.

νς΄. Ἐὰν πρεσβύτερος ᾖ, ἢ διάκονος, ἢ ἀναγνώστης καθῃρημένος, καὶ εὑρεθῇ μοναχὸς, εὐλογεῖ τὴν τράπεζαν.

ξϛʹ. Ἐάν τις ἀθετήσῃ τὸ ἅγιον σχῆμα, καὶ οὐ διορθοῦται, τὴν δὲ ὀρθοδοξίαν κρατῇ, οὐ χρὴ τὸν τοιοῦτον ὑπὸ στέγην ἄγειν, οὔτε συνεσθίειν, ἢ χαίρειν λέγειν.

A LXVI. Si quis abjecerit sanctum habitum, nec emendatur, rectam verò fidem tenet, non oportet hujusmodi hominem tecto donare, neque cum illo vesci, aut ave ei dicere.

ΕΠΙΣΤΟΛΗ ΤΟΥ ΕΝ ἁγίοις πατρὸς ἡμῶν Νικηφόρου πατριάρχου Κωνσταντινουπόλεως τοῦ ὁμολογητοῦ.

SANCTI PATRIS nostri Nicephori Patriarchæ Constantinopolitani & Confessoris Epistola.

Ὅσην ἔχει ἐπιποθίαν ἡ τιμιότης σου ἰδεῖν τὴν ταπείνωσιν ἡμῶν, τοσαύτην οἴεσθαι χρὴ καὶ τὴν ἡμετέραν εἶναι, πρὸς τὴν κατ' ὀφθαλμοὺς ὁμιλίαν. ἀλλ' ἐπειδὴ γέγραπται· οὐ τοῦ θέλοντος, οὐδὲ τοῦ τρέχοντος, ἀλλὰ τοῦ ἐλεοῦντος θεοῦ· αὐτῷ ἀναθετέον τὸν πόθον, καὶ ἐπιρριπτέον τὴν μέριμναν, καὶ αὐτὸς ποιήσει ὁπηνίκα καὶ βούλεται, θέλημα τῶν φοβουμένων αὐτόν. τὸ δὲ νῦν ἔχον, ἀναγκαῖον περὶ τῶν προταθέντων κεφαλαίων ὑπὸ τῶν πνευματικῶν ἡμῶν ἀδελφῶν, Ἱλαρίωνος καὶ Εὐστρατίου, μεσολαβούσης τῆς σῆς εὐλαβείας, ἀποκριθῆναι τὰ εἰκότα. ὡς ἂν δὲ εὐσύνοπτα γένηται τὰ λεγόμενα, ἑκάστου προταθέντος κεφαλαίου, κατὰ συνέχειαν καὶ ἡ ἀπόκρισις εἴη.

B Quanto flagrat desiderio excellentia tua videndi tenuitatem nostram, tantum & putet esse nostrum, ut tecum coram congrediamur. Sed quia scriptum est, *Non volentis, neque currentis, sed miserentis est Dei*; in ipsum refundendus est affectus, & jactanda cura; atque ipse cùm voluerit *faciet voluntatem timentium se*. Quod verò spectat ad præsens, oportet de capitibus per spirituales nostros fratres Hilarionem & C Eustratium propositis, mediante pietate tua, quæ consentanea sunt respondere. Ut autem quæ dicentur manifestiora fiant, unoquoque capite proposito, consequenter & responsio procedat.

Rom. IX. 16. *Ps. LIV. 23.* *Ps. CXLIV. 19.*

Ἐρώτησις αʹ.

Interrogatio 1.

Περὶ τῶν χειροτονηθέντων πρεσβυτέρων ἐν Ῥώμῃ, ἐν Νεαπόλει, καὶ

De Presbyteris ordinatis Romæ, Neapoli, & in

Longobardia, absque acclamatione & titulo, an oportet eos recipere, & unà cum iis communicare, vesci, psallere?

A Λογγοβαρδίᾳ, ἀκηρύκτων καὶ ἀπολελυμένων, εἰ χρὴ τούτους δέχεσθαι, καὶ κοινωνεῖν αὐτοῖς, καὶ συνεσθίειν, καὶ συμψάλλειν;

Responsio.

Hæreseos tempore, propter cogentem necessitatem, non ea planè omni ex parte fiunt quæ in pace sancita sunt. Id quod fecisse cernitur tum beatissimus Athanasius, tum sanctissimus Eusebius, qui ambo extra provinciam ordinationes peregerunt. Idemque nunc in præsenti Hæresi factum conspicitur. Itaque memorati Presbyteri, si palam non sint reprehensibiles, nequaquam ob hujusmodi ordinationem, aversandi sunt, verùm admittendi secundùm quatuor propositiones.

Ἀπόκρισις.

Ἐν χώρᾳ αἱρέσεως, οὐ κατὰ τὰ ἐν εἰρήνῃ τυπωθέντα πάντως ἀπαραλείπτως γίνεται, διὰ τὴν ἀναγκάζουσαν χρείαν. ὅπερ φαίνεται πεποιηκὼς, ὅ τε μακαριώτατος Ἀθανάσιος, καὶ ἁγιώτατος Εὐσέβιος,
B ὑπερορίους χειροτονίας ἀμφότεροι ποιησάμενοι. καὶ νῦν δὲ τὸ αὐτὸ ὁρᾶται πραττόμενον ἐν τῇ παρούσῃ αἱρέσει. ὥστε οἱ ἀποδηλωθέντες, εἰ οὐ προδήλως εἰσὶ κατεγνωσμένοι, οὐδαμῶς ἐκ τοῦ οὕτω χειροτονηθῆναι, ἀποτρόπαιοι, ἀλλὰ προσδεκτέοι κατὰ τὰς τέσσαρας προτάσεις.

Interrogatio II.

De Presbyteris extra provinciam ordinatis in Sicilia, utrum admitti debeant?

Ἐρώτησις β΄.

Περὶ τῶν χειροτονηθέντων πρεσβυτέρων ὑπερόρια ἐν Σικελίᾳ, εἰ
C χρὴ τούτους δέχεσθαι;

Responsio.

Hæc interrogatio similis est superiori, licèt ratione loci minus habeat. Consimilem igitur accipiet quoque responsionem.

Ἀπόκρισις.

Τοῦτο τὸ ἐρώτημα, ὅμοιον τοῦ προτεθέντος εἰ καὶ καθ' ὕφεσιν τόπου. ὁμοίως οὖν δηλονότι ἕξει καὶ τὴν ἀπόκρισιν.

Interrogatio III.

De Ecclesiis inquinatis per sacerdotes qui Hæresi communicarunt, à quibus detinentur,

Ἐρώτησις γ΄.

Περὶ τῶν κοινωθέντων ἐκκλησιῶν ἐκ τῶν ἱερέων κοινωνησάντων τῇ αἱρέσει, καὶ κατεχομένων ὑπ' αὐτῶν,

εἰ χρὴ εἰσιέναι εἰς αὐτὰς χάριν εὐχῆς καὶ ψαλμῳδίας;

A oporterne in eas ad orandum & psallendum intrare?

Ἀπόκρισις.

Responsio.

Οὐ χρὴ τὸ καθόλου εἰς τοιαύτας ἐκκλησίας εἰσιέναι, κατὰ τοὺς εἰρημένους τρόπους· ἐπειδὴ γέγραπται· ἰδοὺ ἀφίεται ὁ οἶκος ὑμῶν ἔρημος. ἅμα γὰρ τῷ εἰσαχθῆναι τὴν αἵρεσιν, ἀπέστη ὁ ἔφορος τοῦ ἐκεῖσε ἄγγελος, κατὰ τὴν φωνὴν τοῦ μεγάλου Βασιλείου· καὶ κοινὸς οἶκος ὁ τοιοῦτος χρηματίζει ναός. Καὶ οὐ μὴ εἰσέλθω φησὶν εἰς ἐκκλησίαν πονηρευομένων. καὶ ὁ ἀπόστολος· τίς συγκατάθεσις ναοῦ θεοῦ μετὰ εἰδώλων;

Nullatenus in hujusmodi Ecclesias ingrediendum est, dictis modis: quandoquidem scriptum est; *Ecce relinquetur domus vestra deserta.* Simul enim ac inducta fuit Hæresis, abscessit Angelus loci præses, juxta magni Basilii vocem; & ejusmodi templum, communis B & profana domus appellatur. *Non introibo* inquit *in Ecclesiam malignantium.* Et Apostolus; *Qui consensus templi Dei cum Idolis?*

Matt. xxiii. 38. *Epist. 191.* *Ps. xxv. 4 5.* *II Cor. vi. 16.*

Ἐρώτησις δ'.

Interrogatio IV.

Περὶ τῶν κοινωθέντων ἐκκλησιῶν ὑπὸ τῶν αὐτῶν ἱερέων, καὶ κατεχομένων ὑπ' αὐτῶν, εἰ χρὴ ἐν αὐταῖς ψάλλειν καὶ εὔχεσθαι;

De Ecclesiis per eosdem sacerdotes pollutis ac detentis, num in iis psallendum sit & precandum?

Ἀπόκρισις.

Responsio.

Χρὴ μὲν οὖν εἰσιέναι ἐν ταῖς τοιαύταις ἐκκλησίαις εἰς τὸ ψάλλειν καὶ εὔχεσθαι, ἀλλ' εἴπερ ἀσφαλῶς μὴ κατεχραίνοντο ὑπὸ τῶν * ἐκκλησιῶν, ἀλλὰ κατέχονται ὑπὸ τῶν ὀρθοδόξων ἐς τόδε. τετύπωται δὲ ἐνταῦθα, ὑπὸ σεσωσμένου ἐπισκόπου, ἢ ἱερέως, τὰ ἀνοίξια τῆς ἐκκλησίας γίνεσθαι, ὑποφαινομένης εὐχῆς· ὥστε εἰ τοῦτο γένοιτο, καὶ τὸ λειτουργεῖν ἐκεῖσε οὐκ ἀπᾷδον. παράδειγμα, τὸ τὸν ἅγιον

C Oportet nimirum in eas Ecclesias intrare, ad psallendum & orandum, dummodo ab iisdem planè contaminatæ non sint, verùm ab Orthodoxis hocce tempore tenentur. Decretum autem hic est, ut ab Episcopo vel sacerdote sano & ab Hæresi conservato Ecclesiæ apertio sollemnis exhibitâ prece celebretur. Itaque si hoc fiat, etiam illic sacra facere ministeria non erit absonum. Exemplo sit sanctus

* Ab αὐτῶν

Athanasius, qui ab Imperatore Constantio oratus, ut hanc unam gratiam apud Alexandriam concederet, traderetque templum unum Arianis ad collectas agendas annuit, modò ipse pariter eamdem gratiam Constantinopoli consequeretur, ut Orthodoxi Synaxes facerent in templo uno ab Arianis detento.

A Ἀθανάσιον, ὑπὸ Κωνσταντίου τοῦ βασιλέως παρακαλούμενον, μίαν ταύτην χάριν παρασχέσθαι ἐν Ἀλεξανδρείᾳ, ἕνα ναὸν παραδοῦναι τοῖς Ἀρειανοῖς εἰς τὸ συνάγεσθαι, κατανεῦσαι, ἄνπερ ἐν Κωνσταντινουπόλει λήψοιτο καὶ αὐτὸς τὴν αὐτὴν χάριν, τὸ συνάγεσθαι τοὺς ὀρθοδόξους ἐν ἑνὶ ναῷ προκατεχομένῳ ὑπὸ τῶν Ἀρειανῶν.

Interrogatio V.

De sanctis qui in corpore, an oporteat in eorum Cœmeteria ingredi, illicque precari & adorare, dum ea à pollutis sacerdotibus tenentur?

Ἐρώτησις ε΄.

B Περὶ τῶν ἐν σώματι ἁγίων, εἰ χρὴ εἰσιέναι εἰς κοιμητήρια αὐτῶν καὶ εὔχεσθαι καὶ προσκυνεῖν, αὐτοῖς κατεχομένοις ὑπὸ τῶν μιανθέντων ἱερέων;

Responsio.

Non permittit Canon seu regula, secundùm ea quæ priùs declarata sunt, in eorum Cœmeteria introire. Scriptum est;
1. Cor. 10. 29. *Ut quid libertas mea judicatur ab aliena conscientia?* Nisi fortè ex necessitate, ad venerandas solummodò sancti reliquias, introitus fiat.

Ἀπόκρισις.

Οὐ παραχωρεῖ ὁ κανὼν κατὰ τὰ προδηλωθέντα, εἰσιέναι εἰς τὰ κοιμητήρια αὐτῶν. γέγραπται· ἱνατί ἡ ἐλευθερία μου κρίνεται ὑπὸ ἄλλης συνειδήσεως; εἰ μή τι ἂν ἐξ ἀνάγκης, C κατὰ μόνον τὸ ἀσπάσασθαι τὸ τοῦ ἁγίου λείψανον, ἡ εἴσοδος γένοιτο.

Interrogatio VI.

De iis qui Monachalem habitum à contaminatis sacerdotibus acceperunt, quo modo recipi debeant?

Ἐρώτησις ς΄.

Περὶ τῶν λαβόντων τὸ μοναχικὸν σχῆμα ἐκ τῶν κοινωθέντων ἱερέων, πῶς τούτους δέχεσθαι δεῖ;

Responsio.

Post confessionem peccati ab ipsis factam, & pœnitentiam certi temporis,

Ἀπόκρισις.

Ὁμολογοῦντας ἡμαρτηκέναι, καὶ ἐπιτιμηθέντας χρόνῳ τινὶ, εἶτ' οὕτω δεχομένους

δεχομένους παρὰ σεσωσμένου πρεσβυτέρου, προσδεκτέον. A

Ἐρώτησις ζ.

Περὶ τῶν ὑπογραψάντων * μοναχικῶν καὶ κληρικῶν ἐν τῇ αἱρέσει, πῶς χρὴ τούτους δέχεσθαι, χωρὶς ἐπιτιμίου, ἢ μετ' ἐπιτιμίου, ἐὰν ὁμολογήσωσι μηκέτι ἐνεργεῖν ἐν τῇ ἱερατείᾳ; καὶ εἰ ἔξεστιν ἡμῖν, διδόναι ἐπιτίμιον τοῖς τοιούτοις;

Ἀπόκρισις. B

Δηλονότι μετὰ τῶν πρεπόντων ἐπιτιμίων. οὕτω γὰρ σὺν καρποὺς τῆς μετανοίας ἐπιδεικνύμενοι, εἶεν ἂν ἄξιοι συναφθῆναι τῷ ὀρθοδόξῳ σώματι. διδόναι δὲ ὑμᾶς ἐπιτίμιον τοῖς τοιούτοις, οὐκ ἀποκριτέον. γέγραπται γάρ· ἀλλήλων τὰ βάρη βαστάζετε.

Ἐρώτησις η.

Περὶ τῶν μοναχῶν τῶν ἀδιαφόρως παραβαλλόντων τοῖς τυχοῦσι καὶ συνευχομένοις καὶ συνεσθίουσιν αὐτοῖς, εἰ χρὴ δέχεσθαι σὺν τοιούτοις εἰς * συνεστίασιν καὶ ψαλμῳδίαν; C

Ἀπόκρισις.

Τοῦ ἀποστόλου λέγοντος· στέλλεσθαι ὑμᾶς ἀπὸ παντὸς ἀδελφοῦ ἀτάκτως περιπατοῦντος, καὶ μὴ κατὰ παράδοσιν ἣν παρέλαβε παρ' ἡμῶν· καὶ πῶς οὐχὶ καὶ ἀφ' ἑαυτῶν τὸ καλὸν κρίνετε; εἰ μὲν οὖν ἀπόσχοιντο τῆς ἐφαμάρτου συνηθείας, καταδεχόμενοι

A sic postea à Presbytero integro, nec lapso susceptos, admittere debemus.

Interrogatio VII.

De Monachis & Clericis qui Hæresi subscripserunt, quo pacto recipiendi sint, cum pœnitentia imposita, vel absque ea, si professi fuerint se non ampliùs sacra munia obituros? Et an liceat nobis, censuram pœnitentiæ talibus dare? *f. μοναχῶν*

B *Responsio.*

Scilicet recipiendi sunt, cum convenientibus pœnis. Ita enim fructibus pœnitentiæ exhibitis, digni erunt qui Orthodoxo corpori adnectantur. Nos autem hujusmodi hominibus imponere pœnitentiam, non est reprobandum. Scriptum enim est; *Alter alterius onera portate.* *Gal.* VI. 2.

Interrogatio VIII.

De Monachis promiscuè convenientibus cum quibuslibet C qui occurrunt, unàque cum ipsis orant & comedunt, an eos oporteat ad convivium & Psalmodiam suscipere? *MS. semper συνεσ.*

Responsio.

Cùm Apostolus dicat; *Ut subtrahatis vos ab omni fratre ambulante inordinatè, & non secundum traditionem quam accepit à nobis;* & quo modo non ex vobis ipsis quod bonum est judicatis? Si ergo à vitiosa consuetudine destiterint, II. Thess. III. 6.

A acceperintque convenientem pœnitentiam, admittendi sunt. Observare autem oportet quinam sint quos vocatis quoslibet occurrentes, num Hæretici, aut palam vitæ culpatæ. De iis ait Apostolus; *Si quis frater nominatus est fornicator, aut avarus, aut Idolis serviens*, & quæ sequuntur; *cum ejusmodi nec cibum sumere.*

1. Cor. v. 11.

καὶ ἐπιτιμίαν τὴν προσήκουσαν, δεκτέοι. ἐπιτηρητέον δὲ τίνες εἰσὶν οὓς φατε τυχόντας, ἆρα αἱρετικοὶ, ἢ προδήλως κατεγνωσμένοι ἐπὶ τῷ βίῳ. περὶ τούτων φησὶν ὁ Ἀπόστολος· ἐάν τις ἀδελφὸς ὀνομαζόμενος πόρνος, ἢ πλεονέκτης, ἢ εἰδωλολάτρης, καὶ τὰ ἑξῆς, τῷ τοιούτῳ μηδὲ συνεσθίειν.

Interrogatio IX.

De Presbyteris qui semel aut bis cum Hæreticis manducaverunt, non tamen communicaverunt vel subscripserunt, sint ne ad communem cibum & Psalmorum cantum recipiendi, absque consignatione, vel cum consignatione?

Ἐρώτησις θʹ.

B Περὶ τῶν πρεσβυτέρων τῶν βεβρωκότων μετὰ αἱρετικῶν ἅπαξ καὶ δὶς, καὶ μὴ κοινωνησάντων ἢ ὑπογραψάντων, εἰ χρὴ τούτους δέχεσθαι εἰς συνεστίασιν καὶ ψαλμῳδίαν, χωρὶς σφραγῖδος ἢ μετὰ σφραγῖδος;

Responsio.

Animadvertendum in istis est, an sacerdotes qui manducaverunt, cum Hæreticis sacerdotibus vel Laicis comederint, & planè si cum iis qui rectè quidem sentiebant, cum Hæreticis verò communicabant. Majus autem est crimen, in sacratis. Condigna tamen cum pœnitentia utrosque admittere oportet; at recipere ad communionem nostram cum consignationibus aliisque precibus.

Ἀπόκρισις.

Ἐπὶ τῶν τοιούτων τηρητέον, εἰ οἱ βεβρωκότες ἱερεῖς, μετὰ ἱερέων αἱρετικῶν ἢ λαϊκῶν ἔφαγον, καὶ ὁμολογούμενον, εἰ ὀρθοφρονούντων μὲν κοι-C νωνούντων δὲ τοῖς αἱρετικοῖς. μεῖζον δὲ τὸ κρίμα, ἐπὶ τῶν ἱερωμένων. μετανοίᾳ δὲ ἀξιολόγῳ προσδεκτέον ἑκατέρους. κοινωνῆσαι δὲ χρὴ αὐτοῖς ἄλλων τε προσευχῶν καὶ σφραγίδων.

Interrogatio X.

De mundanis qui Hæresi subscripserunt & communicarunt, debentne illi sæculares cum sæcularibus Orthodoxis vesci?

Ἐρώτησις ιʹ.

Περὶ τῶν ὑπογραψάντων κοσμικῶν ἐν τῇ αἱρέσει καὶ κοινωνούντων, εἰ χρὴ σὺν τοιούτοις κοσμικοῖς, κοσμικοῖς ὀρθοδόξοις συνεσθίειν;

A

Ἀπόκρισις.

Ἡ ἀδιαφορία, τῶν κακῶν τὸ αἴτιον. ἀναμέσον γάρ φησι καθαροῦ καὶ βεβήλου οὐ διέστηκεν. χρὴ οὖν εἴπερ ζηλωταί εἰσιν ὀρθοδοξοῦντες, μὴ προσίεσθαι σὺν τοιούτοις εἰς συνεστίασιν, εἰ μὴ πρότερον ὑπὲρ τῆς πονηρᾶς ὑπογραφῆς ἐπιτιμηθεῖεν, εἶτα καὶ ἀπόσχοιντο τῆς αἱρετικῆς κοινωνίας. ἐπειδὴ δὲ κατὰ περίστασιν φεύγοντες τοὺς κινδύνους, χραίνονται τῇ αἱρετικῇ κοινωνίᾳ τινές, ὁμολογοῦντας τὴν περιπέτειαν καὶ μετανοοῦντας προσδεκτέον εἰς συνεστίασιν, καὶ τοῦτο οὐκ ἀδιαφόρως, ἀλλὰ κατὰ σύμβασίν τινα περιστατικήν, καὶ φέρουσαν ἐντεῦθεν κέρδος ἀμφοτέροις, ἀλλ᾽ οὐ ζημίαν ψυχικήν.

Responsio.

Promiscuus usus, malorum caussa est. Ait enim; *Intermundum & profanum non distinxit.* Ezech. XXII. 26. Debent ergo, si Orthodoxiæ Zelo exardescant, non admittere eos ad communem cibum, nisi antea pro mala subscriptione ad pœnitentiam redacti fuerint, seque sejunxerint à communione Hæretica. Quia verò nonnulli ex necessitate, pericula dum fugiunt, Hæretica communione

B

polluuntur; hos confitentes improbitatem, & pœnitentiam agentes ad convictum recipere oportet; id tamen non indiscriminatim, sed per quamdam consensionem opportunam, quæque inde utrisque afferat emolumentum, non autem detrimentum animæ.

Ἐρώτησις ια'.

Περὶ τῶν θελόντων βαπτισθῆναι, ἐὰν μὴ εὑρέθη ὀρθόδοξος πρεσβύτερος, ἢ ἄμεμπτος, εἰ χρὴ βαπτισθῆναι ὑπὸ τῶν κοινωθέντων ἱερέων, ἢ ἀκηρύκτων, μάλιστα ἐὰν θάνατος κατεπείγῃ.

Interrogatio XI.

De iis qui volunt baptizari, si inventus non fuerit Orthodoxus Presbyter, aut inculpa-

C

tus, debentne baptismum suscipere à sacerdotibus contaminatis, vel non proclamatis, præsertim urgente morte?

Ἀπόκρισις.

Τύπος τοιοῦτος ἐξεφωνήθη ἐνταῦθα παρά τε ὁμολογητῶν ἱεραρχῶν τε καὶ καθηγουμένων, τοὺς εἰρημένους πρεσβυτέρους παύεσθαι μὲν τῆς λειτουργίας διὰ τὴν αἱρετικὴν κοινωνίαν, συγχωρεῖσθαι δὲ μὴ εὑρισκομένου ἱερέως,

Responsio.

Hujusmodi decretum hic promulgatum est à confessoribus Episcopis & Monasteriorum præpositis; dictos quidem Presbyteros propter Hæreticam communionem; à ministerio suo desistere; iis tamen concedi, non invento sacerdote,

tum baptizare, tum ſacramenta tradere quæ priùs per ſacerdotem culpæ non affinem fuerint conſecrata: item habitum Monachi dare, precem facere in exſequiis, Evangelium in Matutinis recitare, aquam Theophaniorum benedicere, ut dictum eſt, in neceſſitate, ne populi omnino priventur auditione Evangelii & baptiſmi illuminatione. Si ergo vobis quoque placet, eadem forma illo loci etiam obtineat.

A καὶ βαπτίζειν, καὶ μεταδιδόναι τῶν ἁγιασμάτων, προτετελεσμένων ἐξ ἀκρατήτου ἱερέως, σχῆμά τε διδόναι μοναχοῦ, εὐχήν τε ποιεῖν ἐπὶ ἐκκομιδῇ, εὐαγγέλιόν τε ἐκφωνεῖν ἐπ' ὄρθρου, καί γε τῶν θεοφανίων ὕδωρ εὐλογεῖν, ὡς εἴρηται κατὰ περίστασιν, διὰ τὸ μὴ ἐναπομένειν τοὺς λαοὺς παντάπασιν ἀνηκόους τοῦ εὐαγγελίου, καὶ ἀφωτίστους. εἰ οὖν συναρέσκει καὶ ὑμῖν, κρατείτω ὁ τοιοῦτος τύπος καὶ ἐν τοῖς αὐτόθι.

Interrogatio XII.

B De iis qui Schiſma ſeu diſciſſionem fecerunt, & ad pœnitentiam confugiunt, licetne imponere talibus pœnam, aut eos recipere?

Ἐρώτησις ιβʹ.

Περὶ τῶν ἀποσχισάντων, καὶ μετανοίᾳ προσερχόντων, εἰ ἔξεστι τοῖς τοιούτοις ἐπιτιμίαν διδόναι, ἢ δέχεσθαι αὐτούς;

Reſponſio.

Jam in ſuperioribus declaratum eſt, imponi oportere; unde ſuperfluum eſt idem repetere.

Ἀπόκρισις.

Ἤδη ἐν τοῖς ἀνωτέρω προδεδήλωται, ὅτι χρὴ διδόναι· καὶ παρέλκον, τὸ αὐτὸ ἐπικυκλεῖν.

Interrogatio XIII.

C Si Epiſcopus in crimen lapſus, à Synodo depoſitus fuerit, poſtea tamen ordinaverit Presbyterum, idemque Presbyter in Monaſterio conſiſtens, à ſuo patre pœnitentiam acceperit jam à longo tempore, ac deinceps ſacerdotium exercuerit, an ejuſmodi ſacerdotem, aliunde inculpatum, ſuſcipere oporteat petimus.

Ἐρώτησις ιγʹ.

Ἐὰν ἐπίσκοπος ἐν ἐγκλήματι περιπεσὼν ὑπὸ συνόδου καθαιρεθείη, εἶτα πάλιν χειροτονήσῃ πρεσβύτερον, ὁ δὲ αὐτὸς πρεσβύτερος ἐν μοναστηρίῳ διαγινόμενος, ὑπὸ τοῦ ἰδίου πατρὸς δέξηται ἐπιτιμίαν περὶ χρόνων, καὶ μετὰ ταῦτα ἐνεργῇ ἐν τῇ ἱερωσύνῃ, εἰ χρὴ δέχεσθαι τὸν τοιοῦτον ἱερέα, εἰ ἀνέγκλητός ἐστι, δεόμεθα.

A

Ἀπόκρισις.

Περιφανοῦς οὔσης τῆς ἀτοπίας, οὐδὲ ἐπερωτῆσαι ὑμᾶς ἐχρῆν περὶ τοῦ τοιούτου ἐγκλήματος. εἴρηκε γὰρ ὁ κύριος· οὐ δύναται σαπρὸν δένδρον, καρπὸν καλὸν ποιεῖν. οὐχ ὅτι ὑπὸ τοῦ ἰδίου ἡγουμένου, ἀλλὰ κἂν ὑπὸ ἁγίου τινὸς ἐπιτιμηθεὶς ὁ τοιοῦτος ἀπολέλυται τοῦ λειτουργεῖν. οὔτε γὰρ αὐτὸς ἱερεὺς, οὔτε ὁ λύσας ἅγιος. ἐπεὶ οὕτω, παρατραπήσεται πάντα τὰ κανονικὰ παραγγέλματα καὶ οἰχήσεται. B

Ἐρώτησις ιδʹ.

Περὶ τῶν πρεσβυτέρων τῶν ἀπὸ ὀρθοδόξων χειροτονηθέντων, μὴ ὑπογραψάντων δὲ μηδὲ κοινωνησάντων, συμφαγόντων δὲ μόνον μετὰ Κωνσταντίνου τοῦ μητροπολίτου.

Ἀπόκρισις.

Ἐν τοῖς ἀνωτέρω παραπεδόθη ὁ περὶ τούτου λόγος. εἴτε οὖν μετὰ Κωνσταντίνου, εἴτε μεθ' οἱουδήποτε τῶν ἑτεροδόξων ἡ συνεστίασις γέγονε, μετανοίᾳ ἀξιολόγῳ ὁ συνεστιαθεὶς, τοῦ ἐγκλήματος ἀπολέλυται, οὐ μόνον πρὸς συνεστίασιν τῶν πεφυλαγμένων, ἀλλὰ καὶ πρὸς ἣν ἠξιώθησαν ἱερωσύνην. τὸ δὲ μέτρον τοῦ ἐπιτιμίου, οὐ δυνατὸν ὡρισμένως ὑποβάλλειν, διὰ ποιότητα καὶ προσώπου καὶ τρόπου, ὥστε ἐν δυσὶ ἢ τρισὶ τεσσαρακοσταῖς ἀρκεῖσθαι τὸν ἐπιτιμηθέντα. C

Responsio.

Cùm aperta ſit abſurditas; neque oportuit vos de hujuſmodi crimine interrogationem facere. Dixit quippe Dominus; *Non poteſt arbor mala bonum fructum facere.* Non quia per proprium præpoſitum, ſed nec ſi per quempiam ſanctum, pœnitentiam ille accepit, ideo ſolutus eſt ut miniſterium ſuum exerceat. Neque enim ipſe ſacerdos eſt, neque qui ſoluit, eſt ſanctus. Quoniam ſic omnia canonica decreta ſubvertentur ac peſſum ibunt.

Matt. vii. 18. Luc. vi. 43.

Interrogatio XIV.

De Preſbyteris qui ab Orthodoxis ordinati ſunt, & neque ſubſcripſerunt, neque communicarunt, ſed comederunt dumtaxat unà cum Conſtantino Metropolita.

Reſponſio.

Superiùs hac de re ratio jam reddita eſt. Sive igitur cum Conſtantino ſive cum quolibet ex Heterodoxis cibus communis ſumptus ſit, qui ſumpſit, à crimine per pœnitentiam ſolvitur; non modò ut cum iis qui ſe abſque culpa conſervarunt, manducet, ſed etiam ut in ſacerdotio quo donatus fuit maneat. Modum autem cenſuræ non poſſumus definitè ſubjicere, ob qualitatem perſonæ & morum; ita ut duabus vel tribus quadrageſimis punitum eſſe ſufficiat.

A

Interrogatio XV.

Similiter de Presbyteris per Orthodoxos ordinatis, qui per ignorantiam accubuerunt mensæ cum Presbyteris qui cum eodem Metropolitano cibum sumpserant.

Ἐρώτησις ιε'.

Περὶ πρεσβυτέρων ὁμοίως, ὑπὸ ὀρθοδόξων χειροτονηθέντων καὶ κατὰ ἄγνοιαν συμφαγόντων μετὰ πρεσβυτέρων βεβρωκότων μετὰ τοῦ αὐτοῦ μητροπολίτου.

Responsio.

Levit. xv. Scriptum est; *Omne quod in ignorantia, mundabitur.* Quocirca nulli pœnæ obnoxii sunt.

Ἀπόκρισις.

Γέγραπται· πᾶν τὸ ἐν ἀγνοίᾳ, καθαρισθήσεται. ὥστε ἀνένοχοί εἰσι παντὸς ἐπιτιμίου.

B

Interrogatio XVI.

De Presbyteris Orthodoxis, seu Hilarione, & Eustratio Monacho, habeantne potestatem dandi censuras pœnitentiæ?

Ἐρώτησις ις'.

Περὶ πρεσβυτέρων ὀρθοδόξων, ἤγουν Ἱλαρίωνος, καὶ Εὐστρατίου μοναχοῦ, ἂν ἔχωσιν ἐξουσίαν διδόναι τὰ ἐπιτίμια;

Responsio.

Et suprà jam dictum fuit, dare oportet. Quia verò Interrogatio præ se fert, an qui sacerdos non est, non invento Presbytero, dare debeat, juxta fidem accedentis; non est extra convenientiam, ut vel simplex Monachus multam imponat.

Ἀπόκρισις.

Προείρηται κἀν τοῖς ἀνωτέρω ὅτι χρὴ διδόναι. ἐπειδὴ δὲ ἐμφαίνει ἡ ἐρώτησις, εἰ δεῖ καὶ τὸν μὴ ἔχοντα ἱερωσύνην διδόναι κατὰ ἀπορίαν πρεσβυτέρου, καὶ πίστιν προσιόντος, οὐκ ἔξω τοῦ εἰκότος, καὶ τὸν ἁπλῶς μοναχὸν ἐπιτίμιον διδόναι.

C

Interrogatio XVII.

De Monacho qui sacrum habitum ex ignorantia sumpsit à Presbytero qui per depositum ordinatus fuit.

Ἐρώτησις ιζ'.

Περὶ μονάζοντος τοῦ λαβόντος τὸ ἱερὸν σχῆμα κατὰ ἄγνοιαν ἀπὸ πρεσβυτέρου χειροτονηθέντος ὑπὸ καθῃρημένου.

Responsio.

In alio capite dictum est;

Ἀπόκρισις.

Εἴρηται ἐν ἑτέρῳ κεφαλαίῳ,

ὅτι πᾶν τὸ κατ' ἄγνοιαν, καθαρισθήσεται· καὶ οὐκ ἐξὸν ἀποστρέφεσθαι τὴν μετὰ τοιούτου συνεστίασιν· καὶ ἐπὶ ἄλλων τῶν σύμβασιν ποιούντων ὁμοίως καὶ φιλίαν. A

Ταῦτά σοι μὲν ὡς συμψύχῳ καὶ συμπόνῳ ἡμεῖς κατὰ τὸ ἐφικτὸν ἀνεπτύξαμεν. αὐτὸς δὲ μεταδοίης ἀσφαλῶς τοῖς ἐπερωτήσασιν ἀδελφοῖς. οὐ γὰρ πάντων ἡ πίστις, οὐδὲ πολλοῖς ἔκφραστα τὰ τοιάδε, οὐ μόνον διὰ τὴν ἄνοιαν τῶν ἀνομησάντων, ἀλλὰ καὶ διὰ τοὺς πειρασμοὺς τῶν B κρατούντων. ἀνθ' ὧν δὲ οἱ εὐλαβέστατοι ἀπεστάλκασιν ἀποστόλων πολλῶν τε καὶ καλῶν, ἀμείψοιντο παρὰ θεοῦ τὴν ἀξίαν μισθαποδοσίαν, καὶ τάδε τὰ δύο μαλακίσκια εἰς ὑπόμνημα φιλίας. ἔρρωσθε ἐν κυρίῳ τιμιώτατοι, προσευχόμενοι ὑπὲρ ἡμῶν τῶν ἁμαρτωλῶν, τὰ κρείττονα καὶ ἐχόμενα σωτηρίας.

Omne quod per ignorantiam, mundabitur: nec licet aversari communem cum isto cibum, neque alia consimiliter quæ conventionem & amicitiam pariunt.

Hæc quidem tibi tamquam unanimi & collaboratori nos pro viribus explicuimus. Tu verò tutè fratribus qui interrogaverunt tradito. *Non enim omnium est fides.* Neque pluri- II. Thess. III. 2.
bus hæc exposita sunt; non solùm propter amentiam eorum qui iniquè egerunt, sed & propter imperantium tentationes. Pro iis autem multis præclarisque muneribus quæ religiosissimi homines miserunt, recipiant dignam à Deo remunerationem, cum his duabus sportellis in amicitiæ monumentum. Valete in Domino, honoratissimi, pro nobis peccatoribus orantes meliora & saluti conjuncta.

ΤΩ ΚΑΘΗΓΗΤΗ ΤΩΝ C καθηγητῶν καὶ πνευματικῷ μου πατρὶ κυρῷ Λέοντι τῷ γραμματικῷ, καὶ ἀρχιεπισκόπῳ Καλαβρίας, Ἰωάννης πρεσβύτερος δοῦλος Ἰησοῦ Χριστοῦ ἀνάξιος.

DOCTORI DOCTORUM & spirituali patri meo, domino Leoni Grammatico, & Archiepiscopo Calabriæ, Iohannes Presbyter, indignus Iesu Christi servus.

Κληρικός τις ἔγημε γυναῖκα, διδάσκαλε, καὶ πρὶν ἢ συνοικῆσαι αὐτὸν τῇ γαμετῇ, βούλεται χειροτονη-

QUidam Clericus uxorem duxit, magister, & antequam cum ea habitet, vult

Presbyter ordinari, exspectans ut postquam ordinatus fuerit illam devirginet. An itaque id liceat, mihi indica. Rem enim absurdam esse reputans servus tuus, ausus sum ad te scribere.

A θῆναι πρεσβύτερος, ἐκδεχόμενος μετὰ τὴν χειροτονίαν ἐκπαρθενεῦσαι αὐτήν. εἰ οὖν ἔξεστι τοῦτο, δήλωσόν μοι. ἄτοπον γὰρ αὐτὸ λογισάμενος ἐγὼ ὁ δοῦλός σου, ἐτόλμησα γράψαι σοι.

Responsum Leonis Grammatici, & Archiepiscopi Calabriæ.

Ἀντίγραμμα Λέοντος γραμματικοῦ, καὶ ἀρχιεπισκόπου Καλαβρίας.

Leo humilis, Grammaticus, & Archiepiscopus Calabriæ, Johanni spirituali fratri, ac Domini sacerdoti.

Λέων ὁ ταπεινὸς, γραμματικὸς, καὶ ἀρχιεπίσκοπος Καλαβρίας, Ἰωάννῃ τῷ πνευματικῷ ἀδελφῷ, καὶ ἱερεῖ κυρίου.

B

IS qui puellam virginem in sponsam accepit, sicut scripsisti, sancte fili, & postquam ordinatus fuerit, vult eam devirginare, nihil aliud exhibet quàm se occultum fornicatorem, vel uxorem suam suspectam ut antea constupratam. Et si ipse quidem Christo pollicitus est se in virginitate victurum, quid necesse fuit cum virgine copulari? Nam etiam absque muliere, poterat virgo manens ordinatione donari. C Sin verò propter naturæ imbecillitatem atque affectuum incoercibile agmen, illam sibi junxit, priùs cum ea legitimè concumbat, ac deinde ordinetur. Mulieris enim patefactâ virginitate, tamquam unius uxoris vir, ad sacerdotii formidabilissimum gradum promovebitur.

Ὁ παρθένον κόρην ὁρμασάμενος, καθὰ γέγραφας, τέκνον ἅγιον, καὶ μετὰ τὴν χειροτονίαν, ταύτην ἐκπαρθενεῦσαι βουλόμενος, οὐδὲν ἕτερον ἢ κλεψίγαμον ἑαυτὸν παρίστησιν, ἢ τὴν ἑαυτοῦ γυναῖκα ὕποπτον, ὡς προεκπορνευθεῖσαν. καὶ εἰ μὲν Χριστῷ συνέθετο παρθενεύειν αὐτὸς, τίς χρεία τῆς πρὸς παρθένον αὐτῷ συναφείας; καὶ χωρὶς γὰρ γυναικὸς, ἠδύνατο παρθενεύων χειροτονίας ἀξιωθῆναι. εἰ δὲ διὰ τὸ τῆς φύσεως ἀσθενὲς καὶ τὸν ἀκατάσχετον ἑσμὸν τῶν παθῶν, ὡρμάσατο ταύτην, συγγινέσθω πρότερον * αὐτὴν νομίμως, καὶ τότε χειροτονείσθω. καταδήλου γὰρ τῆς παρθενίας αὐτῆς γινομένης, ὡς μιᾶς γυναικὸς ἀνὴρ, εἰς τὸν τῆς ἱερωσύνης φρικωδέστατον βαθμὸν ἀναχθήσεται.

* l. αὐτῇ

ΙΩΑΝΝΟΥ

ΙΩΑΝΝΟΥ ΜΟΝΑΧΟΥ A
καὶ πρωτασηκρῆτις τοῦ Ζωναρᾶ κανὼν εἰς τὴν ὑπεραγίαν θεοτόκον· οὗ ἡ ἀκροστιχίς· ὕστατος ἦχος ὕστατον πλέκει μέλος.

Ἦχος πλ. δʹ. Ἁρματηλάτην φαραώ.

Ἄρειος.

Υπεραγία ἡ θεὸν κυήσασα τὸν συμφυῆ τῷ πατρὶ, μονογενῆ B λόγον, σύγχρονον, ὁμότιμον· κἂν ὁ παράφρων Ἄρειος κτίσμα τοῦτον ἐφεύρει, πατρὸς οὐσίας ἀλλότριον· τοῦτον ἐκδυσώπει σωθῆναι ἡμᾶς.

Σαβέλλιος.

Σὺ ὑπεδέξω ἐν γαστρὶ, παντάνασσα, τρισυποστάτου μιᾶς, ὡς ἀληθῶς ἕνα, τὸν υἱὸν, θεότητος· κἂν Σαβέλλιος σύγχυσιν ἀσεβῶς ἐννοήσας, εἰς ἓν συνῄρει τριώνυμον πρόσωπον τὴν θείαν τριάδα κακῶς. C

Μακεδόνιος.

Τὸ ἐπὶ σοὶ ἐπισκίασαν, ἄχραντε, ἄκτιστον πνεῦμα θεοῦ, ὁμοφυὲς λόγῳ καὶ πατρὶ δοξάζομεν, αὐτοῦ ἐκπορευόμενον· Μακεδόνιον * πάντες ληρεῖν ἀφέντες τὸν λέγοντα, κτίσμα τι καὶ ποίημα εἶναι αὐτό.

A *IOHANNIS ZONARÆ Monachi & primi à secretis, in sanctissimam Deiparam Canon; cujus acrostichis significat; Postremus tonus postremum adotnat melos.*

Tonus obliquus 4. Aurigam Pharaonis.

Arius.

Sanctissima quæ Deum peperisti, ejusdem cum Patre naturæ, unigenitum Verbum, coævum, patis honoris; etiamsi insanus Arius eum creaturam esse lenserit, à Patris substantia alienum; illum ut salvi fiamus exora.

Sabellius.

Tu suscepisti in utero, omnium regina, unius divinitatis tres habentis hypostases verè unum, Filium; etiamsi Sabellius confusione impiè excogitatâ, in unam trium nominum personam improbè Trinitatem contraxerit.

Macedonius.

Qui te obumbravit, Immaculata, Spiritum Dei increatum, Verbo & Patri consubstantialem glorificamus, ab hoc procedentem; Macedonium * *Int. mittens* cuncti delirare sinentes; qui dicit eum esse creaturam & facturam.

Apollinaris.

De cœlo descendens Dominus in tuum uterum, casta virgo, & carnem assumens, mentis & animæ participem, nostram salvavit naturam. Ploret autem atque pœnas luat qui ait animam sine mente creatam esse Dominum, amens videlicet Apolinarius.

* Int. τ̃ κυρίου

Ode 3. Cœlestis fornicis culmen.

Nestorius.

Ei qui te verè Deigenitricem non dicit, cum Nestorio pars sit, cunctorum regina; qui Christum hominem purum esse decernens, te Christigenitricem aiebat, quæ es Deipara.

Marcion.

Deus qui è tuis sanguinibus carnem assumpsit, Domina, non solâ opinione, juxta Marcionem, impium, duoque principia insanè introducentem, ovile tuum fide confirmet suâ.

* Int. τινάς

Eunomius.

Tuis supplicationibus, ô Virgo, tuum ovile libera è suppliciis æternis, quæ impiissimè, velut indulgentissimus, Eunomius ad comminationem solo figmento conscripta esse delirabat.

Ode 4. Tu mea fortitudo, Domine, tu mei &

Eutyches.

Eutychis puerili stultaque mente præditi Hæresis, unam naturam affirmabat in Christo post unionem: corpus Ille, ô

A

Ἀπολινάριος.

Ἀπ' οὐρανοῦ συγκαταβὰς ὁ κύριος ἐν σῇ νηδύϊ, ἁγνή, καὶ προσλαβὼν σάρκα ἔννουν τε καὶ ἔμψυχον, ἡμῶν τὴν φύσιν ἔσωσεν. οἰμωζέτω δὲ ὁ ἄνουν ψυχὴν κτισθῆναι * τὸν κύριον λέγων, δὴ ὁ ἄνους Ἀπολινάριος.

Ὠδὴ γ'. Οὐρανίας ἀψίδος ὀροφουργέ.

Νεστόριος.

B

Τῷ μή σε θεοτόκον ὡς ἀληθῶς λέγοντι, μετὰ Νεστορίου ὁ κλῆρος εἴη, παντάνασσα· ὅστις ψιλὸν τὸν Χριστὸν καὶ βροτὸν χρηματίζων, Χριστοτόκον ἔλεγε τὴν θεοτόκον σε.

Μαρκίων.

Ὁ ἐκ τῶν σῶν αἱμάτων σάρκα λαβὼν, δέσποινα, θεὸς, οὐ δοκήσει κατὰ Μαρκίωνα τὸν ἀσεβῆ, καὶ ἀρχὰς εἰσαγαγόντα ἀφρόνως τὰς * δισσάς, τὸ ποίμνιόν σου πίστει στηρίξοι τῇ αὐτοῦ.

Εὐνόμιος.

C

Σαῖς λιταῖς ὦ παρθένε, ῥῦσαι τὸ σὸν ποίμνιον ἐκ τῶν αἰωνίων βασάνων, ἃς ἀσεβέστατα, ὡς ἐμπαθέστατος, πρὸς ἀπειλὴν ἐληρώδει συγγεγράφθαι πλάσματι μόνῳ, Εὐνόμιος.

Ὠδὴ δ'. Σύ μου ἰσχὺς, κύριε, σύ μου καὶ

Εὐτύχης.

Ἡ Εὐτυχοῦς αἵρεσις τοῦ νηπιόφρονος, μίαν φύσιν ἔλεγε μεθ' ἕνωσιν ἐπὶ Χριστοῦ· σῶμα, ὦ

παρθένε, ὃ κύριος προσελάβετο, φυρᾶς ἡμῶν οὐσίας μὴ φρονῶν σὺν Σεβήρῳ· ὧν τὴν δόξαν ἡμεῖς διαπτύομεν.

A Virgo, quod Dominus assumpsit, unius nobiscum esse substantiæ nequaquam sentit cum Severo; quorum opinionem nos despuimus.

Μάνης.

Χεὶρ ἡ τῆς σοῦ, ἄχραντε, τέκνου με ἔπλασεν· ὃς καὶ κόσμον ὅλον συνεστήσατο· εἰ καὶ μανεὶς Μάνης τὰς διττὰς ἀρχὰς ἐπεισῆγε, θεούς τε δύο ἐδίδασκεν· ἀγαθὸν μὲν τὸν ἕνα, πονηρὸν δὲ τὸν ἄλλον· καὶ τὴν κτίσιν αὐτοῖς συνεμέριζεν.

Manes.

Manus tui, Immaculata, filii formavit me, qui & universum mundum constituit; quamvis furens Manes duo introduxerit principia, duosque Deos docuerit; unum quidem bonum, alterum verò malum; & creaturas ipsis dispertitus fuerit.

Ὁ αὐτός.

Οὗτος, ἁγνή, ἄθλιος, ὃς καὶ τὴν σάρκωσιν τοῦ υἱοῦ σου εἴρηκεν ἐν σχήματι, οὐκ ἀληθῆ ταύτην οἰηθείς, καὶ παθεῖν δοκήσει αὐτὸν ἀθέως ἐδίδασκε, μίαν φύσιν εἰσάγων, τῆς θεότητος μόνης. τῆς μανίας οὖν τούτου ῥυσθείημεν.

B *Idem.*

Iste, ô pura, miser, qui & filii tui incarnationem in figura fuisse affirmavit, nec veram esse arbitratus, eumque opinione dumtaxat passum esse docuit impiè, unam introducens naturam, solius divinitatis. Ab hujus igitur furore liberemur.

Ἀπολινάριος.

Σῶμα Χριστοῦ ἄψυχον ἔλεγεν * Ἀπολινάριος, ὡς ἀρκούσης τούτῳ τῆς θεότητος ἀντὶ ψυχῆς· σπουδάζων δολερῶς, ὅσα ἀνθρωπίνως ὁ λόγος ἔλεγε ῥήματα, θεότητι προσάπτειν, ἵνα δείξῃ ἐλάττω τὸν υἱὸν τοῦ πατρός, ὦ παντάνασσα.

Apolinarius.

Corpus Christi inanimatum affirmabat Apollinaris, cuique C sufficeret divinitas in animæ locum: studens ipse dolosè sermones quos humano more protulit Verbum, divinitati accommodare, ut Filium Patre minorem ostenderet, ô omnium regina.

* Int. Ἄρειος

Ὠδὴ ε'. Ἱνατί με ἀπώσω ἀπὸ τοῦ προσώπου.

Ode 5. Quare me repulisti à facie.

Ὠριγένης.

Ὑποδίκου κολάσει ὄντι αἰωνίᾳ * με, κόρη, βοήθησον. τὴν γὰρ Ὠριγένους οὐ προσδέχομαι δόξαν διδάσκοντος,

Origenes.

Sontem pœnæ æternæ, Virgo, adjuva me. Neque enim Origenis opinionem suscipio, qui terribilia Inferni supplicia

* l. μοι

docet esse temporaria, ad purgationem delictorum.

χρονικὰ τυγχάνειν εἰς καθαρμὸν ἁμαρτημάτων τὰ ἐκεῖθεν φρικτὰ κολαστήρια.

Didymus. Evagrius.

Cum Didymo rursum docet Evagrius animarum præexsistentiam, ex Origene acceptâ absurdâ opinione. At nobis pium dogma conservetur illæsum, tuis intercessionibus, regina omnium.

Δίδυμος. Εὐάγριος.

Σὺν Διδύμῳ διδάσκει πάλιν ὁ Εὐάγριος ψυχῶν προΰπαρξιν, ἐκ τῶν Ὠριγένους τὴν ἀλλόκοτον δόξαν δεξάμενοι. ἀλλ' ἡμῖν τὸ δόγμα τὸ εὐσεβὲς συντηρηθείη, ταῖς πρεσβείαις παντάνασσα, ἄτρωτον.

Iidem.

Eorumdem sententia est, rursum & Dæmones restitutionem in pristinum statum accepturos, atque homines qui nefaria commiserint, cum Angelis etiam completuros unitatem, quam insana mente fabulantur.

Οἱ αὐτοί.

Τῶν αὐτῶν ἐστὶ δόγμα, αὖθις καὶ τοὺς δαίμονας ἀποκατάστασιν μέλλειν εἰληφέναι, καὶ ἀνθρώπων τοὺς ἄτοπα πράξαντας, καὶ μετὰ ἀγγέλων ἀναπληρῶσαι τὴν ἑνάδα, ἣν μυθεύονται γνώμῃ κακόφρονι.

Ode 6. Propitius esto mihi Salvator.

Ὠδὴ ς'. Ἱλάσθητί μοι σωτήρ.

Marcio.

Resurrectionem mortuorum impiè negabat Marcio; baptisma verò triplex lapsis dabat. Verùm nos unum baptisma, pariterque resurrectionem, Dei mater, edocti sumus.

Μαρκίων.

Ἀνάστασιν ἀσεβῶς νεκρῶν Μαρκίων οὐκ ἔλεγε· καὶ βάπτισμα τρισσὸν ἐδίδου τοῖς πίπτουσιν. ἀλλ' ἡμεῖς ἓν βάπτισμα, καὶ ἀνάστασιν δὲ, θεομῆτορ, δεδιδάγμεθα.

Novatus.

Semitas mihi, ô veneranda, dirige ad pœnitentiam, quam Novatus nobis denegabat labentibus & post baptismum, hoc ratus præter dignitatem bonitatis Dei.

Ναυάτος.

Τὰς τρίβους * μοι, ὦ σεμνὴ, κατεύθυνον πρὸς μετάνοιαν, ἣν ὁ Ναυάτος ἡμῖν ἠρνεῖτο τοῖς πταίουσιν καὶ μετὰ τὸ βάπτισμα, * ἀναξίως τοῦτο οἰηθεὶς φιλανθρωπίας θεοῦ.

* Int. μου

* Int. ἀνάξιον

Encratitæ.

Qui nominantur Encratitæ, nuptias prohibent; iidemque animalium esum abominantur.

Ἐγκρατηταί.

Οἷς κλῆσις Ἐγκρατηταὶ, τὸν γάμον ἀπαγορεύουσι· καὶ τὴν ἐμψύχων αὐτοὶ τὴν βρῶσιν βδελύττονται.

A ἡμᾶς δὲ τοῖς δόγμασι τοῦ υἱοῦ σου πάντας στερεώσαις μητροπάρθενε.

Nos autem omnes in filii tui decretis firma, mater virgo.

Ὠδὴ ζʹ. Θεοῦ συγκατάβασιν.

Ode 7. *Dei demissionem.*

Μασσαλιανοί.

Νοὸς κυριεύειν δὴ τῶν ἀνθρώπων τὸν Σατανᾶν, ἀσεβῶς, καὶ ἐν τούτοις οἰκεῖν δὴ ἐνυποστάτως, Μασσαλιανοί φασι, τῆς πονηρίας τὰ πνεύματα, δέσποινα. σαῖς δὲ λιταῖς, κόρη, ὁ θεὸς ἐνοικησάτω ἡμῖν.

Messaliani.

Menti hominum dominari Satanam, nec non in eis habitare personaliter Spiritus nequitiæ, aiunt Massaliani, Domina. At supplicationibus tuis, Virgo, Deus habitet in nobis.

B

Οἱ αὐτοί.

Πνευμάτων ἐνέργειαν τῆς πονηρίας, τὸν Σατανᾶν τε ὁμοῦ, συνοικεῖν τῷ ἀνθρώπῳ, διδάσκειν τούτους, καὶ πνεῦμα τὸ ἀγαθὸν, ἐξ ἀφροσύνης μιγνύοντας ἄμικτα· τῆς βλασφημίας αὐτῶν ῥῦσαι ἡμᾶς, ἀγαθή.

Iidem.

Quòd pravorum Spirituum vim & operationem, ac Satanam, habitare in homine, simulque etiam Spiritum bonum, ii doceant, per insipientiam miscentes ea quæ misceri nequeunt: ab eorum blasphemia libera nos, ô bona. *Non habet Int.*

Οἱ αὐτοί.

Λαλοῦσιν οἱ ἄθεοι, τὰ χείρω φύσει παρομαρτεῖν τοῖς βροτοῖς· καὶ πρὸς τοῦτο δὲ δύο ψυχὰς κεκτῆσθαι· τὴν μὲν, ἀνθρώποις κοινήν· τὴν δ' αὖ ἑτέραν, οὐράνιον, ἄχραντε. σὺ δὲ ψυχῇ τῇ ἐμῇ δίδου αἱρεῖσθαι καλά.

C

Iidem.

Garriunt athei, deteriora naturâ comitari mortales; ac proinde duas possidere animas; unam hominibus communem, alteram rursus cœlestem, Immaculata. Sed tu animæ meæ tribue, ut bona eligat.

Οἱ αὐτοί.

Ἐκτρέπονται δέσποινα, τὴν ἐργασίαν τῶν χειρῶν, ὡς πιστοῖς μὴ ἁρμόζουσαν· Παύλου νομοθετοῦντος, μὴ δὲ ἐσθίειν ἄρτον. δυνατὸν δὲ τοῦ πνεύματος δέξασθαι, ὡς ἐν αἰσθήσει, φασί, καὶ τὴν ὑπόστασιν.

Iidem.

Aversantur, Domina, laborem manuum, velut qui fidelibus minimè congruat; cùm Paulus legem ferat, ut ne panem quidem manducent *qui nolunt operari*. Præterea Spiritûs sancti personam aiunt posse suscipi, quasi in sensu. *II. Thess. III. 10.*

A

Ode 8. Septuplò fornacem.

Aerius.

l. Ἀέριε

Pravè sentiens Aerius, non offerendum esse pro mortuis dictitabat. Neque enim ex hoc illos utilitatem ullam capere. Insanè etiam aiebat, non esse jejunandum quartâ & sextâ feriâ. Idemque circa fidem cum Ario consentiebat. Omnium regina, ab ejus impietate eripe me.

Paulus Samosatensis.

B Ex impiis autem Pauli Samosateni dogmatibus, Dei sponsa, gregem tuum exime. Nam Filium qui initii expers est cùm diceret esse verbum prolaticium, Deum verò opificem, Spiritum illo usum fuisse tamquam instrumento, malè sanciebat, eumdemque illum è tuo utero accepisse principium.

Sergius. Pyrrhus.

Sacratissimorum doctorum decreta secuti, duas voluntates, duplicemque operationem Christi agnoscimus; sinimusque cum Sergio Pyrrhum ac ejusdem opinionis cæteros delirare, Deigenitrix, qui insipienter dicunt carnem Domini expertem esse voluntatis, nec habere operationem.

C

Apelles.

Unicum principium prædicat quidem Apelles, ô regina omnium, unumque supremum

Ὠδὴ η'. Ἑπταπλασίως κάμινον.

Ἀέριος.

Κακῶς φρονῶν Ἀέριος, μὴ δεῖν προσφέρειν ἔλεγεν, ὑπὲρ τεθνεώτων· μηδεμίαν ὄνησιν ἐκ τούτων καρποῦσθαι γάρ· μηδὲ νηστεύειν ἔφασκε δεῖν ἐν τετράδι τε καὶ τῇ ἕκτῃ, ἀφρόνως. Ἀρείῳ περὶ πίστιν καὶ αὐτὸς ἦν ὁμόφρων. παντάνασσα, τῆς τούτου ῥῦσαί με ἀσεβείας.

Παῦλος Σαμοσατεύς.

Ἐξ ἀσεβῶν δογμάτων τῶν τοῦ Παύλου, θεόνυμφε, τοῦ Σαμοσατέως, ἐξελοῦ τὴν ποίμνην σου. υἱὸν τὸν προάναρχον προφορικὸν γὰρ λόγον εἰπών, καὶ δημιουργὸν τὸν θεόν, κακῶς πνεῦμα κεχρῆσθαι ὡς ὀργάνῳ ἐδογμάτιζε τούτῳ, ἐκ τῆς σῆς εἰληφέναι ἀρχὴν τοῦτον νηδύος.

Σέργιος. Πύῤῥος.

Ἱερωτάτων δόγμασι διδασκάλων ἑπόμενοι, δύο τὰς θελήσεις, καὶ διπλῆν ἐνέργειαν Χριστοῦ ἐπιστάμεθα· σὺν τῷ Σεργίῳ Πύῤῥον ληρεῖν, καὶ τοὺς ὁμοδόξους, θεοτόκε, ἰδόντες, τοὺς λέγοντας τὴν σάρκα τοῦ κυρίου, ἀφρόνως, ἀθέλητον ὑπάρχειν, ἐνέργειαν μὴ ἔχειν.

Ἀπελλῆς.

Μίαν ἀρχὴν κηρύττει μὲν Ἀπελλῆς, ὦ παντάνασσα· ἕνα τε

θεὸν ὁμολογεῖ ἀνώτατον· τὸν ἕνα δὲ ἕτερον πεποιηκέναι αὖθις, φησίν, ὃν ὡς πονηρὸν δημιουργὸν γεγενῆσθαι τοῦ κόσμου δογματίζει· πονηρὸς ὢν ἐκεῖνος, ἀχάριστόν τε κτίσμα, πυρὸς ἄξιον * μόνον.

A Deum confitetur; at rursus ait illum unum alterum creasse, quem & pravum mundi opificem fuisse constituit; cùm ipse pravus sit, ingrataque creatura, solo igne digna.

* Int. αἰωνίου

Ὠδὴ θ'. Ἐξέστη ἐπὶ τοῦτο ὁ οὐρανός, καὶ τὰ τῆς γῆς κατεπλάγη.

Ode 9. Obstupit cælum super hoc, & terra extrema *consternata sunt.*

Λέων ὁ Ἴσαυρος.

Εἰκόνων τὴν περιτίμησιν τῶν σεπτῶν ἀπεκώλυσε Λέων ὁ Ἴσαυρος· οὗτος ἀρχὴ τῶν Εἰκονομάχων γὰρ γεγονώς, σὸν χαρακτῆρα πάντιμον, καὶ τὸν τοῦ υἱοῦ σου τὸν τῆς σαρκὸς κατέασε, θεοτόκε, καὶ πάντων τῶν ἁγίων. ἐξ ἀσεβείας ἧς ῥυσθείημεν.

Leo Isaurus.

Venerandarum imaginum B cultum prohibuit Leo Isaurus. Hic enim origo Iconomachorum factus, tuum characterem omni honore dignum, illumque filii tui, in carne videlicet, & omnium sanctorum, dilaceravit, Deipara. A qua impietate liberemur.

Βογόμιλοι.

Λαὸν ὃν ἐλυτρώσατο σὸς υἱός, βδελυρᾶς ῥῦσαι, κόρη, αἱρέσεως νεοφανοῦς, τῆς τῶν Βογομίλων· οἵτινες φασὶ τὸ τοῦ ἀνθρώπου σῶμα μὲν μόνου πλάσμα εἶναι τοῦ πονηροῦ· ψυχὴν δὲ αὖ τυγχάνειν, θεοῦ ἐπουρανίου· κοινὸν δὲ ἀμφοῖν θεὸν οὐ λέγουσιν.

Bogomili.

Populum quem redemit filius tuus, Virgo, tuere ab exsecranda Hæresi recens orta, Bogo- C milorum: qui quidem docent hominis corpus solius Mali opus esse; at verò animam, cœlestis Dei; communem autem utriusque Deum non agnoscunt.

Οἱ αὐτοί.

Οὐκ εἶναι δογματίζουσι τὸν υἱόν, οὐδὲ πνεῦμα ἀρχῆθεν τὸ ἅγιον· ὕστερον δὲ γέννημα πατρὸς γενέσθαι υἱόν· υἱοῦ δὲ αὖθις γέννημα, πνεῦμα τὸ πανάγιον· σφαλερῶς. ἡμεῖς δὲ καὶ τὰ τρία

Iidem.

Nec Filium nec Spiritum sanctum ab initio esse docent; sed postea Patris genituram fuisse Filium; rursus autem Filii sanctissimum Spiritum genituram; falsâ sententiâ. Nos porrò tria

* Abest ab Int.

pariter initii expertia cognoscimus & adoramus, ô sponsa Dei.

A συνάναρχα νοοῦμεν καὶ προσκυνοῦμεν, θεονύμφευτε.

Itali.

Vide Int. Protege, Virgo, ovile tuum, atque averte à gravi Hæresi Italorum, qui in unica natura duo principia decernunt, duasque Spiritûs cunctorum opificis processiones ponunt, absurdè ac novè: à quorum errore nos libera.

Ἰταλοί.

Σκεπάσαις, ὦ παρθένε, ποίμνην τὴν σὴν, καὶ δεινῆς ἀποστήσαις αἱρέσεως τῶν Ἰταλῶν, δύο μὲν ἀρχὰς ἐπὶ τῆς μιᾶς δογματιζόντων φύσεως, πνεύματος διττὰς δὲ τοῦ παντουργοῦ λεγόντων ἐκπορεύσεις, ξένως καὶ ἀσυνήθως· ὧν τῆς πλάνης ἡμᾶς λύτρωσαι.



A

ΤΟΥ ΑΓΙΩΤΑΤΟΥ πατριάρχου Ἀντιοχείας κυροῦ Θεοδώρου τοῦ Βαλσαμὼν ἐπιστολὴ πρὸς τὸν ὁσιώτατον καθηγητὴν τῶν κατὰ τὸν Παπίκιον μοναστηρίων, μοναχὸν * κῦριν Θεοδόσιον, χάριν τῶν ῥασοφόρων.

Ὁ μέγας διδάσκαλος τῶν ἁγίων ἐκκλησιῶν τοῦ θεοῦ, καὶ θεοκήρυξ ἀπόστολος Παῦλος, ἔσο, φησὶν, εἰς τὸ ἀκοῦσαι ταχὺς, καὶ εἰς τὸ λαλῆσαι βραδύς. ἔδει οὖν καὶ τὴν ἡμῶν ταπεινότητα, πιστὲ δοῦλε θεοῦ, ἀκοὴν ὑποθέσθαι σοι μᾶλλον εὐγνώμονα, ἢ γλῶτταν ἀφιέναι τὰ ἐρωτηθέντα διδάσκουσαν. κἂν γὰρ χρίσματι χειροτονίας ἐχρίσθημεν ἐλέει θεοῦ, ἀλλ' ἐλαίῳ διδασκαλίας λιπαίνειν τοὺς μετόχους τῆς γῆς ταύτης ἐπετράπημεν· διὸ καὶ κατὰ τοὺς ἐν σκότει καὶ σκιᾷ καθημένους ἀγωνιάζομεν. ἐπεὶ δὲ τὸ μὲν διδάσκειν ὑπερορίους ἐπισκόπους, ἀπηγορεύεται· τὸ δὲ ἀπολογεῖσθαι περὶ ὧν ἐρωτῶνται, νενόμισται· τὰ χείλη γὰρ, φησὶν, ἡμῶν, παρ' ἡμῖν εἰσίν· ἀπεστείλαμέν σοι τὸν παρόντα παῖδα λόγον ἡμῶν, ἀπολογησόμενον πρὸς τὰς πεύσεις σου· μὴ πεποικιλμένον, ὡς ἔδει, μετὰ χρυσοπάστων ἱματισμῶν καὶ σοφιστικῶν κροσσωτῶν,

SANCTISSIMI Patriarchæ Antiocheni domini Theodori Balsamonis, ad sanctissimum Papicii Monasteriorum præpositum, Monachum dominum Theodosium, Epistola, De Rasophoris seu raso indutis. * Al. κῦρα

1. MAgnus sanctarum Dei Ecclesiarum doctor, & divinus præco Paulus Apostolus ait; *Sis velox ad audiendum, tardus autem ad loquendum.* Oportebat ergo, fidelis serve Dei, ut nostra tenuitas, tibi potiùs aurem benignam subjiceret, quàm linguam emitteret de interrogatis edocentem. Licèt enim per misericordiam Dei Chrismate ordinationis inuncti fuerimus, oleo tamen doctrinæ consortes terræ hujus impinguare commissum nobis est; unde & instar eorum qui in tenebris & umbra sedent conflictamur. Quia verò ut Episcopi extra provinciam positi doceant vetitum est; rationem autem reddere de iis de quibus interrogantur licet; *Labia* enim *nostra* inquit à *nobis sunt*; ad te misimus præsentem puerum, sermonem nostrum, qui satisfacturus sit ad quæstiones tuas, non variè ornatum, ut decuit, cum vestitu aurato, sophisticisque fimbriatis,

B

C

Imò Jac. 1. 19.

Ps. 11. 5.

ſed cum chlamydulis inſcitis, A & ſordidis: hujuſmodi quippe ordiri ſolet ac novit textorium externum. Itaque ſi ad interrogationem aliquid reſponderit aptum & conveniens, benevolè excipiatur; ſi verò imperitiam redolet, ad patrem qui genuit remittatur, quique juſtam averſationem præoccupavit.

11. Scripſiſti nobis, quoſdam ſancti Monaſterii tui Raſophoros, dum per tonſuram conſummari coguntur, dicere B quòd magnus Baſilius in quibuſdam ſuis Aſceticis præceptionibus definierit, ut qui Monachus futurus eſt, per triennium probetur, quo tranſacto, aut gratiam tonſuræ accipiat, aut recedat è Monaſterio & ad priorem Laicam vitam relabatur, receptis etiam indumentis quæ antequam ad Monaſterium accederet geſtabat: hæc enim in tuto loco conſervari juſſit. Cur ergo ante triennium cogimur tonſuræ onere premi? C Veriſimile eſt, intra illud nos ſententiam mutaturos, & vitæ auſteriori ac laborioſæ molliorem & labore carentem prælaturos, necnon exuturos Monachalem veſtitum, atque induturos purpureum auroque diſtinctum; ſed & carnem comeſturos, atque legitimè uxorem ducturos; ſi neceſſe autem fuerit, etiam militaturos, itemque cingula Imperatoriarum dignitatum aſſumpturos.

A ἀλλὰ μετὰ χλαμυδίων ἀμούσων καὶ ῥυπαρῶν· τοιαῦτα γὰρ οἶδεν ὑφαίνειν ἱστὸς ὁ ἐξώτερος. εἰ μὲν οὖν πρὸς τὴν ἐρώτησιν ἀπολογήσεταί τι προσφορον καὶ κατάλληλον, φιλοφροσύνης ἀξιωθήτω· εἰ δ' ἀμαθίας ἀπόζει, ἀντιστραφήτω πρὸς τὸν γεγεννηκότα πατέρα, τὴν δικαίαν ἀποστροφὴν προαρπάσαντα.

Ἔγραψας ἡμῖν, ὥς τινες ἐκ τῶν ῥασοφόρων τῆς κατὰ σὲ ἁγίας μονῆς, ἀναγκαζόμενοι τελειωθῆναι δι' ἀ-B ποκάρσεως, λέγουσιν ὡς ὁ μέγας Βασίλειος ἐν τισὶ τῶν ἀσκητικῶν διδασκαλιῶν αὐτοῦ διωρίσατο ἐπὶ τριετίᾳ, τὸν μονάσαι ὀφείλοντα, δοκιμάζεσθαι, καὶ μετὰ τὴν ταύτης παραδρομὴν, ἢ λαμβάνειν τὴν χάριν τῆς ἀποκάρσεως, ἢ ἀναχωρεῖν τῆς μονῆς, καὶ πρὸς τὴν προτέραν λαϊκὴν μεταπίπτειν διαγωγὴν, λαμβάνοντα καὶ ἃ πρὸ τοῦ προσελθεῖν τῇ μονῇ ἐνεδεδύσκετο ἄμφια· καὶ ταῦτα γὰρ ἐν ἀσύλῳ συντηρεῖσθαι παρεκελεύσατο. C ἵνα τί γοῦν πρὸ τῆς τριετίας, ἀναγκαζόμεθα τὸ βάρος ἐπιφορτισθῆναι τῆς ἀποκάρσεως; εἰκός ἐστιν ταύτης ἐντὸς μεταμεληθῆναι ἡμᾶς, καὶ τῆς τραχυτέρας ζωῆς τὴν μαλακωτέραν προτιμήσασθαι, καὶ τῆς ἐπιπόνου τὴν ἄπονον, καὶ ἀπεκδυθῆναι μὲν τὰ μοναχικὰ, ἐνδυθῆναι δὲ κογχυλόχροια καὶ χρυσόπαστα, ἀλλὰ μὴν καὶ κρεωφαγῆσαι, καὶ νομίμως συναφθῆναι γυναιξίν· εἰ δεήσοι δὲ, καὶ στρατολογηθῆναι, καὶ ζώνας περιβληθῆναι ἀξιωμάτων βασιλικῶν.

ἄφες οὖν τῆς προθεσμίας τὴν δωρεὰν A ἀκιβδήλευτον. ἴσως γὰρ παραδράμῃ μετὰ τῆς αὐτῆς εὐθυδρομοῦσα προθέσεως, καὶ στηρίξει τῆς ἐπαγγελίας τὴν εἴσπραξιν. εἰ δὲ κατεπείγεις τὴν δόσιν παρὰ τὰ δόξαντα, αὐτοὶ ἑαυτοῖς ἐκ μεταμέλου χαρισόμεθα τὴν ἀθώωσιν. ἄλλως τε τοὺς εὐλαβουμένους τὴν τελειότητα τοῦ χαρίσματος δέον ἐστὶ φιλοτιμεῖσθαι μᾶλλον καὶ μὴ κολάζεσθαι, εὐχαριστεῖσθαι καὶ μὴ τωθάζεσθαι, κηρύττεσθαι καὶ μὴ ἀποκηρύττεσθαι. ἡ μὲν γὰρ περὶ τὰ θεῖα B εὐλάβεια, συνίστησι πίστεως καθαρότητα· ἡ δ' ἐπ' αὐτοῖς πρόχειρος ἀνευλάβεια, ἀπιστίας παρίστησι κιβδηλότητα.

Εἶτά φασι, παλαιστὰς μὲν καὶ τοὺς ἄλλους ἀγωνιζομένους παγκράτιον, διὰ χρονικῆς προθεσμίας θέλεις γυμνάζεσθαι· τοὺς δὲ πένταθλον ἀναδεχομένους αἰσθήσεων, ἀβασανίστως προτρέπεις τῷ ἐξεναντίας συμπλέκεσθαι· καὶ μὴν τούτους μᾶλλον ἔδει μετὰ δοκιμασίας C εἰς τὸν ἀγῶνα τῆς ἀσκήσεως παραδέχεσθαι. ἐκεῖνοι μὲν γὰρ ὁρατοῖς ἀντιμάχονται, καὶ προόπτοις ἀγχεμάχοις ὑπαντιάζουσι, καὶ βαλλόμενοι βάλλουσι, καὶ ἀμύνονται ἀμυνόμενοι· οὗτοι δὲ ἀοράτοις ἐχθροῖς ἀντιπαλαμάμενοι, καὶ ἀπροόπτοις ἀντιπάλοις παλαίοντες, ἀφανῶς τοξαζόμενοι, ἐμφανῶς ἀντιτοξάζειν οὐ δύνανται, καὶ ὡς τραυματίαι τραυματιζόμενοι οὐκ

Relinque igitur præstituti temporis gratiam inviolatam. Fortè enim præteribit, cum eodem proposito rectà currens, & promissi exactionem confirmabit. Sin autem traditionem præter decreta urges, ipsi nobismetipsis ex resipiscentia absolutionem largiemur. Præterea qui charismatis perfectionem reverentur, debent potiùs comprobari, quàm puniri, gratiarum actionem referre, non convicia, prædicari, non abdicari. Siquidem erga res divinas reverentia, fidei puritatem commendat; cùm contrà prompta in eas irreverentia, infidelitatis exhibeat corruptelam.

III. Deinde inquiunt, luctatores quidem aliosque qui pancratio certant, per tempus præfinitum exerceri vis; eos verò qui sensuum pentathlum sive quinquertium suscipiunt, absque exercitatione cum adversario congredi compellis: hos tamen magis oportebat cum probatione ad Asceticum certamen admittere. Illi siquidem cum visibilibus pugnant, in conspicuos bellatores & cominus pugnantes incurrunt, impetiti impetunt, propulsati propulsant: hi verò cum inexspectabilibus hostibus manus conserentes, cum improvisis adversariis luctantes, occultè sagittati, apertè sagittas vicissim emittere nequeunt, & instar sauciorum vulnerati non

aggrediuntur pariter vulnerare; quòd ferientem ignorent. Quodque majus est, & omnem excedit malitiam, quando nequiter vapulantes, sine metu incommodi verbera recipiunt, & vulnera luctatoria reputant pro litteris reconciliatoriis, opus gladii pro opere amici, jaculationes pro celebrationibus, letalia pro vivificis, tenebrosa pro lucidis, bellica pro pacificis, venena pro remediis, fœtida pro odoris, exitiosa pro salutaribus. Nam qui tenebris præsideant eorum hostes, in obscuro sagittant, tela ementito fallacique melle ungunt. Oportet igitur ut qui ab hostibus sub aspectum non cadentibus impugnantur, tempore sat multo, ac per longam cotis exacutionem probentur, eoque modo vel rejiciantur, vel in stadii cursores cooptentur.

IV. Et hæc quidem litteræ tuæ continebant. Nos autem dicimus, magnum inter sanctos patres Basilium, Cæsariensium gloriam, & totius orbis magistrum, in suis divinitus edoctis sermonibus qui exercitationis Monasticæ formam præscribunt, præsertimque in uno illorum, qui hæc ad verbum in titulo complectitur, *Numquid cunctos accedentes conveniat admittere, an aliquos tantùm, & eos confestim recipere, aut cum probatione, eaque quali?* definire, ut qui volunt leve Domini

Regul. fusius disput. x.

A ἀποτολμῶσιν ἀντιτραυματίζειν, διὰ τὴν τοῦ πλήττοντος ἄγνοιαν. τὸ δὲ μεῖζον καὶ πᾶσαν ὑπερβαῖνον κακότητα ἐστιν, ὅτι πονηρίαι καταικιζόμενοι, ἀπονήρως τὰς μάστιγας δέχονται, καὶ λογίζονται τὰ παλαιστρικὰ τραύματα καταλλακτήρια γράμματα, φιλουργίαν τὴν ξιφουργίαν, δοξεύματα τὰ τοξεύματα, ζωοποιὰ τὰ φθοροποιά, φωτοποιὰ τὰ σκοτοποιά, εἰρηναῖα τὰ μάχιμα, τὰ δηλητήρια ἰατήρια, τὰ δυσώδη B εὐώδη, καὶ σωτήρια τὰ ὀλέθρια. τοῦ σκότους γὰρ προστατεύοντες οἱ τούτοις ἀντιμαχόμενοι, ἐν σκοτομήνῃ τοξάζουσι, τὰ βέλη ψευδομέλιτι χρίοντες. χρὴ τοίνυν τοὺς πολεμουμένους ὑπ᾽ ἀοράτων ἐχθρῶν, ἐφ᾽ ἱκανὸν καὶ δι᾽ ἀκονίστρας μακρᾶς δοκιμάζεσθαι, καὶ οὕτως ἢ ἀποδοκιμάζεσθαι, ἢ τοῖς σταδιώταις συντάττεσθαι.

Καὶ τὰ μὲν τῆς γραφῆς σου ἐν τούτοις. ἡμεῖς δέ φαμεν, ὡς ὁ μέγας ἐν ἁγίοις πατράσι Βασίλειος, C τῶν Καισαρέων τὸ καύχημα, καὶ τῆς οἰκουμένης διδάσκαλος, ἐν τοῖς ὑποτυποῦσι τὴν ἄσκησιν θεοδιδάκτοις λόγοις αὐτοῦ, καὶ μᾶλλον ἐν ἑνὶ τούτων διαλαμβάνοντι παρὰ τὴν ἐπιγραφὴν ταῦτα ῥητῶς· πότερον χρὴ πάντας τοὺς προσιόντας δέχεσθαι, ἢ τινας, καὶ εὐθὺς αὐτοὺς προσίεσθαι, ἢ μετὰ δοκιμασίας, καὶ ποίας ταύτης· προσδέχεσθαι μὲν καὶ μὴ ἀπωθεῖσθαι διορίζεται τοὺς θέλοντας ὑπελθεῖν τὸν ἐλαφρὸν τοῦ κυρίου

ζυγὸν· ἀνίπτοις δὲ χερσὶ τῶν ἁγίων A ἐφάπτεσθαι, οὐκ εὐδοκεῖ· ἀλλ' εἴ τινες τούτων εἰσὶ περὶ μὲν τὰ τελεώτερα τῶν δογμάτων ἀδίδακτοι, περὶ δέ τινα πονηρὰ καὶ ἀδιάφορα ἤθη ἐνδίδακτοι, ἀνακρίνειν αὐτοὺς καὶ διδάσκειν καὶ μεταρρυθμίζειν ἐπὶ τὸ βέλτιον, καὶ οὕτω μετὰ γυμνασίας καὶ πείρας ἀκριβοῦς, ἢ προσίεσθαι τούτους, ἢ ἀποπέμπεσθαι. μάτην τοίνυν καὶ συκοφαντικῇ προαιρέσει καταψεύδονται τοῦ ἁγίου πατρὸς, οἱ τὰ ῥηθέντα μυθοσκοποῦντες καὶ ἀναπλάττοντες. B

Ἐπεὶ δέ τινες λέγουσιν, ὡς ὁ μέγας Παχώμιος, ὑπ' ἀγγέλου χρηματισθεὶς τὴν τοῦ μονήρους βίου διαγωγὴν, ἔμαθε μετὰ τῶν ἄλλων, ὡς ἐπὶ τριετίαν οἱ ῥασοφοροῦντες γυμνάζονται, καὶ οὕτως ἢ τελειοῦνται δι' εὐλογίας καὶ ἀποκάρσεως, ἢ ἀποδοκιμάζονται καὶ πρὸς τὴν προτέραν κοσμικὴν κατάστασιν ἀπολύονται· ἀκουσάτωσαν καὶ αὐτοί· μῦθος ἀντικρύς ἐστι καὶ ἐρεσχελία σατανικὴ κατὰ τοῦ μεγάλου πατρός. αἱ γὰρ C βίβλοι τούτου ἀνελιχθεῖσαι μὴ παρὰ μόνων ἡμῶν, ἀλλὰ καὶ παρ' ἑτέρων πολλῶν περὶ τὰ θεῖα δεινῶν, ἄλλα μὲν τῇ μοναχικῇ εὐλαβείᾳ κατάλληλα θεσπίζουσαι φαίνονται, δοκιμασίας δὲ περὶ καὶ τριετίας καὶ ῥασοφορούντων καὶ μὴ ῥασοφορούντων, οὐδὲν ταύταις ἐγγέγραπται.

Ἀλλ' ὁ μέγας, φασὶν, ἐν πατράσιν ἀββᾶς Κασιανὸς ὁ Ῥω-

jugum subire, admittantur, non repellantur; nolle tamen ut illotis manibus sancta tractent, sed velle ut si qui eorum perfectiora dogmata ignorent, quosdam verò mores malos promiscuosque edocti sint, disquisitio fiat, doceanturque & ad melius reformentur, sicque cum exercitione ac exploratione accurata, vel recipiantur, vel emittantur. Frustra ergo & calumniæ proposito mentiuntur contra sanctum patrem, qui prædicta fabulantur atque confingunt.

v. Porrò quia nonnulli asserunt, magnum Pachomium, quando ab Angelo Monachalis vitæ disciplinam miraculo edoctus fuit, cùm aliis didicisse, triennio exercendos esse eos qui rasa gestant, atque ita vel consummandos per benedictionem & tonsuram, vel reprobandos atque ad priorem in mundo statum dimittendos; audiant illi quoque; Fabula apertè est & Satanica ludificatio adversùs magnum patrem. Libri quippe illius non à nobis solùm, sed etiam ab aliis pluribus divinarum rerum peritis evoluti, alia quidem cum Monastica pietate convenientia decernere ostenduntur; de probatione autem, ac triennio, & rasa ferentibus, aut rasa non ferentibus, nihil in ipsis conscriptum est.

vi. Verùm magnus pater, inquiunt, Abbas Cassianus Ro-

manus seu Latinus definit, ut à mundo jactatus & ad Monasterii fraternitatem accedens, non statim tondeatur, sed intra triennium cum Monachicis indumentis probetur; quò, si Monachalis vitæ institutum asperius recuset, ab eo sine culpa & præjudicio resiliat, carnalisque cupiditatis particeps fiat. Quin potiùs, aiunt, idem Abbas decernit, vestes cum quibus ad Monasterium ille accessit, à dispensatore servari; quò nempe is licentiam habeat, Monachales deponendi, & proprias sæcularesque apponendi. Audiant ergo ii pariter, nos post hunc librum diligenter lectum ac evolutum, deprehendisse patri fieri calumniam. Primò siquidem, non tamquam institueret & informaret, aut regulam traderet exercitationis Monasticæ disciplinæ, conscripsit pater, quæ scilicet conscripsit; sed quemadmodum in præfatione ait, Castorem quemdam Episcopum, qui rogaverat, edocere volens Orientalium Cœnobiorum, præsertimque Ægyptiorum instituta, ut ipsius quoque Monasterii Monachi eodem modo agerent, quasi in narrationis speciem scripsit quæcumque scripsit. Neque oportet quæ à nulla sancta Synodo auctoritatem & robur consecuta sunt, tamquam Canonicas obtinere constitutiones, nec illa sequenda sunt, præcipuè quando Canonibus repugnant.

* l. τὰ

A μαῖος διορίζεται τὸν ἐκσφενδονηθέντα τοῦ κόσμου, καὶ μονῆς ἀδελφότητι προσερχόμενον, μὴ ἀπεντεῦθεν ἀποκείρεσθαι, ἐντὸς δὲ τριετίας δοκιμάζεσθαι μετὰ ἀμφίων μοναχικῶν· ἐφ' ᾧ, εἰ τὴν τραχυτέραν τῆς μονήρους βίου διαγωγὴν ἀπαναίνεται, ἀποχειματίστως ταύτης ὑπερπηδᾶν, καὶ τῆς σαρκικῆς ἐπιθυμίας γίνεσθαι μέτοχον. καὶ μᾶλλον, φασὶν, ὁ αὐτὸς ἀββᾶς διορίζεται, καὶ * μετὰ μεθ' ὧν ἦλθεν εἰς τὴν μονὴν ἱμάτια ὁ προσερχόμενος, παρὰ τοῦ οἰκονομοῦντος φυλάττεσθαι· ἐφ' ᾧ ἔχειν ἐπ' ἀδείας αὐτὸν, ἀποτίθεσθαι μὲν τὰ μοναχικὰ, περιτίθεσθαι δὲ τὰ οἰκεῖα καὶ κοσμικά. ἀκουσάτωσαν οὖν καὶ αὐτοὶ, ὡς καὶ ταύτην τὴν βίβλον ἐπιμελῶς ἀναπτύξαντες, συκοφαντεῖσθαι τὸν πατέρα κατελάβομεν. πρῶτον μὲν γὰρ, οὐχ ὡς ἐκτυπῶν οὐδὲ κανονίζων τὴν γυμνασίαν τῆς μοναχικῆς διαγωγῆς, ὁ πατὴρ συνεγράψατο ὅσα δή τε καὶ συνεγράψατο· ἀλλ' ὡς ἐν προοιμίοις φησὶν, ἀναδιδάξαι θέλων ἐπίσκοπόν τινα Κάστορα, κατὰ τὴν τούτου ἀξίωσιν, τὰς τῶν ἀνατολικῶν κοινοβίων καὶ μάλιστα τῶν Αἰγυπτίων διαταγὰς, ὡς ἂν καὶ οἱ τῆς κατ' αὐτὸν μονῆς μοναχοὶ οὕτω διάγωσιν, ὡς ἐν διηγήματος σχήματι γέγραφεν ὅσα καὶ γέγραφεν. καὶ οὐ χρὴ τὰ μὴ παρά τινος ἁγίας συνόδου κυρωθέντα καὶ στηριχθέντα, ὡς κανονικὰ κρατεῖν διατάγματα, μηδ' ἕπεσθαι τούτοις, καὶ μᾶλλον ἔνθα κανόσιν ἐναντιοῦνται.

Εἶτα κἂν δοίη τις ὀφείλειν ταῦτα A κρατεῖν, ὡς ὑπὸ ἁγίου πατρὸς κανονισθέντα ἢ τυπωθέντα, νομίζω ὅτι οὐδὲ ταῦτα παρακελεύονται καθυβρίζεσθαι τὰ θεῖα καὶ ἱερὰ ἄμφια, καὶ τὸ μοναχικὸν σχῆμα· ὥστε τὸν σήμερον ἐν ἀγυιαῖς μετὰ ῥάσων ἀμφίων ὁδεύοντα, αὔριον μετὰ σηρικῶν ἀναστρέφεσθαι. μετὰ γὰρ τὸ διορίσασθαι, μὴ πρότερον εἰς μοναστήριον τινὰ παραδέχεσθαι, πρὶν ἀπόδειξίν τινα τοῦ πρὸς θεὸν πόθου αὐτοῦ, μετὰ δοκιμασίας οὐκ ἀγεννοῦς παραστήσεται, B ταῦτα ῥητῶς παρακελεύεται· διὰ τοῦτο οὕτως ἕκαστος γυμνοῦται τῆς ἀρχαίας περιουσίας, ὡς μηδὲ αὐτὸ τὸ ἔνδυμα ὃ περιβεβλημένος ἦλθε, τοῦ λοιποῦ φορεῖν συγχωρεῖσθαι· ἀλλὰ τῶν ἀδελφῶν πάντων συνηγμένων, προαχθεὶς εἰς τὸ μέσον, ἐκδύεται τὰ ἴδια ἱμάτια, καὶ διὰ τῶν χειρῶν τοῦ ἀββᾶ, ἐνδύμασι τοῦ μοναστηρίου μεταμφιέννυται· ὡς διὰ τούτου τοῦ τύπου ἐπιγνῶναι αὐτὸν, ὅτι πάντων τῶν κοσμικῶν πραγμάτων, καὶ τῆς C ἀλαζονείας καὶ τοῦ τύφου γυμνωθεὶς, ἐνεδύσατο τὴν πτωχείαν τοῦ Χριστοῦ, καὶ ὅτι ἀνεπαισχύντως συναριθμεῖ ἑαυτὸν καὶ ἐξισοῖ τῷ σώματι τῆς ἀδελφότητος. τὰ δὲ ἱμάτια ἃ ἀποδύεται, λαβὼν ὁ οἰκονόμος τῆς μονῆς, ἐπὶ πολὺν χρόνον φυλάττει, ἀφορίσας, ἕως προκοπῆς τῆς αὐτοῦ καὶ ἀναστροφῆς καὶ ὑπομονῆς τῆς ἐν διαφόροις πειρασμοῖς ἀπόδειξιν παράσχῃ. καὶ εἰ μὲν εὕρωσιν αὐτὸν,

VII. Deinde licèt concesserit quispiam ea obtinere debere, velut à sancto patre definita & decreta; neque ipsa existimo præcipere, ut divina sacraque indumenta, habitusque Monachorum contumelia afficiatur; adeò ut qui hodie in vicis cum rasis indumentis ambulavit, cras cum sericis versetur. Postquam enim definivit, ne quis priùs in Monasterium admittatur, quàm specimen quoddam sui erga Deum amoris, cum probatione non mediocri exhibuerit, hæc ad verbum admonet; Ideo sic unusquisque antiquis facultatibus nudatur, ut neque ipsum indumentum quo amictus venit, deinceps gestare permittatur: verùm cunctis fratribus congregatis, productus in medium, suis exuitur vestibus, perque manus Abbatis indumentis Monasterii amicitur; quò per hujusmodi typum & figuram agnoscat, quòd omnibus mundi rebus, & jactantia fastuque nudatus, paupertatem Christi induit, quódque promptè citra verecundiam semetipsum accenset adæquatque corpori fraternitatis. Vestimenta verò quæ exuit sumens Monasterii Oeconomus, multo tempore servat seposita, donec progressûs sui, & bonæ conversationis, ac tolerantiæ in variis tentationibus, demonstrationem præbuerit. Et si eum quidem deprehenderint

Lib. 4. c. 5. 6.

posse in iis perseverare, nec- A non in studio ac fervore, quo cœpit permanere eum, cum reliquis connumerant; sin verò aliquod murmurationis vitium, aut cujuslibet inobedientiæ peccatum in ipso animadverterint, exuunt quibus è Monaster o induerant, & sæcularibus indumentis contectum, è Cœnobio ejiciunt; ut ex hoc deinceps disciplinæ rigore, non in promptu sit volenti pro libitu recedere à Monasterio; sed qui omni modo non per- B manet in sua professione, mundanum vestitum recipiat, sicque extra Monasterium mittatur.

VIII. Dicant ergo qui contrà sentiunt; Numquid ex verbis his magnus iste pater concedit ei qui exercetur, rasum gestare & Monachorum habitum sumere, rursumque mutatâ sententiâ transfigurari in Laicum? Sanè, inquiunt. Definit enim, eum qui accedit exui vestitu quem gerebat C quando ad Monasterium venit, illumque vestitum in tuto custodiri, ipsum verò mutata veste per manus Abbatis indumentis Monasterii vestiri, ut quando vocabit tempus, si improbandus in Monachali vita appareat, vestibus Monasterii exuatur, sæcularibus induatur, atque dimittatur è Monasterio. Quòd autem Monasterii vestes, sint Monachales, sæculares verò, Laicæ, non est

A δυνάμενοι τούτοις ἐγκαρτερεῖν, καὶ ἐν τῇ σπουδῇ καὶ διαπύρῳ θέρμῃ ᾗ ἐνήρξατο διαμένοντα, τοῖς λοιποῖς συναριθμοῦσιν· εἰ δέ τι γογγυσμοῦ ἐλάττωμα, ἢ παρακοῆς οἱασδήποτε ἐν αὐτῷ ἁμαρτίαν καταμάθωσιν, ἐκδύσαντες τοῦτον ἅπερ ἐνεδύσατο ἐκ τοῦ μοναστηρίου, καὶ τοῖς κοσμικοῖς ἐνδύμασι τοῦτον περιβαλόντες, ἀπωθοῦνται τοῦ κοινοβίου· ὡς ἐκ ταύτης λοιπὸν τῆς ἀκριβείας, μὴ εὐχέρειαν εἶναι τῷ βουλομένῳ, ὡς ἔτυχεν B ἀναχωρεῖν τῆς μονῆς· ἀλλὰ τὸν μὴ ἐμμένοντα κατὰ πάντα τρόπον τῇ ἰδίᾳ ὁμολογίᾳ, μετενδύεσθαι τὴν κοσμικὴν ἐσθῆτα, καὶ οὕτως ἀπολύεσθαι τοῦ μοναστηρίου.

Εἰπάτωσαν οὖν οἱ ἀντίθετοι, ἀπὸ τῶν ῥημάτων τούτων ἐνδίδωσιν ὁ μέγας οὗτος πατὴρ τῷ γυμναζομένῳ, ῥασοφορεῖν τε καὶ μετασχηματίζεσθαι κατὰ μοναχούς, καὶ αὖθις ἐκ μεταμελείας ἀποσχηματίζεσθαι κατὰ λαϊκούς; ναί φησι· διορίζεται γὰρ C τὸν προσερχόμενον ἀπεκδύεσθαι ὃ ἐνεδεδύσκετο ἔνδυμα ὅτε ἦλθεν εἰς τὴν μονήν, καὶ ἐν ἀσύλῳ παραφυλάττεσθαι, διὰ δὲ τῶν χειρῶν τοῦ ἀββᾶ ἐνδύμασι τοῦ μοναστηρίου μεταμφιέννυσθαι, ἵνα καλοῦντος καιροῦ, ἐὰν ἀδόκιμος περὶ τὸν μονήρη βίον ἀναφανῇ, τὰ μὲν τοῦ μοναστηρίου ἄμφια ἀπεκδυθῇ, τὰ δὲ κοσμικὰ ἐνδυθῇ, καὶ τοῦ μοναστηρίου ἀπολυθῇ. ὅτι δέ εἰσι τὰ μὲν μοναστηρίου, μοναχικά, τὰ δὲ κοσμικά, λαϊκά, οὐκ ἠγνόηται.

ἠγνόηται. καὶ μὴν οὐκ εἶπεν ὁ πατήρ, ἐνδύματα μόνα καὶ πενιχρὰ τὸν προσερχόμενον ἀμφιέννυσθαι, ἀλλ' ἐνδύματα τοῦ μοναστηρίου. εἰ γὰρ ἴσως στρατιωτοῦ ἐνδυμασίαν περιεβέβλητο, ἐκ κόγχυλης ἢ καὶ χρυσόπαστον, διατρίβειν ἐν τῇ μονῇ μετὰ ταύτης οὐ συγχωρηθήσεται, διὰ τὴν ἀπρέπειαν, καὶ ἵνα μὴ γαυριᾷ τὸ σῶμα τοῖς μαλακοῖς ἀμφίοις θρυπτόμενον· μετὰ δὲ ἁπλῶν ἀμφίων ἐνδυμασίᾳ προσηκόντων λαϊκοὺς καὶ τῇ μονῇ διαφερόντων, ἀναστρέφεσθαι. ἐκ δὲ τοῦ εἰπεῖν τὸν πατέρα, μετενδιδύσκεσθαι τοὺς προσερχομένους τὰ μοναχικά, οὐ παρίσταται ἐξ ἀντιδιαστολῆς, μοναχικὰ πρὸ τῆς μετενδύσεως αὐτοὺς ἀμφιέννυσθαι· οὐδὲν γὰρ ἦν προσιστάμενον, μοναχικῶν ἀμφίων ἐπιμνησθῆναι τὸν μακάριον, καὶ τῆς συνήθους τοῖς μοναχοῖς μετασχηματίσεως· ἀλλ' ἡ τῶν κοσμικῶν ἐνδυμάτων σημασία βούλεται τὸν ἀδόκιμον, μὴ μετὰ τῶν ἱματίων τῆς μονῆς ἀπολύεσθαι, ἀλλὰ μετὰ τῶν οἰκείων, μεθ' ὧν δηλαδὴ εἰς τὸν κόσμον ἀνεστρέφετο. διὰ γὰρ τοῦτο καὶ φυλάττεσθαι ταῦτα ὑπὸ τοῦ οἰκονόμου παρεκελεύσατο.

Ἄραρε τοίνυν γυμνάζεσθαι τοὺς ἀπὸ τύρβης βιωτικῆς εἰς τὸν μοναδικὸν βίον μεταπηδῶντας, κατὰ δάμαλιν ἀπειρόζυγον, καὶ μᾶλλον ὅσοι βίου γεγόνασιν ἀδοκίμου καὶ σφαλεροῦ. κἂν γὰρ ἐν εὐαγγελίοις

ignotum. Attamen non dixit pater, eum qui accedit, indui vestibus dumtaxat, iisque vilibus, sed vestibus Monasterii. Nam si fortè militis amictum habuerit, ex purpura, vel etiam auro intertextum, commorari in Monasterio cum eo non permittetur, tum propter indecentiam, tum ne corpus mollibus indumentis enervatum sese efferat. Verùm Laicos vult cum parvi precii indumentis, amictui convenientibus, & ad Monasterium pertinentibus, versari. Ex eo autem quod pater dicit, eos qui accesserint vestitum suum in Monachalem commutare, non indicat per oppositionem, ipsos ante vestis mutationem Monachica fuisse indutos. Nihil quippe obstabat quò minùs beatus ille indumentorum Monachalium & consuetæ apud Monachos habitûs mutationis mentionem faceret. Sed sæcularium indumentorum designatio hoc sibi vult, ut qui reprobatur, non dimittatur cum vestibus Monasterii, sed cum suis, iis videlicet quibus in mundo utebatur. Nam idcirco etiam illas per Oeconomum servari mandavit.

11. Ratum ergo fixumque est, exerceri debere eos qui à tumultu hujusce vitæ ad Monasticam vitam transiliunt, instar juvencæ jugum non expertæ, sed præcipuè qui vitam duxerunt improbabilem & noxiam. Quamvis enim in Evangeliis

Matt. xi. 28. Dominus dicat; *Venite ad me omnes qui laboratis & onerati estis, & ego reficiam vos:* hincque extra periculum esse videatur cunctos admittere absque sollicitudine: attamen quoniam idem Deus & Servator noster, ab adolescente multa de priori vita disquisivit, & post acceptam super bona ipsius vita certitudinem, perfectionem allegavit, utque sequeretur eum præcepit; æquum est & Canonicum, ut qui neque per vitæ puritatem, neque per bonorum morum familiaritatem, ante probationem idonei visi fuerint ad gestandum jugum Domini leve, operosè explorentur ac probentur longo tempore. Cæterùm probationem per triennium cum indumentis Monachalibus fieri, darique rasa ferentibus licentiam, ut intra hoc tempus, si displiceat solitariæ vitæ durities, Monasticas vestes exuant, Laicis congruas assumant, non mihi videtur esse Canonicum, neque dignum nostra vita & professione. Unde verò hoc dicam, audi.

Matt. xix. 16. &c.

x. Triennalis probationis mora, à nullo sancto patre tradita est, uti sermo superior declaravit. Sacra verò ac generalis Synodus Constantinopoli habita, quæ dicitur prima & secunda, in quinto Canone hæc ad verbum dicit; *Quæ sine judicio & probatione fiunt renunciationes,*

A ὁ κύριος, Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, φησί, κἀγὼ ἀναπαύσω ὑμᾶς· κἀντεῦθεν ἀκίνδυνον ἀναφαίνεται τὸ πάντας ἀπεριμερίμνως δέχεσθαι· ἀλλ' ἐπεὶ ὁ αὐτὸς θεὸς καὶ σωτὴρ ἡμῶν, πολλὰ περὶ τοῦ προτέρου βίου τὸν νεανίσκον ἀνέκρινε, καὶ μετὰ πληροφορίας τοῦ ἀγαθοῦ βίου αὐτοῦ τὴν τελείωσιν ἀπεκλήρωσε, καὶ ἀκολουθεῖν αὐτῷ διεκελεύσατο, δίκαιόν ἐστι καὶ κανονικὸν, τοὺς μήτε διὰ βίου καθαρότητα, μήτε διὰ B ἤθους ἀγαθοῦ γνωριμότητα, πρὸ δοκιμασίας ἀναφανέντας ἱκανοὺς εἰς τὸ ἐπιφορτισθῆναι τὸν ἐλαφρὸν τοῦ κυρίου ζυγὸν, διὰ χρόνου μακροῦ πολυπραγμονεῖσθαι καὶ δοκιμάζεσθαι. τὸ δὲ γίνεσθαι τὴν δοκιμασίαν ἐπὶ τριετίαν μετὰ ἐνδυμάτων μοναχικῶν, καὶ δοθῆναι τοῖς ῥασοφορήσασιν ἄδειαν, ἐντὸς τῆς τοιαύτης προθεσμίας, εἰ ἀπαρέσκονται πρὸς τὴν τοῦ μονάδος βίου σκληρότητα, τὰ μοναχικὰ μὲν ἀποδύεσθαι, λαϊκὰ δὲ C ἐνδιδύσκεσθαι, οὔ μοι δοκεῖ κανονικὸν, οὐδὲ τῆς ἡμετέρας πολιτείας καὶ ἐπαγγελίας ἄξιον. καὶ πόθεν τοῦτό φημι, ἄκουσον.

Ἡ τριετὴς προθεσμία τῆς δοκιμασίας, παρὰ μὲν τινος ἁγίου πατρὸς οὐ παρεδόθη, καθὼς ὁ λόγος ἄνωθεν διετράνωσεν· ἡ δὲ ἐν Κωνσταντινουπόλει συστᾶσα θεία καὶ οἰκουμενικὴ σύνοδος, ἡ λεγομένη πρώτη καὶ δευτέρα, φησὶν ἐν πέμπτῳ κανόνι ταῦτα ῥητῶς· τὰς ἀκρίτους καὶ ἀδοκιμάστους ἀποταγάς,

ἐπὶ πολὺ τὴν μοναδικὴν εὐταξίαν λυμαινομένας εὑρίσκομεν. προπετῶς γὰρ εἰς τὸν μονήρη βίον ἑαυτούς τινες ἐπιρρίπτοντες, καὶ πρὸς τὸ τραχὺ καὶ ἐπίπονον καταλιγωροῦντες τῆς ἀσκήσεως, ἐπὶ τὸν φιλόσαρκον καὶ ἡδονικὸν βίον ἀθλίως πάλιν ἐπαναστρέφουσιν. ὥρισεν οὖν διὰ τοῦτο ἡ ἁγία σύνοδος, μηδένα τοῦ μοναχικοῦ καταξιοῦσθαι σχήματος, πρὶν ἂν ὁ τῆς τριετίας χρόνος εἰς πεῖραν αὐτοῖς ἀφεθεὶς, δοκίμους αὐτοὺς καὶ ἀξίους τῆς τηλικαύτης βιοτῆς παραστήσῃ· καὶ τοῦτο κρατεῖν παντὶ τρόπῳ παρεκελεύσατο, πλὴν εἰ μή που τις βαρεῖα προσπεσοῦσα νόσος, τὸν χρόνον ἀναγκάσῃ συσταλῆναι τῆς δοκιμασίας, ἢ εἰ μή που τις εἴη ἀνὴρ εὐλαβὴς, καὶ τὸν μοναχικὸν βίον ἐν τῷ κοσμικῷ διανύων σχήματι. ἐπὶ γὰρ τοῦ τοιούτου ἀνδρὸς, εἰς ἀπόπειραν παντελῆ, καὶ ὁ ἑξαμηνιαῖος ἀρκέσει χρόνος. εἰ δέ τις παρὰ ταῦτα διαπράξεται, τὸν μὲν ἡγούμενον τῆς ἡγουμενείας ἐκπίπτοντα, παιδείαν τῆς ἀταξίας, τὴν ἐν ὑποταγῇ διαγωγὴν ἐφευρίσκειν· τὸν δὲ μονάσαντα ἐν ἑτέρᾳ μονῇ, τὴν μοναχικὴν ἀκρίβειαν φυλαττούσῃ, παραδίδοσθαι. τοῦ γοῦν κανόνος ταῦτα διοριζομένου, καὶ ὑποτυποῦντος, τὴν μὲν δοκιμασίαν τῶν ἀσυνήθων ἀγωνιστῶν διὰ τριετίας γίνεσθαι, τῶν δὲ συνήθων καὶ εὐλαβῶν, δι' ἑξαμηνιαίου χρόνου, καὶ ἄλλως τινὰ τῶν ἁπάντων μὴ μετασχηματίζεσθαι· πῶς οἱ καὶ μετασχηματισθέντες ὡς ἰθαγενεῖς καὶ

A *bono ordini Monastico magnum afferre incommodum invenimus. In Monasticam enim vitam se quidam temere injicientes, & ad asperam laboriosamque exercitationem se segniter gerentes, ad carnalem & voluptariam vitam rursus miserè revertuntur. Propterea ergo statuit sancta Synodus, ut nemo Monastico habitu dignus putetur, priusquam triennii tempus ad experientiam eis relictum, ipsos esse probatos & tali vita dignos ostenderit. Et hoc* B *omni modo observari precepit, preterquam si fortè gravis aliquis morbus incidens, probationis tempus contrahi coegerit, aut si fortè sit quidam vir religiosus, quique vitam Monasticam in habitu seculari peregerit. Tali enim viro ad absolutum experimentum, tempus semestre sufficerit. Si quis autem preter hac fecerit, Monasterii quidem prefectus, prefectura excidens, non observati ordinis correctionem, vitam in* C *obedientia ductam inveniat; qui verò Monachus est, alii Monasterio tradatur, quod Monasticam disciplinam accuratè observet.* Cùm ergo Canon hæc definiat constituatque, probationem insuetorum pugilum per triennium fieri, assuetorum autem ac religiosorum per tempus semestre, cæteroqui cunctorum neminem mutare habitum; quo modo qui habitu transmutati sunt, velut

legitimi & alumni contribulesque nostri, permittentur juxta suam voluntatem, diu exspectare transfigurationem à vita Monastica ad Laicum habitum, & contra jura Canonica garrire ac nugari?

XI. Sed fortè dicent, Canonem non loqui de iis qui rasa gestant, verùm de iis qui ante præstitutum tempus elapsum figuram habitumque per Canonicam tonsuram mutavere; ideoque patrocinari rasa indutis qui temporis præfixi complementum exspectant, condemnare autem eos qui ante statutum hoc triennium ad recipiendum in Angelica militia locum properant. Non enim vult, ut qui ante pugnam judicatus est pugnæ inutilis, tamquam antesignanus prælietur, neque ut qui ante conflictum visus est infirmus ac iners, quasi strenuus concertet; ne ei qui in militiam allegit, & sibi, cæterisque discipulis, devictoria vertantur in pudefactoria, manifestatoria in oblitteratoria. Audiant igitur etiam ad hæc, novi recentesque horum legislatores, *camelum glutientes, & excolantes culicem:* Quinta Justiniani Novella, quæ in tertio undecimi tituli capite Nomocanonis inserta est, hæc expressè ait; *Qui vitam Monasticam volunt profiteri, sive sint liberi sive servi, priùs triennio perseverent, tonsura & vestitu Laicorum utentes, ac*

Matt. XXIII. 24.

Phot.

A τρόφιμοι τε συμφυλέται ἡμῶν, παραχωρηθήσονται κατὰ τὸ οἰκεῖον θέλημα, καὶ ἀναμένειν ἐπὶ μακρὸν τὸν ἀπὸ τοῦ μονάδος βίου πρὸς τὰ λαϊκὰ μετασχηματισμὸν, καὶ ἀδολεσχεῖν κατὰ δικαιωμάτων κανονικῶν;

Ἀλλ' ἴσως ἐροῦσιν, ὡς ὁ κανὼν περὶ ῥασοφορούντων οὐ διαλέγεται, περὶ δὲ μετασχηματιζομένων * διακονικῆς ἀποκάρσεως, πρὸ παραδρομῆς τοῦ ἐμπροθέσμου καιροῦ· καὶ διὰ τοῦτο, τῶν μὲν ῥασοφορησάντων καὶ τὸ τῆς προθεσμίας ἀναμενόντων τὸ πλήρωμα, B ὑπερηγορεῖ, τῶν δὲ κατεπειγόντων αὐτῆς πρὸ τῆς τριετοῦς προθεσμίας τὸ ἀγγελικὸν δέξασθαι στρατολόγημα, κατηγορεῖ. οὐδὲ γὰρ θέλει τὸν ἀπόμαχον πρὸ τῆς μάχης κρινόμενον, ὡς πρόμαχον μάχεσθαι, οὐδὲ τὸν ἀπάλαμνον πρὸ τῆς πάλης φαινόμενον, ὡς παλαμναῖον ἀντιπαλαμᾶσθαι· ἵνα μὴ τῷ στρατολογήσαντι καὶ ἑαυτῷ τε καὶ τοῖς λοιποῖς μαθηταῖς, γένωνται τὰ νικητήρια, αἰσχυντήρια, καὶ τὰ ἐμ- C φανιστήρια, ἀφανιστήρια. ἀκουσάτωσαν οὖν καὶ πρὸς ταῦτα, οἱ καινοὶ τούτων νομοθέται καὶ πρόσφατοι, οἱ τὴν κάμηλον καταπίνοντες, καὶ τὸν κώνωπα διϋλίζοντες· ἡ πέμπτη Ἰουστινιάνειος νεαρὰ, ἡ ἐν κεφαλαίῳ τρίτῳ τοῦ ια'. τίτλου τοῦ νομοκανόνου καταστρωθεῖσα, φησὶ ταῦτα ῥητῶς· οἱ παραγγέλλοντες εἰς μονήρη βίον, εἴτε ἐλεύθεροι εἴτε δοῦλοι εἰσι, πρότερον τριετίαν προσκαρτερείτωσαν, κουρᾷ τε καὶ ἐσθῆτι χρώμενοι τῇ λαϊκῶν, καὶ

* f. διὰ κανονικῆς

A τὰς γραφὰς μανθάνοντες, καὶ τὴν τύχην αὐτῶν ὁμολογοῦντες, καὶ τὴν αἰτίαν τοῦ θέλειν μονάσαι, μήποτε πονηρὰ ἐστι, καὶ νουθετείσθωσαν· καὶ εἰ προσκαρτερήσουσι τὴν τριετίαν, καὶ ἄξιοι φανῶσι τοῦ μονάσαι, τότε κειρέσθωσαν, καὶ τῆς δουλείας ἐλευθερῶνται. τὸ ιζ΄. κεφάλαιον τοῦ δ΄. βιβλίου τῶν βασιλικῶν, μέρος ὂν τῆς ρκγ΄. Ἰουστινιανείου νεαρᾶς, ταῦτα ῥητῶς διορίζεται· πᾶσι δὲ καθάπαξ τοῖς ἐν κοσμικῷ ἀναστρεφομένοις, καὶ μάλιστα τοῖς τὰ σκηνικὰ μετερχομένοις, ἀνδράσι καὶ B γυναιξὶ, καὶ μὴν καὶ ταῖς πορνευσαμέναις, ἀπαγορεύομεν κεχρῆσθαι σχήματι μοναχοῦ ἢ ἀσκητρίας, ἢ οἱῳδήποτε τρόπῳ τοῦτο μιμεῖσθαι· ἐπισταμένων πάντων τῶν τολμώντων ἢ χρήσασθαι τῷ τοιούτῳ σχήματι, ἢ μιμήσασθαι, ἢ ἐμπαίζειν οἱανδήποτε ἐκκλησιαστικὴν κατάστασιν, ὅτι καὶ σωματικὰς τιμωρίας ὑποστήσονται, καὶ ἐξορίᾳ παραδοθήσονται.

C Τῶν γοῦν διπλῶν τούτων νεαρῶν διοριζομένων ῥητῶς, μετὰ λαϊκῶν ἐσθήτων τὴν γυμνασίαν γίνεσθαι· οὐδὲ γὰρ εἴποι τις τοὺς μίμους διὰ τριχῶν ἀποκάρσεως, καὶ ἁγίας εὐχῶν τελετῆς, μιμεῖσθαι τὴν μοναδικὴν βιοτήν, κἀντεῦθεν νοεῖσθαι καὶ μετασχηματισμὸν τὴν ἀπόκαρσιν· πῶς αὐτοὶ ἐνθουσιῶντες σατανικῶς ἀσχημονοῦσι φαυλιστικῶς κατὰ τῆς μονοτρόπου διαγωγῆς; ὅπου γε ὁ καταστραφεὶς ἄνωθεν ε΄. κανὼν τῆς ἐν Καν-

Scripturam discentes, & conditionem suam, caussamque cur Monachi esse velint, ne fortè mala sit, confitentes; atque admoneantur: quòd si triennio perseveraverint, dignique visi fuerint qui Monachi fiant, tunc tondeantur, & à servitute liberantur. Caput decimum septimum quarti libri Basilicorum, quod est pars Novellæ Justiniani 123. hæc ad verbum decernit; *Cunctis verò semel qui in sæculari vita conversati sunt, præsertimque iis qui scenica exercent, viris & mulieribus, ac præterea prostibulis, interdicimus, habitu Monachi vel sanctimonialis uti, aut illum quovis modo imitari; scientibus omnibus qui ausi fuerint vel uti tali habitu, vel imitari, vel illudere qualemcumque Ecclesiasticam constitutionem, quòd tum corporales pœnas perpetientur, tum in exsilium tradentur.*

XII. Cùm ergo duæ istæ Novellæ ad verbum definiant, cum Laicis vestibus exercitationem peragi; nec enim dixerit quis, mimos per capillorum tonsuram, & sanctam precum initiationem, vitam Monasticam imitari, indeque per habitum mutatum intelligi tonsuram; quo modo ii Satanico furore correpti, improbè & contemptim fœda faciunt adversùs solitarium vitæ statum? quandoquidem supra insertus Canon quintus Con-

stantinopolitanæ Synodi primæ & secundæ, si viva voce uteretur, si ulnis manibusque consisteret, non cotylis reprehendens, sed totis doliis, eorum os obturaret. Ecce enim is à sanctis patribus perfectus editus, & adultus, atque à Spiritu sancto oculatus, per hosce hypocritas & simulatores interrogatus, quo pacto transfigurationis denotatio intelligenda sit ac sumenda, instar Stentoris clamavit; Non est Monachalis habitus & figura, consecratio tonsuraque, sed Monachicorum indumentorum amictus. Duos namque habitus proponit, sæcularem & Monachalem, aitque, ante triennium neminem Monastico habitu donari, nisi si in mundano habitu vitam Monachi peregerit; tunc enim semestre tempus ad probationem suffecturum.

XIII. Dicant ergo ipsi quo modo habitûs transformatio in tonsuram accipietur? cùm etiam habitûs mundani Canon meminerit. Si habitûs notatio pro tonsura perfectionis effectrice seu consecrante sumatur, illud quoque Evangelicum dictum; *Præterit enim figura hujus mundi*; in significatione tonsuræ intelligatur; quod absurdum est. Similiter cùm vulgò dicitur, amicitiæ habitum præ se tulit, figuram & habitum justæ actionis prætexuit, & reliqua. Quæ quoniam ita non accipiuntur,

1. Cor. VII. 31.

A σταντινουπόλει πρώτης καὶ δευτέρας συνόδου, εἴπερ εἶχε ζῶσαν φωνὴν καὶ ὠλένεσι καὶ παλάμαις ἐστήρικτο, οὐ κοτύλαις ἐλέγχων, ἀλλ' ὅλοις πίθοις, αὐτοὺς ἂν ἐπεστόμισεν. ἰδοὺ γὰρ καὶ αὐτὸς ὑπὸ πατέρων ἁγίων τελεσφορηθεὶς καὶ ἡλικιωθεὶς, καὶ ὑπὸ πνεύματος ἁγίου ὀμματωθεὶς, ὑπὸ τούτων τῶν ὑποκριτῶν ἐρωτώμενος, ὅπως ἡ τοῦ μετασχηματισμοῦ σημασία νοεῖται καὶ ἐκλαμβάνεται, κατὰ Στέντορα κέκραγεν· οὐκ ἔστι τὸ μοναχικὸν σχῆμα, τελείωσις καὶ ἀπόκαρσις, B ἀλλὰ μοναχικῶν ἀμφίων περιβολή. δύο γὰρ προτίθησι σχήματα, κοσμικὸν καὶ μοναχικὸν, καί φησι, πρὸ τῆς τριετίας μηδένα τοῦ μοναχικοῦ καταξιοῦσθαι σχήματος, εἰ μὴ ἐν σχήματι κοσμικῷ ἤνυσέ τις βίον μοναχικόν· τότε γὰρ καὶ ἑξαμηνιαῖος πρὸς δοκιμασίαν ἀρκέσει καιρός.

Εἰπάτωσαν τοίνυν αὐτοὶ, πῶς ὁ μετασχηματισμὸς εἰς ἀπόκαρσιν C ἐκληφθήσεται; τοῦ κανόνος μεμνημένου καὶ σχήματος κοσμικοῦ. ἐὰν ἡ τοῦ σχήματος σημασία ἀντὶ τελειοποιοῦ ἀποκάρσεως ἐκληφθῇ, νοηθείη καὶ τὸ εὐαγγελικὸν ῥῆμα τὸ λέγον· παράγει γὰρ τὸ σχῆμα τοῦ κόσμου τούτου· εἰς ἀποκάρσεως σημαινόμενον, ὅπερ ἄτοπον. ὡσαύτως δὲ τὸ, ἐσχηματίσατο φιλίαν, καὶ ἐσχηματίσατο δικαιοπραγίαν, καὶ τὰ λοιπά. τούτων δὲ οὕτω μὴ ἐκλαμβανομένων,

δ' ἔφαρε μοναδικὸν εἶναι σχῆμα, μὴ μόνον τὸν μετὰ ἀποκάρσεως μετασχηματισμὸν, ἀλλὰ καὶ τὸν δι' ἐσθήτων μοναδικῶν μεταμφιασμόν. πῶς δέ τις ἀπροσπαθὴς διαγνώμων εἴποι σχῆμα μοναδικὸν εἶναι τὴν τελείαν ἀπόκαρσιν, τῆς διαληφθείσης Ἰουστινιανείου νεαρᾶς λεγούσης κολάζεσθαι τὸν κατὰ μίμους ἐμπαίζοντα τὸ μοναδικὸν ὁπωσδήποτε σχῆμα; εἰ κατ' αὐτοὺς τοὺς φιλομαθεῖς νοηθείη ἡ σημασία τοῦ σχήματος, εἴποι τις πάντως καὶ τοὺς ἀκειρεκόμας μίμους καὶ ὀρχηστὰς, τοὺς ταῖς θριξὶν ἐπιγαννυμένους, ἢ ἐπὶ τῇ τῆς κεφαλῆς νοερᾷ τιμιότητι, τὴν χρυσίζουσαν τρίχα κατὰ μίμησιν ἀποκείρεσθαι· καὶ τὸν χθὲς ὑπὲρ χρυσίον πολὺ καὶ τοπάζιον τῆς κορυφῆς ἀγαπῶντα τὴν τρίχωσιν, ὀβολοῖς λεπτοῖς αὐτὴν προϊέμενον, καὶ κατὰ μαστιγίας πολιτευόμενον· ὅπερ πᾶσαν ὑπερβαίνει λόγου σαθρότητα.

A constat Monachalem habitum esse, non modò habitûs transfigurationem cum tonsura, sed etiam per vestes Monasticas amictûs permutationem. Qua verò ratione quis affectu carens dijudicator dixerit habitum Monadicum esse perfectam tonsuram, cùm citata Justiniani Novella puniri dicat eum qui instar mimorum in Monachicum habitum qualitercumque illudit? Si secundùm ipsos discendi cupidos B habitûs significatio intelligatur, dixerit quispiam omnino, etiam intonsos mimos & salatores, qui capillis magis exsultant, quàm intelligente capitis excellentia, capillum aurei coloris per imitationem detondere; eumque cui heri plusquam aurum multum & topazium carum erat verticis capillamentum, illud minutis obolis deponere, ac in modum flagrionum degere; id quod C omnem exsuperat sermonis putiditatem.

Συνάγεται τοίνυν ἐξ ἀληθῶν καὶ ἀναντιρρήτων προτάσεων, μὴ μόνον τὴν ἀδοκίμαστον ἀπόκαρσιν ἀπὸ τοῦ κανόνος κολάζεσθαι, ἀλλὰ καὶ αὐτὸν τὸν μετασχηματισμόν. καὶ ὥσπερ ὁ τελείας τυχὼν ἀποκάρσεως, πρὸ τῆς τριετοῦς προθεσμίας οὐ συγχωρεῖται τὴν διαγωγὴν ἀθετῆσαι, καὶ εἰς βίον μετενεχθῆναι κοσμικὸν, διὰ τὴν τῆς ἀκανονίστου ἀποκάρσεως πρόφασιν, ἀλλ'

XIV. Itaque ex veris, claris & indubitatis propositionibus colligitur, non solùm inexploratam tonsuram à Canone puniri, verùm etiam ipsam habitûs mutationem. Et quemadmodum qui perfectam tonsuram, ante triennii statutum tempus consecutus est, professionem repudiare, & ad vitam sæcularem reverti prætextu tonsuræ nequaquam Canonicæ, non permittitur, sed

A alteri Monasterio quod disciplinam exactam observet traditur; ita qui rasum gestavit, ante triennium non exaudietur, si dixerit; Pœnituit me; videtur enim mihi vitæ Monasticæ onus gravissimum, ac velut pondus abjurandum & refugiendum: volo igitur animæ ratem non amplius pondere Monastici status submergi, sed cum Laicis velis attolli. Audiet potius; Licebat tibi cum Prometheo hæc prius considerare, & in habitu Laici suffi- B cientem virium tuarum probationem ac experientiam capere; quia verò sponte probationi renunciasti, habitumque Monachorum assumpsisti, non amplius propter insipientem tuum Epimetheum permitteris redire malè, unde bene exiisti; sed cogeris tamquam bos jugi inexpertus, agnoscere possessorem tuum Deum, & tamquam asinus præsepe domini sui: quòd si ad debitum non probè fideliterque componis ac geris te, C neque in via testimoniorum tuorum das professionem, Episcopalis sententiæ jurisdictioni traderis, tum conjicieris in carcerem. Amen, Amen dico tibi, non exies inde, nisi deposueris quo reddas novissimum quadrantem tonsuræ.

* An ψυχῆς

Is. 1. 3.

Matt. v. 25. 26.

XV. Ad hæc dicent; Quare cùm decernat Canon, neminem habitu mutari ante triennii transcursum, qui hodie per totum orbem terra-

εἰς ἕτερον μοναστήριον παραδιδόντα μοναδικὴν ἀκρίβειαν σωτηρίου· οὕτω καὶ ὁ ῥασοφορήσας, περὶ τὴν τριετίαν οὐκ εἰσακουσθήσεται, λέγων· μεταμέλος γέγονα· λογίζεται γάρ μοι τὸ φορτίον τοῦ μονήρους βίου βαρύτατον, καὶ οἷον ἄχθος ἀπώμοτον· θέλω οὖν μὴ ἐπὶ πλέον καταποντοῦσθαι τὴν * ψυχὴν ὁλκάδα μετὰ τοῦ βάρους τῆς μοναδικῆς καταστάσεως, ἀλλὰ μετὰ λαϊκῶν ὀθονίων μετεωρίζεσθαι. ἀκούσῃ δὲ μᾶλλον, ὡς ἐξῆν σοι μετὰ Προμηθέως ταῦτα προδιασκέψασθαι, καὶ μετὰ σχήματος λαϊκοῦ, τῆς δυνάμεώς σου λαβεῖν ἀρκοῦσαν δοκιμὴν καὶ ἀπόπειραν· ἑκόντι δὲ τῇ δοκιμασίᾳ ἀποταξάμενος, καὶ κατὰ μοναχοὺς μετασχηματισθεὶς, οὐκέτι διὰ τὸν ἀσύνετόν σου Ἐπιμηθέα παραχωρηθήσῃ ὑποστρέψαι κακῶς, ὅθεν ἐξῆλθες καλῶς· ἀλλ' ἀναγκασθήσῃ ὡς βοῦς ἀπειρόζυγος, ἐπιγνῶναι τὸν κτησάμενόν σε θεὸν, καὶ ὡς ὄνος τὴν φάτνην τοῦ κυρίου αὐτοῦ· καὶ εἰ μὴ εὐσυνθετεῖς πρὸς τὸ ὄφλημα, μηδὲ διδῶς ἐν τῇ ὁδῷ τῶν μαρτυρίων σου τὸ ἐπάγγελμα, παραδοθήσῃ τῇ δικαιοδοσίᾳ τῆς ἐπισκοπικῆς ἀποφάσεως, καὶ ἐμβληθήσῃ εἰς φυλακήν. ἀμὴν, ἀμὴν λέγω σοι, οὐ μὴ ἐξέλθῃς ἐκεῖθεν, εἰ μὴ καταθῇ ἀποδοῦναι τὸν ἔσχατον κοδράντην τῆς ἀποκάρσεως.

Ἐπὶ τούτοις ἐροῦσι, καὶ πῶς τοῦ κανόνος διοριζομένου μὴ μετασχηματίζεσθαί τινα πρὸ τῆς τριετίας παραδραμεῖν, οἱ σήμερον κατὰ πᾶσαν τὴν οἰκουμένην

νῶν ἡγουμενεύοντες, τοὺς προσερχομένους αὐτοῖς, μηδὲ διημερεύσαντας σχεδὸν εἰς πολιτείαν μοναδικήν, οὐ μόνον ἀποκειματίστως μετασχηματίζουσι καὶ μετονομάζουσιν, ἀλλὰ καὶ τελειοποιοῦσι δι᾽ ἀποκάρσεως; εἰ τὰ τοῦ κανόνος νοοῦνται καὶ ἐκλαμβάνονται καθὼς ἄνωθεν εἴρηται, ὤφειλον οἱ τῶν μοναστῶν καθηγηταί, τοὺς ζητοῦντας διὰ μοναδικῆς καταστάσεως ἐν μονῇ διατρίβειν, καὶ κατὰ μοναχοὺς πολιτεύεσθαι, ἀπολυπραγμονήτως μὴ παραδέχεσθαι, ἀλλ᾽ ἀναδιδάσκειν τὸ κανονικὸν θεσπιῴδημα, καὶ ἐπιτρέπειν μετὰ λαϊκοῦ προτέρου γυμνάζεσθαι σχήματος, καὶ οὕτω κατὰ μοναχοὺς μετασχηματίζεσθαι· τοιούτου δέ τινος μὴ γινομένου παρ᾽ αὐτῶν, οἱ μὲν ῥασοφορήσαντες, ἐλπίδι δοκιμασίας καὶ μεταμέλου κουφίζοντος τὸ παρὰ δύναμιν τόλμημα, συγγνωστέοι ὡς ἀκατάγνωστοι ἔσονται· οἱ δὲ τὴν τοῦ θείου κανόνος περίληψιν ἀθετήσαντες καθηγηταὶ καὶ ἀνάδοχοι, εὐθύναις κανονικαῖς καθυποβληθήσονται.

Ἀκουσάτωσαν τοίνυν καὶ πρὸς ταῦτα, ὡς τὸ μὲν διαληφθὲν κανονικὸν θεσπιῴδημα, καλῶς διεφωτίσθη καὶ ἡρμηνεύθη τῇ χάριτι τοῦ θεοῦ· οἱ δὲ καθηγηταὶ τῶν μοναστηρίων, οὐδέν τι ποιοῦσιν ἀκανόνιστον, οὐδὲ τοῖς πατράσιν ἐναντιοῦνται, τοὺς προσερχομένους αὐτοῖς, ἀπειτιόθεν κατὰ μοναχοὺς μετασχηματίζοντες, ἢ καὶ τελειοποιοῦντες δι᾽ ἀποκάρσεως. φησὶ γὰρ τὸ γ᾽.

A rum Monasteriis præsunt, eos qui accedunt ad ipsos, absque unius ferè diei in Monastica vita mora, non solùm sine delectu habitu & nomine alio donant, sed etiam per tonsuram consecrant? Si verba Canonis intelliguntur accipiunturque sicut supra dictum est, Monachorum præpositi eos qui in Monasterio per statum Monasticum commorari, vitamque Monachorum ducere postulabant, debuerunt non absque B multa inquisitione admittere, at Canonicum oraculum edocere, ac demandare ut cum Laico habitu priùs exercerentur, sicque postea instar Monachorum mutata veste induerentur: quo nullatenus per ipsos facto, ii qui rasa induerunt, spe probationis ac resipiscentiæ allevantis inceptum quod vires excedat, veniam ut culpæ non affines merebuntur; præpositi verò & susceptores, qui divini Canonis sententiam C violarunt, pœnis Canonicis subjicientur.

XVI. Audiant ergo etiam ad hæc; laudatum quidem Canonis decretum & oraculum, rectè Dei gratiâ elucidatum fuisse ac interpretatum; Monasteriorum autem præpositos nihil planè facere quod non sit Canonicum, neque patribus adversari, dum accedentes ad eos, illico in Monachalem habitum transformant, aut per tonsuram consecrant.

Caput enim tertium primi tituli libri quarti Basilicorum, quod est caput 54. Novellæ 123. Justiniani, hæc ad verbum continet; *Si quis verò ad Monasticam vitam velit accedere, jubemus ut si sit quidem notum eum nulli esse conditioni subjectum, Monasterii præfectus, quando hoc cognoverit, habitum illi prebeat: sin autem nescitur an ulli sit conditioni subjectus, intra tres annos Monasticum habitum ne accipiat; sed intra dictum tempus, ejus vitæ conversationis, is qui ipsius Hegumenus est, periculum faciat.* Canon quoque Trullani Concilii, qui definit ut duodecim annos natus tondeatur, adjicit, in potestate præsidis esse ejus probationem, si tempus ei augeri conducibilius duxerit ad introductionem & constitutionem in vita Monachali.

Can. 40.

XVII. Nihil ergo indecens aut contra Canones Monasteriorum præfecti perpetrant, quando eos qui accedunt ad ipsos, dehinc habitu transmutant, nec exspectant elapsum triennium. Concessum quippe ipsis est hoc indiscriminatim facere, cùm qui accedit ingenuus est & loci incola, vel alio quovis modo illis notus. Quocirca & aliud signum, quod intuitos docet ovilis ipsius insignia, imposuerunt iis, sanctissima nempe indumenta. Porrò perficientem & conse-

* An τετράδας

A κεφάλαιον τοῦ α'. τίτλου τοῦ δ'. βιβλίου τῶν βασιλικῶν, ὅπερ ἐστὶ νδ'. κεφάλαιον τῆς ρκγ'. Ἰουστινιανείου νεαρᾶς, ταῦτα ῥητῶς· εἴ τις δὲ εἰς μοναχικὸν βίον ἐλθεῖν βουληθείη, κελεύομεν ἵνα εἰ μὲν γνώριμός ἐστιν ὅτι οὐδεμιᾷ τύχῃ ὑπόκειται, ὁ ἡγούμενος τοῦ μοναστηρίου ὅτε συνίδῃ, τὸ σχῆμα αὐτῷ παράσχῃ· εἰ δὲ μὴ γνωρίζεται εἰ οἱᾳδήποτε ὑπόκειται τύχῃ, ἐντὸς τριῶν ἐνιαυτῶν μὴ λα- B βεῖν αὐτὸν τὸ μοναχικὸν σχῆμα· ἀλλ' ἐντὸς τοῦ εἰρημένου χρόνου, ἀποπειράσθω τῆς τούτου ἀναστροφῆς ὁ ἡγούμενος τούτου. καὶ ὁ μὲν κανὼν τῆς ἐν τῷ Τρούλλῳ συνόδου διοριζόμενος, τὸν δωδεκαετοῦς ἡλικίας γενόμενον ἀποκείρεσθαι, προστίθησι, παρὰ τῷ προέδρῳ κεῖσθαι τὴν τούτου δοκιμασίας, εἰ τὸν χρόνον αὐτῷ αὐξηθῆναι λυσιτελέστερον ἡγεῖται πρὸς τὴν ἐν τῷ μονήρει βίῳ εἰσαγωγὴν καὶ κατάστασιν.

C Οὐδὲν τοίνυν ἀπεικὸς, οὐδὲ ἀκανόνιστον οἱ καθηγηταὶ διαπράττονται, τοὺς προσερχομένους αὐτοῖς μετασχηματίζοντες ἀπεντεῦθεν, καὶ μὴ ἀναμένοντες * τριετίας παραδρομήν. ἐνεδόθη γὰρ αὐτοῖς ἀπαραχειματίστως τοῦτο ποιεῖν, ὅταν ὁ προσερχόμενος ἰθαγενής ἐστι καὶ ἐγχώριος, καὶ ἄλλως πως γνωστὸς αὐτοῖς. δι' ὃ καὶ ἄλλην σφραγῖδα τοὺς ὁρῶντας ἀναδιδάσκουσαν τοῦ ποιμνίου αὐτῶν τὰ ἐπίσημα, ἐπέθεντο τούτοις τὰ ἱερώτατα ἄμφια. τὴν μὲν τελειο-

ποιοῦσαν ἀπόκαρσιν ἀνήρτησαν, A οὐ χάριν δοκιμασίας, ὡς οἱ δεινοὶ τῆς ψεύδους λογισταί φασι, καὶ τὴν ἀλήθειαν κιβδηλεύοντες, οὐδὲ ὡς τρυτάνην ἀμφίρροπον τὸν μετασχηματισμὸν πεποιήκασιν· ἀλλ' ἵνα διὰ μαθητείας ὁ μετασχηματισθεὶς γαλακτοτροφηθῇ, δι' ὑπακοῆς μειρακιωθῇ, διὰ προσευχῆς ἡλικιωθῇ, δι' ἐγκρατείας ἀρρενωθῇ, καὶ διὰ ταπεινώσεως τελεσφορηθῇ, καὶ οὕτω καθά τις ἀνεπίληπτος στρατιώτης Χριστοῦ, B τῷ στρατολογήσαντι αὐτὸν παραστῇ γενναῖος, ὁπλιτοπάλας, ἀκοντιστής, τὴν ἁγνείαν ἐνδεδυμένος ὡς θώρακα, ὡς θυρεὸν τὴν μετάνοιαν, ὡς κόρυθα τὴν ὑπακοήν, ὡς τόξον τὴν προσευχήν, ὡς δόρυ τὴν ἡσυχίαν, ὡς φάσγανον τὴν ἐγκράτειαν, ὡς κουλεὸν τὴν ὑπομονήν, καὶ ὡς σάκος ἑπταβόειον τὴν ταπείνωσιν· καὶ ἁπλῶς ἀγωνιστὴς ἐντελέστατος, μήτε διὰ τὸν ἐμπρο- C σθιον πόλεμον τοῦ σατᾶν τὸν ἀναιδῶς δηλαδὴ καὶ κατὰ πρόσωπον ὑπαντῶντα παλινδρομῶν, μήτε διὰ τὸν οὐραῖον καὶ ἀφανῆ ἐμπροσθοδρομῶν· ἀλλ' ἐν μὲν τοῖς ἀγχεμάχοις τῶν παθῶν λογισμοῖς προθρώσκων ὥς τις ἀκαταμάχητος, ἐν δὲ τοῖς ὑπούλοις καὶ ἐνεδρεύουσι παρεκκλίνων ὥς τις ἀνεπιβούλευτος· τοὺς ἐκ δεξιῶν τῆς νίκης

cratricem tonsuram suspenderunt, non probationis gratiâ, quemadmodum aiunt graves mendacii ratiocinatores, veritatisque adulteratores, neque mutationem habitûs instar trutinæ in utramque partem vergentis effecerunt; sed ut qui habitu est transfiguratus, per disciplinam lactetur, per obedientiam adolescat, per orationem juvenescat, per continentiam virilitatem sumat, & per humilitatem absolvatur; sicque tamquam inculpatus Christi miles ei qui conscripsit ipsum adsistat strenuus, armatus luctator, jaculator, castitatem indutus sicut thoracem, pœnitentiam velut clypeum, obedientiam quasi galeam, orationem tamquam arcum & sagittam, silentium & quietem veluti hastam, continentiam ut ensem, patientiam ut vaginam, atque humilitatem loco scuti septem pellibus bubulis constantis; denique perfectissimus pugnator, qui neque propter Satanæ pugnam anteriorem, quæ nempe impudenter & ad faciem occurrit, remeet, neque propter posteriorem ac latentem anteriùs accurrat; verùm in cominus prælian tibus affectuum cogitationibus, prosiliat quasi aliquis inexpugnabilis, in subdolis autem, occultis, & insidiantibus, declinet ad modum hominis ab insidiis tuti; tum eos qui à dextris invadendæ

victoriæ occaſionem obſervant, A per dextram intelligentiam propulſet, eoſque qui à ſiniſtris incurrunt ſagittet ſacris Pſalmorum canticis. Verus quippe Dei miles novit ad dexteram pariter & ſiniſtram rigidum ſalutis telum vertere.

XVIII. Cùm ergo militem Dei conſtituerit eum qui ſuſcipitur ille qui ſuſcipit, eum qui deducitur ductor, diſcipulum magiſter, ipſum Regi & Deo oſtendit, ut ſollers exercitûs dux, atque lenibus col- B loquiis priorem ejus ad Deum profeſſionem per ſecundum juramenti expers propoſitum firmare nititur. Id quod etiam fieri ſolet in terreni regis militibus deligendis. Verùm hîc quidem ſola conſcriptio militaris ſervitii peragitur; illic verò & mundanæ captivitatis liberatio donatur. Nam carnalem pedicam quam ipſi Satan injecerat, per gladium carnis ac ſpiritûs diviſorem ſcindit. (Heb. IV 12.) Tum ſicut hominem qui com- C pedes mundani carceris effugit, commilitones atque comites eum excipiunt, ut magnum Paulum cuſtodes carceris; (Act. XVI. 23. &c.) & quemadmodum aliquem à latronibus raptum vel in captivitatem ductum, atque à latronum manibus aut è captivitate liberatum ſalutant, oſculantur, amplectuntur, ac per unguentum & aromata arte confecta ſuſcipiunt; denique poſt divinum oſculum ſuccedit

A καιροσκοποῦντας τὴν ἔφοδον, διὰ δεξιᾶς συνέσεως ἀμυνόμενος, καὶ τοὺς ἐξ ἀριστερῶν κατατρέχοντας κατατοξάζων ἱεροῖς ψαλμῳδήμασιν. ὁ γὰρ ἀληθὴς στρατιώτης τοῦ θεοῦ, οἶδε ἐπὶ δεξιὰ μεταγαγεῖν ἢ δ' ἐπ' ἀριστερὰ τὸ ἄζαλέον τῆς σωτηρίας ἀκόντιον.

Ὅταν τοίνυν καταστήσῃ στρατιώτην θεοῦ, ὁ ἀνάδοχος τὸν ἀναδεχθέντα, τὸν ὁδηγούμενον ὁ καθηγητὴς, καὶ τὸν μαθητὴν ὁ διδάσκαλος, ἐμφανίζει αὐτὸν τῷ βασιλεῖ καὶ θεῷ, B καθά τις στρατηγὸς δεξιὸς, καὶ μαλακαῖς ὁμιλίαις ζητεῖ τὴν πρὸς θεὸν προτέραν ἐπαγγελίαν αὐτοῦ διὰ δευτέρας ἀνωμότου στηρίξαι προθέσεως. τοῦτο ὅ περ συνήθως καὶ εἰς τὴν τοῦ ἐπιγείου βασιλέως στρατολόγησιν γίνεται. ἀλλ' ἐκεῖ μὲν μόνη ἀπογραφὴ στρατιωτικῆς τελεῖται δουλώσεως· ἐνταῦθα δὲ καὶ τῆς κοσμικῆς αἰχμαλωσίας ἀπολύτρωσις δίδοται. τὴν γὰρ σαρκικὴν ποδοκάκην, ἣν ὁ σατὰν αὐτῷ περιέθετο, τέμνει διὰ μαχαίρας μερι- C ζούσης σάρκα καὶ πνεῦμα. καὶ ὡς ἤδη τοῦ κοσμικοῦ δεσμωτηρίου τὰς ἀλυκτοπέδας διαδράντα τὸν ἄνθρωπον, δέχονται οἱ συστρατιῶται καὶ συνηγήτορες, καθὼς τὸν μέγαν Παῦλον οἱ δεσμοφύλακες· καὶ ὥσπερ τινὰ λῃστευθέντα ἢ αἰχμαλωτισθέντα, καὶ ἐκ τῆς λῃστείας ἢ τῆς αἰχμαλωσίας ἐλευθερώσαντα, κατασπάζονται καὶ ἀγκαλίζονται, καὶ διὰ μύρου καὶ ἀρωμάτων μυρεψικῶν ὑποδέχονται· καὶ τέλος, διαδέχεται τὸν κατὰ θεὸν ἀσπασμὸν

λαμπαδουχία καὶ προπομπὴ, καὶ νικητήρια ᾄσματα. A

Οὕτω καὶ διὰ ταῦτα κατανοεῖται τέως ἐμοὶ, τῶν ἀδοκιμάστων καὶ ἀγνωρίστων ἀναρτᾶσθαι τὴν διὰ τῆς ἀποκάρσεως τελείωσιν· οὐ μὴν ἵνα κατὰ σκηνικοὺς διαπαίξωσι τὸ μοναχικὸν ἅγιον σχῆμα, καὶ κατὰ κύνας εἰς τὸν ἴδιον ἔμετον ἐπιστρέψωσιν. ὁ γοῦν παρακαλούμενος ῥασοφόρος ὑπὸ τοῦ οἰκείου καθηγητοῦ, τελειωθῆναι διὰ τῆς ἀποκάρσεως, καὶ τῆς δωρεᾶς τὴν χάριν ἀναβαλλόμενος, B μᾶλλον μὲν οὖν καὶ δικαιολογούμενος, ἐπ' ἐξουσίας ἔχειν, κακῶς μεταμέλεσθαι, καὶ εἰς τὴν κοσμικὴν προτέραν ὑποστρέφειν ἀναστροφὴν, ἔοικε τῷ πεσόντι πρὸς θαλάττιον πέλαγος, καὶ ἀναρριχωμένῳ μὲν σωτηρίαν εὑρεῖν, ἀποστρεφομένῳ δὲ τὴν δεξιὰν τοῦ τοῦτον πρὸς σωτηρίαν ἑλκύοντος· τῷ ζητήσαντι χρεῶν ἐκκοπὴν, καὶ τὴν δανειστοῦ διαρρήσσοντι τὴν ἀθώωσιν· τῷ κατὰ γῆς χώσαντι σπέρμα, καὶ C μὴ ἀνεχομένῳ τὸν ἄσταχυν· ἢ κατὰ λόγον ἁρμοδιώτερον, ἀνδρὶ μαστιγίᾳ θέλοντι διὰ πυρὸς διελθεῖν, ὅτι ποδοκάκης κάκωσιν οὐχ ὑφίσταται· ἀνδρὶ μετὰ στιβαρῶν ὅπλων δειλαινομένῳ μαχέσασθαι, καὶ τολμῶντι τὴν μάχην ὁπλοφορίας ἀπάνευθεν· ἀνδρὶ τὰ φῶτα παραιτουμένῳ τοῦ γίγαντος, καὶ τῇ ἀβλεψίᾳ σπινθῆρι μικρῷ θεραπεύοντι· ἀνδρὶ τῷ

lampadum gestatio, cum deductione, & victoriæ canticis.

XIX. Eo modo eaque caussa per me interim intelligitur, inexploratorum ignotorumque illam tonsuræ consummationem suspendi ac differri; non sanè ut instar scenicorum sanctum Monachorum habitum ludificentur, & instar canum ad suum vomitum revertantur. Rasophorus itaque qui à præposito suo admonetur, per tonsuram consecrari, & muneris gratiam differt, quin etiam potiùs caussificatur, in sua potestate esse, mala pœnitentia duci, atque ad mundanam redire priorem conversationem, similis est homini in maris pelagus delapso, & ad salutem quidem inveniendam pedibus manibusque conitenti, dexteram verò trahentis ipsum ad salutem aversanti; homini qui quærat fœnoris excisionem, & fœneratoris acceptilationem dirumpat; homini qui terræ semina mandat, nec spicas tollit; aut juxta convenientiorem sermonem, viro verberoni qui vellet per ignem transire, quòd pedicæ molestiam non ferret; viro qui metueret cum armis validis pugnare, aggrederetur tamen pugnam sine armatura; viro qui plenum lumen gigantis seu solis repudiat, sibique cæcutienti parvâ scintillâ mederi vult; viro denique qui

Prov. XXVI. 11.
II. Pet. II. 22.
Ps. XVIII. 6.

portûs salutem pro naufragio A reputabit.

XX. Hæc nobis ita dijudicata & decreta sunt; sic divinorum Canonum ardua elocutio complanata est; sic asperum & impervium iter, transitu facile & molle tritumque redditum fuit, ut nobis interea videtur. Si ergo placeat quoque sanctitati tuæ, gratia Deo sit; sin minus, fiat quemadmodum in proœmio tibi declaravimus.

σωτηρίαν τοῦ λιμένος, λογιζόμενος ναυάγιον.

Ταῦτα οὕτως ἡμῖν ἐδογματίσθησαν καὶ διετυπώθησαν· οὕτως ἡ τῶν θείων κανόνων ἄναντης ἑρμηνεία ἐξωμαλίσθη· οὕτως ἡ τραχεῖα καὶ ἀδιόδευτος, εὐδιόδευτος κατέστη καὶ μαλακότερος, ὡς ἡμῖν πως δοκεῖ. εἰ μὲν οὖν δόξει ἀρεστὴ καὶ τῇ σῇ ὁσιότητι, χάρις τῷ θεῷ· εἰ δὲ μὴ, γινέσθω καθὼς σοι ἐν τῷ προοιμίῳ παρεδηλώσαμεν.



ΤΑ ΑΙΤΙΑΜΑΤΑ ΤΗΣ Λατινικῆς ἐκκλησίας.

Τὸ πνεῦμα τὸ ἅγιον, οὐκ ἐκ μόνου τοῦ πατρὸς, ἀλλὰ καὶ ἐκ τοῦ υἱοῦ λέγουσιν ἐκπορεύεσθαι· καὶ ἐν τῷ θείῳ συμβόλῳ τῆς πίστεως, τὴν λέξιν αὐτοὶ παρεγγράφουσι.

Ἐν τῷ, εἷς ἅγιος, εἷς κύριος Ἰησοῦς Χριστὸς, εἰς δόξαν θεοῦ πατρός· διὰ πνεύματος ἁγίου προστιθέασι.

Οὐ γράφουσι, μικρὰ ζύμη ὅλον τὸ φύραμα ζυμοῖ· ἀλλὰ, φθείρει· ἐκ τούτου τὸ ἔνζυμον ἐκβάλλειν πειρώμενοι.

Τοὺς ἱεροὺς κανόνας καὶ τὰς θείας γραφὰς, σχεδὸν οὐδ' ἐπιγινώσκουσι· κανόνας δὲ καὶ νόμου λύσιν ἔχειν τὸ παρὰ τοῦ Πάπα κελευόμενον, τοῦ σήμερον ὄντος καὶ ζῶντος· τὰ δέ γε τῶν τὴν ζωὴν ταύτην τελευτησάντων νομοθετήματα, κἂν ἀπόστολοι, κἂν πατέρες εἶεν, ὡς αὐτοῖς συναποθανόντα νομίζουσι.

Τὸν ὅρκον ἀκώλυτον τελέως ἡγοῦνται, καὶ εἰς φαυλοτάτας ὑποθέσεις αὐτῷ καταχρῶνται· τὸ εὐαγγελικὸν, τὸ μὴ ὀμνύειν ὅλως, εἰς οὐδὲν τιθέμενοι· ἐπειδὴ, φασὶν, ὀμνύει καὶ ὁ θεός· ὡς τό· ὤμοσε κύριος τῷ Δαβίδ· καὶ, κατ' ἐμαυτοῦ ὤμοσα.

Ἀλλὰ καὶ τὰς ἐπιορκίας οὐδὲ μικρὸν ὑποστέλλονται. φθάνει δὲ καὶ ὁ Πά-

A

CRIMINATIONES adversùs Ecclesiam Latinam.

I. Spiritum sanctum, non à solo Patre, sed etiam à Filio procedere dicunt; & in divino fidei Symbolo eam dictionem temere inserunt.

II. Ad illud; Unus sanctus, unus Dominus Jesus Christus, in gloria Dei Patris; adjiciunt; Per Spiritum sanctum.

III. Non scribunt; *Modicum fermentum totam massam fermentat*; sed, *corrumpit*: ex hoc fermentatum ejicere conantes. 1. Cor. v. 6. Gal. v. 9.

B

IV. Sacros Canones divinasque Scripturas tantumnon neque agnoscunt; quòd pro Canonibus, & legis abrogatione habeant id quod jubetur à Papa qui hodie exsistit ac vivit; eorum verò qui ab hac vita excesserunt decreta, sive Apostoli, sive patres sint, quasi cum ipsis mortua reputant.

C

V. Juramentum nequaquam vetitum arbitrantur, eoque in rebus futilissimis abutuntur; illud Evangelii; *Non jurare omnino*, pro nihilo ducentes: quoniam, inquiunt, etiam Deus jurat; juxta illud; *Juravit Dominus Davidi*; &, *Per memetipsum juravi.* Matt. v. 34. IV. Reg. III. 9. Ps. CXXXI. II. Gen. XXII. 16.

VI. Sed nec perjuria vel parum reformidant & refugiunt. Imò prævenit ipse Pa-

pa, condonans iis futurorum juramentorum transgressionem, atque ex ea condemnationem.

VII. Legem ponunt, ut tribus dumtaxat linguis Deus glorificetur, Latina, Græca, Hebraica; nulla verò alia gentium quæ crediderunt.

VIII. Azyma offerunt, & magnum Petrum, ipsis etiam fortè venerabilem, ejusque successores calumniantur, quasi hæc illis tradiderint.

IX. Non sumunt panem, qui magnitudine constet, ad fractionem & participationem sibi, quemadmodum Dominus in sacramentali cœna discipulis fecit; sed obolarem aliquam Azymi massam. Solus enim manducat is qui offert, sive oblator pontifex sit, sive sacerdos, ipse solus panem consecratum assumens, cæteris omnibus tum Clericis tum Laicis, osculo participationem communionis exhibet ac dicat. Et ubinam deinceps apud ipsos illud Scripturæ; *Qui manducat meam carnem, & bibit meum sanguinem, habet vitam æternam?* quandoquidem non fiunt participes corporis & sanguinis Christi; quamvis supponamus id quod offertur vacare reprehensione. At magna Parasceve cuncti participant, atque in morte; verumtamen ne tunc quoque ex Azymo ab ipsis nimirum consecrato, sed ex alio communi, nec oblato.

Ioh. VI. 55.

A πας αὐτὸς συγχωρῶν αὐτοῖς μελλόντων ὅρκων παράβασιν, καὶ τὴν ἐπὶ ταύτῃ κατάκρισιν.

Νομοθετοῦσι, μόναις τρισὶ γλώσσαις τὸ θεῖον δοξολογεῖται, Λατινικῇ, * ἐκκλησιαστικῇ, καὶ Ἑβραϊκῇ· ἑτέρᾳ δὲ μηδεμιᾷ τῶν πιστευσάντων ἐθνῶν.

* l. Ἑλληνικῇ

Ἄζυμα προσφέρουσι, καὶ συκοφαντοῦσι τὸν τάχα καὶ αὐτοῖς αἰδέσιμον μέγαν Πέτρον, καὶ διαδόχον αὐτοῦ, ὡς ταῦτα παραδιδόντα αὐτοῖς.

B Οὐκ ἄρτον λαμβάνουσιν, ἔχοντα μέγεθος, εἰς κλάσιν καὶ μετάδοσιν αὐτοῖς, ὡς ὁ κύριος ἐποίησε τοῖς μαθηταῖς ἐν τῷ μυστικῷ δείπνῳ· ἀλλ' ὀβολιαῖον ἀζύμου τι φύραμα. ἐσθίει γὰρ μόνος αὐτὸς ὁ προσφέρων, κἂν ἀρχιερεὺς εἴη, κἂν ἱερεὺς ὁ προσάγων, αὐτὸς μόνος τοῦ προσκομισθέντος μεταλαμβάνων, τοῖς ἄλλοις πᾶσι ἱερατικοῖς τε καὶ λαϊκοῖς, φιλήματι τὴν μετάδοσιν τῆς κοινωνίας ἀφοσιοῖ. καὶ

C που ποτὲ λοιπὸν παρ' αὐτοῖς τό, ὁ τρώγων μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα, ἔχει ζωὴν αἰώνιον; ἐπεὶ μὴ μετέχουσι τοῦ σώματος καὶ αἵματος τοῦ Χριστοῦ· κἂν ἄμεμπτον ὑποθώμεθα τὸ προσφερόμενον. τῇ μεγάλῃ δὲ παρασκευῇ πάντες μεταλαμβάνουσι· καὶ ἐν τῷ ἀποθνήσκειν· πλὴν οὐδὲ τότε ἐκ τοῦ παρ' αὐτοῖς ἁγιασθέντος δῆθεν ἀζύμου, ἐξ ἑτέρου δὲ κοινοῦ καὶ ἀπροσκομίστου.

καὶ ἡ ἐπὶ τούτοις ἀπολογία· οὐ γὰρ A
εἴδαμεν φησὶ τὸν ἄξιον. αὕτη δὲ ἡ ἀπολογία ἐξεκάλυψεν ἑτέραν μέμψιν, τὸ μὴ πνευματικοῖς αὐτοὺς κεχρῆσθαι πατράσιν· εἰ γὰρ κέχρηνται, λοιπὸν οὐκ ἠγνόηνται τίνες οἱ ἄξιοι.

Ὁ αὐτὸς καὶ εἷς ἀρχιερεὺς, δὶς λειτουργεῖ καὶ προσφέρει ἐν τῇ ἡμέρᾳ μιᾷ, καὶ θυσιαστηρίῳ ἑνὶ, ἢ καὶ ἐν διαφόροις, καὶ ἔμπαλιν διάφοροι ἐν ἑνὶ, ἕκαστος ἀνὰ μέρος.

Ἐκ πρωΐας λειτουργοῦσι, καὶ οὐ B
κατὰ τὴν νενομισμένην τῆς καθόδου τοῦ ἁγίου πνεύματος ὥραν.

Εἰς μίαν κατάδυσιν βαπτίζουσιν, ἐπιλέγοντες τὸ ὄνομα τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος· ὡς δοκεῖν τοῦτο, τῶν προσώπων συναλοιφήν.

Εἰς ὕδωρ μόνον βαπτίζουσιν· ἅλατι τὸ στόμα τοῦ βαπτιζομένου πληροῦσι· πτυέλῳ περιχρίουσι τοῦτον, πτύσαντες πρῶτον ἐν τῷ κοίλῳ τῆς ἀριστερᾶς χειρὸς, καὶ μετὰ τῆς δεξιᾶς τὸν C
σίελον ἐκταράξαντες, τούτῳ εἰς τὴν ἐκείνου καταχρίσιν χρῶνται· οὐδὲ τὸ μύρον παραλαμβάνουσι, τὸ νενομισμένον τῇ ἁγίᾳ καθολικῇ ἐκκλησίᾳ. καὶ τοῦτον βαπτισθέντα καὶ εἰς μέτρον ἡλικίας ἐλάσαντα, καὶ πλημμελήμασιν ἀνθρωπίνοις περιπεσόντα, ἐλαίῳ περιχρίουσιν, εἰς ἄφεσιν ἁμαρτιῶν· καὶ δὶς βαπτίζειν δοκοῦσιν.

Οἱ ἀρχιερεῖς αὐτῶν, οὐ πάντοτε τὰς κληρικῶν καὶ τὰς

Atque in hisce excusatio est; Nam, inquiunt, nescimus quisnam dignus sit. Ea porrò excusatio alteram revelat culpam, quòd scilicet spiritualibus patribus non utantur. Etenim si uterentur, jam quinam digni essent non ignoraretur.

x. Unus idemque pontifex, bis in uno die, & in uno altari, vel etiam in diversis, Missam ac oblationem celebrat; & vice versâ diversi in uno, unusquisque seorsum.

xi. Matutino tempore Missam celebrant, & non legitima consuetaque descensûs Spiritûs sancti horâ. Act. II. 15.

xii. Per unam immersionem baptizant, nomen Patris & Filii & Spiritûs sancti superdicentes; adeò ut hoc videatur esse personarum commixtio.

xiii. Solâ aquâ baptizant; sale os illius qui baptizatur implent; eumque saliva inungunt, spuentes primò in lævæ manûs cavam, & dextrâ salivam commoventes, hac ad ipsius inunctionem utuntur; neque unguentum assumunt, pro more ac lege sanctæ Catholicæ Ecclesiæ. Atque baptizatum, postquam ad mensuram ætatis pervenit, & in delicta humana prolapsus est, oleo inungunt in remissionem peccatorum; sicque bis videntur baptizare.

xiv. Pontifices eorum non semper ordinationes Clericorum &

Episcoporum peragunt ; sed A quater dumtaxat per annum ; initio nempe quatuor tempestatum, veris, æstatis, autumni, hyemeis, quarum primos menses observant, Martium, Junium, Septembrem ac Decembrem : & primâ quidem Martii mensis hebdomade, aut alterius è dictis, in tetrade seu die Mercurii, sacerdotes & Diaconos cæterosque Clericos ordinant, Sabbato autem summos sacerdotes ; descensum sancti Spiritûs in illis diebus B circumscribendo ; neque credendo virtutem ordinati & ordinantis, aut potiùs precum vim, caussam semper esse adventûs ipsius.

xv. Multos simul ordinant, Episcopos, sacerdotes, unáque Diaconos.

xvi. Successor mortui Papæ hoc modo constituitur. Eligunt eum qui eorum faciunt Synodum, & viventem ad mortuum corpus adducunt, sumptamque manum illius qui sensu C careret, collo sentientis imponunt ; hocque arbitrantur esse successoris unctionem & consecrationem. Atque is primus mox pro funere defuncti qui eum unxit sacrum facit, ac deinceps tamquam optimè unctus, strenuè pontificalia munia obit.

xvii. In magna Quadragesima singulis diebus perfectam Missam, non autem præsanctificatorum celebrant.

ἐπισκόπων τελοῦσι χειροτονίας· ἀλλὰ τοῦ ἐνιαυτοῦ τετράκις καὶ μόνον· ἐν ταῖς εἰσόδοις δηλαδὴ τῶν τεσσάρων τροπῶν, ἔαρος, θέρους, μετοπώρου, καὶ χειμῶνος, τοὺς πρώτους μῆνας παρατηροῦντες, τὸν Μάρτιον, τὸν Ἰούνιον, τὸν Σεπτέμβριον, καὶ τὸν Δεκέμβριον· καὶ ἐν τῇ πρώτῃ μὲν ἑβδομάδι τοῦ Μαρτίου μηνὸς, ἤ τινος τῶν λεχθέντων, κατὰ τὴν τετράδα, ἱερεῖς καὶ διακόνους χειροτονοῦσι καὶ λοιποὺς κληρικούς· κατὰ δὲ τὸ σάββατον, ἀρχιερεῖς· τὴν ἐπιφοίτησιν τοῦ ἁγίου πνεύματος, ἐν ἐκείναις περιγράφοντες ταῖς ἡμέραις, καὶ οὐ τὴν ἀρετὴν χειροτονουμένου καὶ τοῦ χειροτονοῦντος, ἢ τὴν τῶν εὐχῶν μᾶλλον δύναμιν, αἰτίαν εἶναι πάντοτε τῆς ἐπελεύσεως ἐκείνου πιστεύοντες.

Πολλοὺς ὁμοῦ χειροτονοῦσιν, ἐπισκόπους, ἱερεῖς, ὁμοῦ τε καὶ διακόνους.

Ὁ διάδοχος τοῦ τελευτήσαντος Πάπα, οὕτω καθίσταται. ἐκλέγονται τοῦτον ἡ κατ᾽ αὐτοὺς σύνοδος, καὶ προσάγουσι τῷ νεκρῷ λειψάνῳ τὸν ζῶντα, καὶ λαβόντες τοῦ ἀναισθήτου τὴν χεῖρα, ἐπιτιθέασι τῷ τραχήλῳ τοῦ ἐν αἰσθήσει· καὶ τοῦτο χρίσιν τοῦ διαδόχου καὶ τελείωσιν ἡγοῦνται· καὶ οὗτος πρῶτος εὐθὺς ἐπὶ τῇ κηδείᾳ ἱερουργεῖ τοῦ χρίσαντος νεκροῦ, καὶ εἰς τὸ ἑξῆς εὐχριστότατος καὶ κραταιῶς ἀρχιερατεύει.

Ἐν τῇ μεγάλῃ τεσσαρακοστῇ καθεκάστην τελείαν λειτουργίαν τελοῦσι, καὶ οὐ προηγιασμένων.

A Ἀναχαθάρσεις ποιοῦσιν οἱ αὐτῶν ἱερατικοὶ καὶ ῥαντισμούς, εἰς ἀποτροπὴν ὧν δεδίττονται, ἔθεσι δουλεύοντες Ἰουδαϊκοῖς.

XVIII. Expiationes & aspersiones faciunt sacerdotes eorum, ad avertenda quæ metuunt; ritibus Judaicis serviendo.

Ἀφορισμοῦ τινὰ λύοντες, γυμνοῦσιν αὐτὸν ἕως ὀσφύος, καὶ μαστίζοντες ἐπὶ γυμνοῦ λώροις, ἢ λύγοις, ἀπολύουσιν ὡς συγκεχωρημένον ἐντεῦθεν.

XIX. Ab excommunicatione aliquem dum solvunt, denudant eum usque ad lumbos, & qua parte nudus est flagellantes loris vel virgis, inde tamquam venia donatum dimittunt.

Κατὰ τὴν μεγάλην κυριακὴν τοῦ πάσχα, ἀμνὸν σφαγιάσαντες καὶ ὀπτήσαντες, εἰσάγουσιν εἰς τὸ θυσιαστήριον, καὶ ἐπιτιθέασι τῇ τραπέζῃ ἐν B τῇ κατ' αὐτοὺς ἱερουργίᾳ· καὶ μετὰ τὴν ἀπόλυσιν, ἐσθίουσι μὲν τὰ κρέατα τοῦ ἀμνοῦ, τὰ δὲ ὀστᾶ καίουσι, καὶ τὴν ἐξ αὐτῶν αἰθάλην τηροῦσιν εἰς ὅλον ἐνιαυτὸν, καὶ ἐξ αὐτῆς ἐπιπάττουσιν οὓς βούλονται, καὶ ἁγιάζουσιν ὡς νομίζουσι.

XX. Ad magnam Paschatis Dominicam, agnum mactantes & assantes, in altare inferunt, mensæque apponunt in eo quod peragunt sacrificio; & post dimissionem, comedunt quidem agni carnes, ossa verò comburunt, eorumque favillam per totum annum servant, è qua quos volunt inspergunt, atque uti rentur sanctificant. *Nicolaus Papa Epist. 70.*

Τὰς πλείους τῶν δεσποτικῶν ἑορτῶν ἀκαίρως καὶ συγκεχυμένας ἐπιτελοῦσι, καὶ οὐ κατὰ τὴν παράδοσιν τῶν πατέρων.

XXI. Pleraque festorum Dominicorum extra tempus & confusim peragunt, neque juxta patrum traditionem.

Ὁ Πάπας καὶ τὸ τούτου ἀρχιερατικὸν συγχωροῦσι φόνους, ἐπιορκίας, C καὶ λοιπὰς ἁμαρτίας τὰς εἰς τὸ μέλλον, καὶ τὸν ἔμπροσθεν χρόνον· τοῖς δῆθεν συγκεχωρημένοις ἀνοίγοντες θύραν εἰς πᾶσαν ἄτοπον πρᾶξιν· καὶ τὸ ἔτι γελοιωδέστερον, ἐπὶ ῥητοῖς χρόνοις τοῖς μέλλουσι, διδόασι τὴν συγχώρησιν, δυσὶ τυχὸν, ἢ τρισὶν, ἢ μείζοσιν ἢ ἐλάττοσι. τὸ αὐτὸ καὶ ἐπὶ τοῦ παρελθόντος παίζουσι, καὶ ἀφωρισμένων ἀφιᾶσιν ἁμαρτημάτων,

XXII. Papa ejusque pontifices homicidia, perjuria, cæteraque peccata, tam futura, quàm præterita condonant; iis nempe quibus veniam dedere portam aperientes ad omnem pravam actionem; quodque magis ridiculum est, ad certa futura tempora indulgentiam largiuntur, ad duos fortè annos vel tres, vel plures aut pauciores. Idem pariter de præterito ludificant, & definitorum peccatorum, annorum,

mensium, aut dierum remissionem faciunt; nec dicere valent, ex quibus Ecclesiasticis sanctionibus talia acceperint, nisi è quantitate donorum apud illos pendentium, beneficio eorum qui inutilem dimissionem recipiunt.

XXIII. Nuptias non nuptias, nec sacramentales perfectasque celebrant. Duo enim fratres duas accipiunt sorores. Et aliquis filiam suam in sponsam dans, illinc rursus assumit consoceri filiam pro filio suo, aut fratre, aut altero germano cognato.

XXIV. Quinque digitis obliquè quodammodo crucem formant, & hac ratione faciem suam consignant.

XXV. Nuptias Diaconorum & sacerdotum prohibent, sanctorumque donorum perceptionem de manibus sacerdotum matrimonio copulatorum abominantur. Quòd si qui nuptias antè contraxerint, posteaque ordinati fuerint sive Presbyteri, sive Diaconi, uxores suas dimittunt. Nonnulli verò apud eos sacris ordinibus initiati, fornicatores, dum amicam noctu tacitè & occultè sub lecti stragulam admittunt, hoc non fornicationem, sed somnum ac insomnii pollutionem censent, necnon crimine carere arbitrantur.

XXVI. Episcopi præliis ipsi quoque adsistunt, & inter se belligerant, manusque sanguine

A χρόνων, ἢ μηνῶν, ἢ ἡμερῶν· οὐκ ἂν εἰπεῖν ἔχοντες, ἐκ ποίων θεσμῶν ἐκκλησιαστικῶν τὰ τοιαῦτα παρέλαβον, εἰ μὴ ἐκ τῆς ποσότητος τῶν σταθμούντων πρὸς αὐτοὺς δώρων, παρὰ τῶν δεχομένων τὴν ἀνόνητον ἄφεσιν.

Γάμοις τελοῦσιν ἀγάμοις καὶ ἀτελέστοις. δύο γὰρ ἀδελφοὶ δύο λαμβάνουσιν ἀδελφάς. καί τις τὴν ἑαυτοῦ θυγατέρα δοὺς εἰς νύμφην, ἐκεῖθεν αὖθις λαμβάνει τὴν τοῦ συμπενθεροῦ B θυγατέρα εἰς τὸν ἑαυτοῦ υἱὸν, ἢ εἰς τὸν ἑαυτοῦ ἀδελφὸν, ἢ εἰς ἕτερον γνήσιον συγγενῆ.

Μετὰ τῶν πέντε δακτύλων, πλαγίως πως τάχα σταυρὸν ποιοῦσι, καὶ τὴν ὄψιν κατασφραγίζουσιν οὕτως.

Τὸν γάμον τῶν διακόνων καὶ τῶν ἱερέων κωλύουσι, καὶ τὴν παρὰ τῶν γεγαμηκότων ἱερέων μετάληψιν τῶν ἁγίων δώρων βδελύττονται. εἰ δὲ προγεγαμηκότες τινὲς, εἶτα χειροτονηθέντες εἴτε πρεσβύτεροι εἴτε διάκονοι, τὰς C γυναῖκας αὐτῶν ἀπολύουσιν. ἱερατικοὶ δέ τινες παρ᾽ αὐτοῖς πορνεύοντες, ἐν τῷ εἰσδέχεσθαι τὴν ἐρωμένην νυκτὸς, ἀφώνως καὶ ἀθεάτως ὑπὸ τὸ ἐφάπλωμα τὸ ἐπὶ τῆς κλίνης, οὐ πορνείαν, ἀλλ᾽ ὄναρ τοῦτο κρίνουσι καὶ ἐνυπνιασμὸν, καὶ ἀνεύθυνοι οἴονται.

Οἱ ἀρχιερεῖς ἐν πολέμοις καὶ αὐτοὶ παρατάττονται, καὶ προπολεμοῦνται ἀλλήλοις, καὶ τὰς χεῖρας αἵμασι

μιαίνουσιν, ἀναιροῦντες καὶ ἀναιρούμενοι· καὶ ἀνθρωποκτόνοι γίνονται, οἱ πράου Χριστοῦ μαθηταί· οἱ ταῖς χερσὶν ἐκείναις τὸ μυστικὸν ἱερατεύοντες σῶμα καὶ αἷμα.

A polluunt, interficientes & interfecti; necnon homicidæ efficiuntur, mitis Christi discipuli; qui iisdem illis manibus mysticum corpus & sanguinem consecrant.

Οἱ ἀρχιερεῖς ξυρῶνται μετὰ τοῦ πώγωνος καὶ τὴν τρίχα τοῦ ὅλου σώματος, ἁγνισμὸν τοῦτο οἰόμενοι· ὅπερ Ἰουδαϊκόν.

XXVII. Pontifices radunt unà cum barba, totius corporis pilos, hocque pro purificatione habent; idquod Judaicum est.

Τοὺς ἀρχιερεῖς τελευτῶντας, ἀθάπτους ἐῶσιν εἰς ὀγδόην ἡμέραν, δι' αἰσχροκέρδειαν· ἵνα οἱ τῆς ἐνορίας παρ' αὐτοὺς φοιτῶντες, οἷς ἔχωσι δεξιῶνται, ὡς ἔθος αὐτοῖς.

XXVIII. Episcopos defunctos, ad octavum diem insepultos per turpem avaritiam B relinquunt; ut provinciales, qui ad ipsos ventitant, quæ habent largiantur, uti mos apud eos est.

Αἱ τῶν ἀρχιερέων μεταθέσεις ἀπὸ ἐπισκοπῆς εἰς ἑτέραν, τέλεον ἀκώλυτοι παρ' αὐτοῖς.

XXIX. Pontificum translationes ab uno Episcopatu in alium, nullatenus apud illos vetantur.

Τὰς ἀρχιερωσύνας ἐπὶ χρήμασι δίδουσι φανερῶς.

XXX. Episcopatus apertè vendunt.

Τὸν ἁμαρτήσαντα ἐπὶ καθαιρέσει ἐπίσκοπον, καὶ ἐξομολογησάμενον, ἐπὶ τῆς οἰκείας ἐπιτιμίας ὁ Πάπας ἐᾷ· καὶ μείζονος ἢ πολλάκις αὐτὸν ἐπισκοπῆς ἀξιοῖ. δηλονότι καὶ οἱ λοιποὶ τῶν ἀρχιερέων, ἐν τοῖς ὑπ' αὐτούς, τὰ ὅμοια δρῶσι.

XXXI. Episcopum qui peccatum depositione dignum admisit, & confessus est, Papa propriæ relinquit censuræ; imò C sæpe ipsum majori Episcopatu donat. Nimirum etiam reliqui pontifices erga subjectos similia perpetrant.

Τὸν Πάπαν, οὐ διάδοχον τοῦ ἁγίου Πέτρου, ἀλλὰ τὸν Πέτρον αὐτόν, καὶ λέγουσι καὶ πιστεύουσι, καὶ ὑπὲρ τὸν Πέτρον θεοποιοῦσι σχεδόν· κύριον αὐτὸν Χριστιανότητος ἁπάσης ἀνακηρύττοντες.

XXXII. Papam non sancti Petri successorem, sed Petrum ipsum & dicunt & credunt, ac ferè supra Petrum deificant; dominum totius Christianitatis proclamantes.

Λέγουσιν αὐτὴν τὴν ἐκκλησίαν τῆς Ῥώμης, εἶναι τὴν καθολικὴν

XXXIII. Dicunt ipsam Ecclesiam Romanam esse Catholicam

A & Apostolicam Ecclesiam, unam cunctas complectentem, itemque unum cunctos continentem pontificem, Papam, ut Petrum unum, & subesse ei omnes Christi oves; necnon omnem Christianum ad horum juratam confessionem pertrahunt.

καὶ ἀποστολικὴν ἐκκλησίαν, μίαν περιεκτικὴν ἁπασῶν, καὶ ἕνα συνεκτικὸν τῶν ἁπάντων ἀρχιερέα, τὸν Πάπαν, ὡς Πέτρον ἕνα, καὶ ὑπ' αὐτὸν πάντα τὰ πρόβατα τοῦ Χριστοῦ· καὶ πάντα Χριστιανὸν ἕλκουσιν εἰς ἐνώμοτον τούτων ὁμολογίαν.

XXXIV. Sanctissimam Deiparam simplici nomine sanctæ Mariæ nuncupant.

Τὴν ὑπεραγίαν θεοτόκον, οὕτως ἁπλῶς ἁγίαν Μαρίαν καλοῦσι.

XXXV. Plerique ipsorum, præsertimque Antistites sacras imagines non adorant; neque B sanctorum imagines pingunt, sed solam Christi crucifixionem; eamque non planâ picturâ, sed emissam & prominentem, instar alicujus sculptilis.

Οἱ πλείους αὐτῶν τὰς ἁγίας εἰκόνας οὐ προσκυνοῦσι, καὶ μάλιστα οἱ ἀρχιερεῖς· οὐδὲ γράφουσιν εἰκόνας ἁγίων, πλὴν τῆς σταυρώσεως τοῦ Χριστοῦ· καὶ ταύτην οὐ διὰ λειογραφίας, ἀλλ' ἀναπέμπτην, ὥσπερ τι τῶν γλυπτῶν.

XXXVI. In templum ingressi, procidunt in faciem, & pavimento adhærentes, susurrant; deinde cùm crucem ei impresserint uno digito, osculantur & surgunt, sicque preces adimplent.

Εἰς ναὸν εἰσερχόμενοι, πίπτουσιν εἰς πρόσωπον, καὶ ἐν τῷ ἐδάφει προσκολλώμενοι, ψιθυρίζουσιν· εἶτα σταυρὸν ἐν αὐτῷ τυπώσαντες δι' ἑνὸς τῶν δακτύλων, φιλοῦσι καὶ ἐγείρονται, καὶ οὕτω τὴν εὐχὴν ἐκπληροῦσι.

XXXVII. Preciosam crucem tempore Quadragesimæ nec adorant, nec vident; sed in occulto loco sindonibus involutam abscondunt; pariterque Alleluia; quod non decantant per totum diem. At Sabbato magno, ex iisdem revelant crucem, quasi post resurrectionem è sepulcro, eamque populis ostendunt, atque subito ab omnibus magna cum vociferatione & lætitia Alleluia exclamatur,

C Τὸν τίμιον σταυρὸν κατὰ τὴν τεσσαρακοστὴν, οὔτε προσκυνοῦσιν, οὔτε ὁρῶσιν· ἀλλ' ἐν ἀφανεῖ τόπῳ σινδόσιν εἰλήσαντες κατακρύπτουσι· σὺν αὐτῷ δὲ καὶ τὸ Ἀλληλούϊα, καὶ οὐ ψάλλουσιν αὐτὸ, παρ' ὅλην τὴν ἡμέραν. κατὰ δὲ τὸ μέγα σάββατον, ἐκ τῶν αὐτῶν ἀνακαλύψαντες τὸν σταυρὸν, ὡς ἐκ τάφου ἀνιστάμενον, τοῖς λαοῖς ἐπιδεικνύουσι τὸν σταυρὸν, καὶ αἴφνης ὑπὸ πάντων μετὰ μεγάλης κραυγῆς καὶ χαρᾶς ἐκφωνεῖται τὸ Ἀλληλούϊα,

ἐπὶ ἀέρα ἱκανόν· ὡς καὶ παρ' ἡμῖν A τό, Χριστὸς ἀνέστη, τῇ μεγάλῃ κυριακῇ.

Ἐν τῷ θυσιαστηρίῳ πᾶς ὁ βουλόμενος εἰσέρχεται, καὶ κατ' αὐτὸν τὸν καιρὸν τῆς τούτων ἱερουργίας, ὁποίας ἂν εἴη φύσεως, καὶ ἡλικίας, καὶ τάξεως.

Τῶν θείων ἀναγινωσκομένων εὐαγγελίων, καὶ τῆς ἱερουργίας τελουμένης, ἀλλὰ καὶ τῶν αὐτῶν ἁγίων δώρων προερχομένων, οἱ βουλόμενοι ἐξ αὐτῶν κάθηνται· καὶ παρὰ πᾶσαν τὴν δοξολογίαν θεοῦ, τὸ καθίζεσθαι B παρ' αὐτοῖς ἀνεπιτίμητον.

Μετὰ τράπεζαν οὐ λαμβάνουσιν εὐλογίαν τῆς ὑπεραγίας θεοτόκου, ἀλλὰ καὶ ἡμᾶς ἐπὶ τούτῳ διασύροντες κωμῳδοῦσιν, ὡς οἱ Γραικοὶ μετὰ τὸ φαγεῖν καὶ πιεῖν εἰς κόρον, μεταλαμβάνουσι τῶν ἁγιασμάτων. οὕτω τὸ αὐτοῖς ἄτιμον, ὑπέρτιμον εἰρωνεύονται, δεικνύντες καὶ ἀπὸ τούτου τὴν εἰς τὴν ὑπεραγίαν θεοτόκον ἀτιμίαν C αὐτῶν.

Ἀκώλυτον παρ' αὐτοῖς, τὸ εἰσάγειν ἐν τοῖς ναοῖς κύνας, ἄρκους, καὶ τοιαῦτα ἄλλα ζῶα ἀκάθαρτα.

Τοὺς εὐσεβεστάτους τῶν Γραικῶν, Βογομίλους καλοῦσι, καὶ τούτων εὐσεβεστέρους, τοὺς Ἀρμενίους, οὓς καὶ γνησίως στέργουσι· καί που καὶ Ἑβραίων καὶ Σαρακηνῶν χείρονας ἡμᾶς βλασφημοῦσι· καὶ τὴν παλαιὰν καὶ νομικὴν βίβλον, ἐν χερσὶ φερομένων Ἑβραίων, σεβασμίως προσκυνοῦσι καὶ περιπτύσσονται.

per multum tempus; quemadmodum apud nos magna Dominica, illud; Christus surrexit.

XXXVIII. In altare quicumque vult ingreditur, ipso etiam eorum Missæ tempore, cujuscumque sit sexus, ætatis, ordinis.

XXXIX. Dum divina leguntur Evangelia, & sacrum peragitur, imò ipsa sancta dona prodeunt, qui ex iis volunt sedent; ac per totum divinum officium, apud eos sedere reprehensione caret.

XL. Post mensam non accipiunt Eulogiam seu benedictionem sanctissimæ Deiparæ, quinimo nos eam ob rem comicè insectantur ac derident, quasi Græci postquam ad satietatem ederunt & biberunt, sacra sumant. Hoc pacto rem maximè venerandam, ipsis vilem, ironia prosequuntur; ex hoc quoque suum erga sanctissimam Deigenitricem contemptum ostendentes.

XLI. Apud eos non prohibetur introducere in templa canes, ursos, aliaque consimilia immunda animalia.

XLII. Græcorum piissimos, Bogomilos vocant, iisque religiosiores esse aiunt Armenios, quos & germanè amant; necnon nos etiam Hebræis Saracenisque pejores esse conviciantur; cúmque in manibus vetus testamentum ac Legis librum ferunt Hebræi, ipsi cum observantia adorant & amplectuntur.

XLIII. Christianorum cædibus delectantur eorum præsules, & præcipuè Papa, eosque qui illas perpetrant salutiferos affirmant.

A Ταῖς σφαγαῖς τῶν Χριστιανῶν ἐπευφραίνονται οἱ τούτων ἀρχιερεῖς, καὶ μᾶλλον ὁ Πάπας, καὶ σωτηρίους τοὺς δρῶντας αὐτὰς ἀποφαίνονται.

XLIV. Illos ex ipsis qui in bellis occiduntur, salutem consequi existimant, & rectà in paradisum tendere aiunt, quamvis propter avaritiam vel crudelitatem, aut alicujus alterius sceleris excessum pugnando ceciderint.

Τοὺς ἐξ αὐτῶν ἐν πολέμοις κτεινομένους σεσωσμένους δοξάζουσι, καὶ κατ' εὐθὺ λέγουσιν ἐλαύνειν κατὰ τοῦ παραδείσου, κἂν διὰ πλεονεξίαν, ἢ μιαιφονίαν, ἤ τινα κακίας ἑτέρας ὑπερβολὴν μαχόμενοι ἔπεσον.

XLV. Papa ejusque Episcopi cidarim gestant, & pallium quod feminas deceat, aliaque juxta veteris Legis amictum. Sed neque ex pilis contextus est eorum sacerdotalis vestitus, ob Christum qui ut agnus immolatus fuit; sed ex sericis variorumque colorum filis. Gerunt etiam chirothecas, & cum utrisque sacrum celebrant. Annulos quoque ferunt cuncti eorum pontifices.

Ὁ Πάπας καὶ οἱ αὐτοῦ ἐπίσκοποι

B κίδαριν φοροῦσι, καὶ μανδύαν θηλυπρεπῆ, καὶ τἄλλα κατὰ τὴν τοῦ παλαιοῦ νόμου στολήν. ἀλλ' οὐδὲ ἐκ τριχῶν ἡ τούτων ἱερατικὴ περιβολή, διὰ τὸν ὡς ἀμνὸν τυθέντα Χριστόν· ἐκ νημάτων δὲ σηρικῶν καὶ πολυχρωμάτων· φοροῦσι καὶ χειρόττας, ἐν ἀμφοτέραις ἱερουργοῦντες. φοροῦσι δὲ καὶ δακτυλίους οἱ ἀρχιερεῖς αὐτῶν πάντες.

XLVI. Eorumdem Clerici omnes & Monachi, quotidianam vestem ex mollitie & ostentatione illi Laicorum consimilem induunt; neque ex intuitu discernere licet quis apud eos sacratus sit vel non sacratus; quandoquidem cuncti barbâ raduntur, & muliebriter vivunt, possessionibus insolescentes. *Gloria* enim ipsorum *in confusione ipsorum*. Et communem quidem vestem ex pilis habent, sacram verò ex serico & lino.

* λαϊκοῖς

Philipp. III. 19.

Οἱ αὐτῶν ἱερατικοὶ πάντες καὶ μοναχοὶ τὴν καθημερινὴν ἐσθῆτα ὁ-

C μοίαν τοῖς * μοναχοῖς περιβάλλονται, ὑπὸ βλακείας καὶ περπερείας· καὶ ἀπὸ τῆς θέας οὐκ ἔστι διακρῖναι τὸν παρ' αὐτοῖς ἱερόν τε καὶ ἀνίερον· ἐπεὶ καὶ πάντες τὸ γένειον ξυρῶνται, καὶ γυναικίζονται, τὴν περιποίησιν ἀβρυνόμενοι. ἡ δόξα γὰρ αὐτῶν ἐν τῇ αἰσχύνῃ αὐτῶν. καὶ τὴν μὲν κοινὴν ἐσθῆτα, ἐκ τριχῶν ἔχουσι· τὴν δὲ ἱεράν, ἐκ μετάξης τε καὶ ἐκ λίνου.

XLVII. Comedunt suffocata,

Ἐσθίουσι τὰ πνικτά, καὶ τὰ

τὰ θνησιμαῖα, καὶ τὰ θηριάλωτα, καὶ τὸ αἷμα, καὶ τὰ ἀκάθαρτα, τὰς ἄρκους, τὰς τζαχάλας, τὰς χελώνας, * τὰς ἀκανθοχοίρους, τοὺς κυνοποτάμους, τὰς κορώνας, τοὺς κόρακας, τοὺς λάρους, καὶ τὰ ὅμοια. A

Τυροφάγον ἑβδομάδα οὐ γινώσκουσιν, ἀλλὰ πᾶσαν αὐτὴν κρεωφαγοῦσι, καὶ τὰς β΄. ἡμέρας τῆς πρώτης ἑβδομάδος τῶν νηστειῶν, ἀπὸ τῆς τετάρτης ἀρχόμενοι τὴν νηστεύειν, καὶ ἀπολογούμενοι, ἀπὸ ταύτης μέχρι καὶ αὐτῆς κυριακῆς ἑβδόμης συμπληροῦσθαι τὸ τεσσαρακονθήμερον. B

Τὴν τεσσαρακοστὴν νηστεύοντες, ἐσθίουσιν ἰχθύας ἀκωλύτως.

Ἐν τοῖς σάββασι καὶ ταῖς κυριακαῖς τῆς ὅλης τεσσαρακοστῆς, τυρὸν καὶ ὠὰ δίδουσι τοῖς παιδίοις εἰς βρῶσιν· καὶ αὐτοὶ δὲ πάντες τὴν μεγάλην πέμπτην καταλύουσι.

Ἐν ὅλῳ τῷ ἐνιαυτῷ καὶ παρασκευὴν καὶ τετράδα πᾶσαν ἰχθυοφαγοῦσιν, ἀλλὰ καὶ κρεωφαγοῦσιν ἐν τῇ τετράδι μὲν πάντες, τῇ παρασκευῇ δὲ τινές.

Κατὰ πᾶν σάββατον νηστεύουσι τὸ κρέας· κἂν τύχῃ ἐν σαββάτῳ αὐτὴ ἡ γέννησις τοῦ Χριστοῦ, ἢ τὸ βάπτισμα, ἤ τις ἑτέρα ἑορτή, οὐ καταλύουσι τὴν νηστείαν. C

Οἱ αὐτῶν μοναχοὶ ἐσθίουσι τὸ κρέας. ὁμοίως συνεσθίουσι καὶ οἱ κοσμικοὶ τοῖς κυσί, καὶ ἐκδιδόασι τούτοις ἐκλείχειν τὰ τῆς αὐτῶν τραπέζης ὀψοδόχα τρύβλια· καὶ αὖθις ἐπὶ τῶν αὐτῶν ἑαυτοῖς δεῖπνον ποιοῦνται τρυβλίων.

morticina, à bestiis capta, sanguinem, & impura, ursos, picas, testudines, echinos, canes fluviatiles, cornices, corvos, laros, & similia. *f. τοὺς

XLVIII. Lacticiniorum hebdomadem non agnoscunt, sed per eam totam carnes comedunt, perque duos primæ jejuniorum hebdomadæ dies, à quarta feria jejunare incipientes, & in excusationem afferentes, quòd ab ea usque ad septimam Dominicam compleantur quadraginta dies.

XLIX. In quadragesimali jejunio libere piscibus vescuntur.

L. Sabbatis & Dominicis totius Quadragesimæ, caseum & ova dant puerulis in cibum; ipsique omnes magnâ quintâ soluunt jejunium.

LI. Per totum annum Parasceve ac Tetrade omni pisces comedunt, sed & carnes manducant die Mercurii universi, die Veneris autem nonnulli.

LII. Quovis Sabbato jejunant seu abstinent à carne; quòd si in eum diem incurrerit Nativitas Christi, vel Baptismus, aut aliud quoddam festum, jejunium non soluunt.

LIII. Ipsorum Monachi carne vescuntur. Pari modo sæculares unà cum canibus cibum sumunt, traduntque illis mensæ suæ ferculares catinos delingendos; iterumque in iisdem catinis sibi cœnam apparant.

LIV. Latinæ nationes non æquo modo omnes Quadragesimam jejunant; verùm novem hebdomadas Polonia, sex Itali; reliqui verò, alii octo, alii minùs.

A Τὰ Λατινικὰ ἔθνη, οὐκ ἐπίσης πάντες νηστεύουσι τὴν τεσσαρακοστὴν, ἀλλ' ἐννέα μὲν ἑβδομάδας ἡ Λεχία· ἓξ δὲ οἱ Ἰταλοί· οἱ λοιποὶ δὲ, οἱ μὲν ὀκτὼ, οἱ δὲ ἔλαττον.

LV. Dicitur quosdam ipsorum prætextu bonæ corporis habitudinis, sua urina lavari; interdum quoque ex ea bibunt; quo quid exsecrabilius fieri potest?

Λέγεται ὅτι τινὲς αὐτῶν προφάσει σωματικῆς εὐεξίας, τὸ ἑαυτῶν οὖρον νίπτονται· ἔτι δ' ὅτε καὶ ἐξ αὐτοῦ πίνουσιν· οὗ τί γένοιτ' ἂν βδελυρώτερον;

LVI. Atque ut majora subjungantur; Judaizant quidem seu Judæos imitantur in multis relatis criminationibus; in Azymis, in agni esu; cùm Episcopi totum corpus radunt; dum quomodocumque Sabbata observant; per aspersiones & expiationes; per pontificalem amictum; atque in aliis.

Προσθεῖναι δὲ καὶ τὰ μείζω. Ἰουδαΐζουσι μὲν ἐν πολλοῖς τῶν ἀνιστορη-
B θέντων αἰτιαμάτων· ἐν τοῖς ἀζύμοις· ἐν τῇ ἀμνοφαγίᾳ· ἐν τῷ ξυρᾶσθαι τοὺς ἀρχιερεῖς ὅλον τὸ σῶμα· ἐν τῷ παρατηρεῖν ὁπωσοῦν τὰ σάββατα· ἐν τοῖς ῥαντισμοῖς καὶ τῶν ἀνακαθάρσεσιν· ἐν τῇ ἀρχιερατικῇ στολῇ· καὶ ἐν ἑτέροις.

LVII. Armenizant verò seu cum Armeniis consentiunt, in iisdem Azymis; quando hebdomade Lacticinii & prima jejuniorum carnem manducant; cùm diebus Sabbati & Dominicæ quadragesimalibus lacte aluntur; dum extra tempus conveniens festa Dominica peragunt. Etenim Armenii quinto Januarii die Annunciationis festum celebrant manè; vesperâ autem ejusdem diei, Natale Christi; sexta verò die ejusdem mensis, Baptismum; quasi censentes Dominum phantasticè non verè incarnatum fuisse, juxta impium Manetem. In eo quod

Ἀρμενίζουσι δὲ, ἐν τοῖς αὐτοῖς ἀζύμοις· ἐν τῷ κρεωφαγεῖν κατὰ τὴν τυροφάγον καὶ τὴν πρώτην τῶν νηστειῶν ἑβδομάδα· ἐν τῷ γαλακτοτροφεῖν
C ἐν ταῖς σαββατοκυριακαῖς ἡμέραις τῆς τεσσαρακοστῆς· ἐν τῷ παρὰ καιρὸν τὰς δεσποτικὰς τελεῖν ἑορτάς. καὶ γὰρ οἱ Ἀρμένιοι κατὰ τὴν πέμπτην τοῦ Ἰανουαρίου, τὴν τοῦ εὐαγγελισμοῦ ἑορτὴν ἑορτάζουσιν ἐκ πρωΐας, ἑσπέρᾳ δὲ τῆς αὐτῆς ἡμέρας, τὴν γέννησιν τοῦ Χριστοῦ, τῇ ἕκτῃ δὲ τοῦ αὐτοῦ μηνὸς, τὴν βάπτισιν· ὡς δοξάζοντες, ἐν φαντασίᾳ καὶ οὐκ ἀληθείᾳ τὸν κύριον ἐνανθρωπῆσαι, κατὰ τὸν ἄθεον Μάνεντα. ἐν τῷ προσφέρειν τὸ

ἁγίαν θεοτόκον, ἐκ τῆς κλήσεως. ἐπειδὴ καὶ οἱ Ἀρμένιοι, ὡς διὰ σωλῆνος τῆς παρθένου, διελθεῖν τὸν κύριον βλασφημοῦσιν, ἐξ Οὐαλεντίνου τοῦτο παραλαβόντες· διὸ καὶ κατασμικρύνοντες τὴν ἀνωτέραν τῶν Χερουβὶμ, οὐδὲ τὴν ᾠδὴν αὐτῆς, τὴν ἐν τῷ κατὰ τὸν θεῖον Λουκᾶν εὐαγγελίῳ, συνήθως ᾄδουσι, τὸν Νεστόριον τούτου ἔχοντες διδάσκαλον. ἐν τῷ μὴ χρῆσθαι εἰς τὸ ἅγιον βάπτισμα τῷ θείῳ μύρῳ. καὶ οἱ Ἀρμένιοι γὰρ βούτυρον ἢ σισαμέλαιον παραλαμβάνουσιν ἀντὶ μύρου. ἐν τῷ μὴ ἐμβάλλειν ὕδωρ εἰς τὸ ἅγιον αἷμα. τοῦτο γὰρ καὶ οἱ Ἀρμένιοι· ἵνα μὴ θεότης καὶ ἀνθρωπότης πόσως νοηθείη ἐν τῷ Χριστῷ. μίαν γὰρ φύσιν μετὰ τὴν ἕνωσιν, ὡς οἱ Μονοφυσῖται δοξάζουσιν· ἀλλὰ καὶ ψιλὸν πάλιν ἄνθρωπον τὸν κύριον δογματίζουσι, κατὰ Παῦλον τὸν Σαμοσατέα, καὶ τὸν Νεστόριον. διὸ καὶ ἄζυμα προσφέρουσιν, ὡς μὴ διπλοῦς ὁ θεάνθρωπος ὅλος ὑποληφθείη, μηδ' ἔμψυχον καὶ ἔννουν τὸ πρόσλημμα. τὴν γὰρ ζύμην, καὶ ὡς ψυχὴν ἀποτρέπονται· τὸ δὲ ἅλας, ὡς νοῦν· ἐκ τοῦ Ἀπολιναρίου τὸ ἄψυχον καὶ τὸ ἄνουν τῆς θεοϋποστάτου σαρκὸς φρονεῖν διδαχθέντες. καὶ ἑνὶ δὲ τῷ δακτύλῳ τὸν σταυρὸν χαράττουσιν εἰς τὸ πρόσωπον, ὡς ἂν καὶ τούτῳ μίαν φύσιν τοῦ σταυρωθέντος σημαίνωσι. καὶ ὥσπερ οἱ Λατῖνοι τὸν μέγαν Πέτρον διαβάλλουσι καὶ ἁγίους

A sanctam Deiparam, etiam ex appellatione contemnunt. Quoniam & Armenii Dominum blasphemant per Virginem tamquam per canalem transiisse; quod à Valentino mutuati sunt: unde eam quæ Cherubinos exsuperat deprimentes, neque Canticum ipsius in divini Lucæ Evangelio positum, pro consuetudine canunt, Nestorium in hoc secuti præceptorem. Quia in sacro Baptismo non utuntur divino unguento. B Siquidem Armenii pro unguento butyrum vel oleum sesaminum assumunt. Quoniam in sanctum sanguinem aquam non immittunt. Ita enim quoque Armenii; ne divinitas & humanitas in Christo quodammodo intelligatur. Unam quippe post unionem naturam, ut Monophysitæ prædicant; sed & purum adhuc hominem esse Dominum docent, juxta Paulum Samosatensem ac Nestorium. C Quocirca Azyma efferunt, ut ne duplex qui Deus homo est totus existimetur, neque anima & mente præditum id quod assumptum est. Nam fermentum, velut animam aversantur, & sal tamquam mentem; ab Apollinari inanimam ac mentis expertem carnem quæ divinitus subsistit putare edocti. Uno etiam digito crucem faciei imprimunt, ut per hoc pariter unam crucifixi naturam significent. Atque sicut Latini magnum Petrum & sanctos

Luc. 1. 46.

